CORPUS
SCRIPTORUM HISTORIAE
BYZANTINAE.

EDITIO EMENDATIOR ET COPIOSIOR,

CONSILIO

B. G. NIEBUHRII C. F.

INSTITUTA,

AUCTORITATE

ACADEMIAE LITTERARUM REGIAE BORUSSICAE

CONTINUATA.

MICHAEL ATTALIOTA.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCLIII.

MICHAELIS ATTALIOTAE
HISTORIA.

OPUS


A WLADIMIRO BRUNETO DE PRESLE,
INSTITUTI GALLICI SOCIO,

INVENTUM DESCRIPTUM CORRECTUM

RECOGNOVIT

IMMANUEL BEKKERUS.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCLIII.


OXFORD
LIBRARY

WLADIMIRI BRUNETI DE PRESLE

PRAEFATIO.

Duodeviginti iam elapsi sunt anni ex quo, ad novam Cedreni editionem adornandam hortatu dilectissimi magistri C. B. Hasii V. Cl. codicem graecum bibliothecae Imperatoriae Parisiensis inspicienti mihi, ecce ineditus nec contemnendus sese obtulit scriptor, cuius ope res gestae undecimi seculi et litterarum historia novam lucem accipere mihi videbantur. Is codex optimae notae, membranaceus, seculi duodecimi, olim bibliothecae Coislinianae, nunc Imperatoriae, No. 136 inter Sangermanenses, prima fronte exhibet historiam Ioannis Scylitzae curopalatae, cuius lectionum varietatem tunc misi ad clarissimum virum Imm. Bekkerum editorem historiae Cedreni ac Scylitzae, quae duobus voluminibus prodiit Bonnae a. 1838. Sequitur fol. 167 verso eadem manu exaratum aliud opus inscriptum sic:

Ἱστορία ἐκτεθεῖσα παρὰ Μιχαὴλ αἰδεσιμωτάτου κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου τοῦ Ἀτταλειάτου. Praefixa est epistola dedicatoria ad imperatorem Nicephorum Botaniatem. Res quarum ipse testis extitit, brevi quodam orationis genere ac simplici narrare se profitetur [1]) περὶ ὧν οὐκ ἀκοῇ καὶ μύθοις ἑτέρων παρέλαβον ἀλλ' ὧν αὐτόπτης καὶ θεατὴς ἐχρημάτισα. Exorditur a Michaele Paphlagone, qui anno Christi 1034 imperator factus est. Inde quinque sequentium Augustorum vitas breviter persequitur; cum autem ad Romani Diogenis et Michaëlis Ducae tempora pervenit, quorum sub imperio variis functus est magistratibus, iam aulae mutabiles status, bellicasque expeditiones quibus interfuit, fusius narrare coepit. Nicephoro denique Botaniate omnia quae per biennium gesta sunt summis cumulat laudibus, caetera deinceps se relaturum promittens [2]). Botaniates vero post aliquot menses ab Alexio Comneno palatio expulsus in monasterium secessit: unde coniicere possis in tam subita rerum mutatione, nostrum, si modo patroni ruinae superfuit cliens, ne prioris domini laudes crimini sibi verterentur, nihil magis optasse quam ut in oblivionem veniret. Quod ei diu et forsan ultra spem contigisse videtur. Nullam enim eius apud scriptores qui eadem aetate floruerunt, mentionem invenio. Constant tamen illa de nostri libris ac vita, partim ex eius de se ipso testimoniis. Fuit Michael Attaliates

1) fol. 168 recto.

2) fol. 239 verso.

(seu Attaliota) iudex et Anthypatus (vix enim proconsulem audeo dicere) [1]) inter iurisconsultos sequioris aevi non ignobilis. Idem anno 1072 Michaelis Ducae imperatoris iussu scripsit Synopsin legum in Monumentis iuris graecoromani a Leunclavio editam [2]). Nec latuit omnino doctos homines eiusdem historia, de qua nunc agimus. Possevinus enim in appendice ad apparatum sacrum p. 133 eam indicat sub falso nomine Michaelis Kaliotae. accuratius Philippus Labbe in delineatione apparatus historiae byzantinae [3]) haec habet: „Michaelis Attaliotae chronicon sive historiam a Michaele Balbo usque ad Michaelem Ducam Parapinacium audio delitescere in Scoriacensi Laurentina bibliotheca.“

Eadem repetunt Vossius [4]), Morerius [5]), Saxius [6]), Fabricius in bibliotheca graeca [7]), Harlesius [8]), testem

---

1) Cursus honorum Michaelis Attaliatae ex ipsius scriptis sic potest constitui:

Κριτὴς τοῦ στρατοπέδου anno 1068. — (Histor.)

πατρίκιος anno 1069 (ibid.)

κριτὴς καὶ ἀνθύπατος anno tertio Michaelis Ducae. (Synopsis)

μάγιστρος, βέστης, κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου καὶ τοῦ βήλου a. 1080. (tit. historiae.)

2) Francofurti 1596 — Conf. Fabric. bibl. graec. t. XI p. 193 ed. Harless — Zachariae, historiae iuris graecoromani delineatio p. 71 — Mortreuil histoire du droit byzantin t. 3 p. 218.

3) De Byzantinae historiae scriptoribus publicam in lucem emittendis *Προτρεπτικόν*. Parisiis 1648. p. 46.

4) De histor. graec. l. IV p. 499 ed. Lugd. Bat. 1650.

5) Le grand dictionnaire historique. Paris 1732 sub v. Attaliates.

6) Onomasticon t. 2 p. 190.

7) t. VI p. 667 — (t. VIII p. 79 ed. Harless.)

8) t. XI p. 194.

adducens Pluerum [1]), denique Haenelus V. Cl. [2]). Nemo tamen, quod sciam, mentionem fecit codicis bibliothecae Parisiensis, ad quam tamen doctis hominibus et indigenis et peregrinis facillimus semper fuit aditus. Neque Montefalconii catalogus bibliothecae Coislinianae, quo continetur Codicis 136 accurata descriptio, [3]) ullius ut videtur salivam movit. Nusquam enim ullum locum huius historiae laudatum reperi, neque in glossario mediae et infimae graecitatis Cangiano, neque in ipsius Montefalconii palaeographia graeca. Quapropter simul atque inveni opus adhuc paene incognitum, nihil antiquius duxi quam ut accuratam codicis Escoriacensis acquirerem notitiam. Etenim is codex a Michaele Balbo, si fides Labbeo ac Fabricio adhibenda, hoc est ab anno 820 initium sumpsisse dicebatur, noster contra a Michaele Paphlagone, anno tantum 1034 incipit. Sed frustra flagitavi ut haec mea de re illa dubitatio significatione aliqua tolleretur. anno tandem 1842 Eduardus Laboulaye academiae inscriptionum socius, Hispaniam peragrans, qua fuit semper in me benevolentia, rogatu meo Scoriacensem bibliothecam adiit, codicem invenit, inspexit, misitque mihi descriptionem, quam omni parte comprobavit accuratus eius-

1) in Itinerario per Hispaniam, Lipsiae 1777. p. 182.

2) Catalogi librorum MSS. Lipsiae 1830. qui tamen fallitur indicans codicem 18 Plut. I. arm. Σ. quo continentur Michaelis Apostolii varia scripta.

3) Bibliotheca Coisliniana olim Seguierana. Parisiis 1715 p. 106.

dem bibliothecae catalogus, a viro docto Millero nuper editus [1]).

Is igitur codex, decimi quarti, ut videtur, seculi, olim bibliothecae Matthaei Danduli, initio ac fine mutilus, fert in fronte sed manu recentiori lemma illud: Μιχαὴλ Ἀτταλειάτου χρονικὸν ἀκέφαλον καὶ ἀτέλεστον, ἀπὸ τῆς βασιλείας Μιχαὴλ τοῦ Τραυλοῦ μέχρι τῆς βασιλείας Μιχαὴλ τοῦ Δουκός.

Unde omnes fere in errorem inducti sunt. Doctus tamen quidam anonymus margini adscripsit annotationem illam: „Non te decipiant inscriptiones appositae, sed confer codicem hunc cum Georgii Cedreni annalibus graecolatinis impressis Basileae a pag. 414 linea ultima illius editionis, et videbis inprimis hic haberi ultimam partem historiae illius, scilicet a medio imperio Michaelis Balbi usque ad finem, quem finem videre est fol. 267 pagina secunda huius codicis. Sed ea pag. secunda huius fol. 267 sequitur Michaelis Attaliotae ad imperatorem Botaniatem pro historia perfecta quam scripsit epistola dedicatoria, et fol. 269 historia. imperfecta utrinque est, [2]) scilicet ab ultimo imperio Michaelis Paphlagonis usque ad Michaelem Ducam, cui successit Nicephorus Botaniates, quo tempore floruisse probatur hic scriptor qui sic lacerus ad nos pervenit.“ Initium historiae Attaliatae et cuiusque paragraphi prima

---

1) Catalogue des MSS. grecs de la bibliothèque de l'Escuria par E. Miller. Paris 1848 p. 136.

2) Initio unicum folium deesse videtur a verbis τὸ τῆς ἱστορίας . . . ad verba Μιχαὴλ Δουκὸς τοῦ Δοκειανοῦ fol. 168 codicis Coisliniani.

verba, quae in usum meum contulit vir cl. et ornatissimus eruditione Laboulaye, conspirant cum codice Parisino, nisi quod in Escoriacensi deest folium unum initio et abrumpitur sermo post verba οἱ πολέμιοι τῆς στρατοπεδείας ἀπόσχονται, quae leguntur in cod. Coisliniano fol. 211 verso, tertia parte libri et amplius amissa.

Solus igitur, quod sciam, Coislinianus codex integram nobis servavit Michaelis Attaliatae historiam. Neque illa quidem diutius in bibliothecarum latebris delitescere debuit, quum multa alia scripta minoris momenti typis expressa sint. Fatendum tamen non apparere omnia in ea nova et inaudita. Multae enim verborum comprehensiones, interdum etiam integrae paginae, paucis mutatis leguntur inter additamenta quae sub nomine Ioannis Scylitzae ad calcem Cedreni edita sunt. Unde fit ut quaestio satis implicata, quisnam sit huius historiae legitimus auctor, novam disceptationem requirat. Cedrenum enim alii, alii Scylitzem furti accusaverunt: nunc tertius in iudicium supervenit Attaliates. Iam vir doctissimus Hasius, inspectis variis Scylitzae codicibus, statuit [1]) Scylitzem primum composuisse Synopsin historiarum a Nicephoro ἀπὸ Γενικῶν Augusto ad Isaaci Comneni imperium anno 1057, quam fere integram Cedrenus transtulit in compendium suum historicum. Postea vero idem Scylitzes, ab Alexio Comneno curopalatae munere auctus, historiam suam

1) In Comment. de Ioanne Lydo p. 33 in libro Ioan. Laur. Lydi de Magistratibus, Parisiis 1812.

deduxit ad annum 1081. Inque hac altera editione multos locos historiae Michaelis Attaliatae transcripsit ad verbum, tacito auctoris nomine, resectisque omnibus iis quae ad laudem Nicephori Botaniatae dicta fuerant.

Eiusmodi fraudem apud auctores medii aevi, immo in omni memoria, non ita raram, mire adiuvit continuata deinceps domus regnatrix Comnenorum. Quis enim tunc inquirebat de Nicephoro Botaniata vel de bucinatore laudum eius? praesertim quum Scylitzes, Bryennius, Anna Comnena eadem narraverint ad maximam Comnenorum gloriam. Nobis tamen, qui testes in utramque partem audire cupimus, satius videtur fontes ipsos quantum licet adire, ferventes interdum vel nonnumquam turbidos, quibus tamen plus saporis inest quam stagnantibus aquis aut varia corrivatione permixtis: qualia fere nobis praebent Cedreni Zonarae aliorumque id genus chronographorum Synopses vel Synagogae.

Talia monente Hasio, rerum ad historiam et litteras pertinentium summo arbitro, magistro ac fautore meo, facile inducta est illustris Academia regia Berolinensis ut Michaelis Attaliatae historiam in Byzantinorum Scriptorum corpus reciperet, in quo iam ante ducentos annos locum ei assignaverat Philippus Labbeus.

Codice igitur quam accuratissime descripto, apographum meum, denuo cum membranis collatum, anno 1844 Bonnae in manus bibliopolae tradidi, quod nunc demum publici iuris fit cum latina

translatione v. cl. Nathanis Rosenstein Gedani. Typographorum plagulas absenti mihi inspicere non licuit: sed recognitionem suscepit vir summus qui iam diu in emendandis priscorum voluminibus felicissimam operam posuit, Immanuel Bekkerus. Cuius illustre nomen titulo affixum opellam meam lectoribus abunde commendabit.

Scrib. Parisiis, XV Cal. Iun. a. 1853.

ΜΙΧΑΗΛ ΤΟΥ ΑΤΤΑΛΕΙΑΤΟΥ
ΙΣΤΟΡΙΑ.

ΛΟΓΟΣ ΠΡΟΣΦΩΝΗΤΙΚΟΣ ΕΚΦΩΝΗΘΕΙΣ ΠΑΡΑ ΜΙΧΑΗΛ ΜΑΓΙΣΤΡΟΥ ΒΕΣΤΟΥ ΚΑΙ ΚΡΙΤΟΥ ΤΟΥ ΑΤΤΑΛΕΙΑΤΟΥ ΠΡΟΣ ΤΟΝ ΒΑΣΙΛΕΑ ΤΟΝ ΒΟΤΑΝΕΙΑΤΗΝ.

Σὺ μέν, ὦ θειότατε βασιλεῦ, πᾶσαν παιδείαν ἔν τε στρατιωτικοῖς ὅπλοις καὶ μάχαις καὶ στρατηγίαις παντοδαπαῖς καὶ ἀνδραγαθίαις καὶ πρὸ τῆς βασιλείας ἐξησκηκώς, καί φιλάνθρωπος πᾶσι καὶ γαληνὸς καὶ παντὸς τύφου φαινόμενος ὑψηλότερος, ποθεινότατος ἐλογίζου καὶ τῆς πρώτης καὶ βασιλικῆς ἀξίας ἐπάξιος· βασιλεύσας δὲ ψήφῳ θεοῦ καὶ ἱκεσίᾳ πάντων ὁμοῦ καὶ συνθήκῃ τῶν τὰ σὰ γινωσκόντων ὑπερφυῆ προτερήματα, τὸν πλοῦτον τῆς σῆς ἀγαθότητος ἔτι μᾶλλον τοῖς πᾶσιν ἐξέχεας ἀφθονώτατα, ὅσῳ καὶ τὴν τιμὴν ὑπερ-

SERMO ALLOCUTIONIS CAUSA DICTUS A MICHAELE MAGISTRO VESTIARIO ET IUDICE ATTALIOTA AD IMPERATOREM BOTANIATEM.

Tu quidem, imperator divinissime, qui omnem disciplinam et in militaribus armis et proeliis et imperiis multis et virtutibus etiam antequam rex factus es exercuisti, atque humanus omnibus et placidus et omni arrogantia maior visus es, desideratissimus iudicabaris et prima atque regia dignitate dignus; cum autem regnares auctoritate dei et precibus omnium simul et assensu eorum, qui tuas noverant immensas virtutes, divitias tuae clementiae etiam magis omnibus effudisti plenissime, quo etiam honore superiore et omnibus celsiore accinctus es

τέραν περιεζώσω καὶ πάντων ἐξοχωτέραν τῇ τοῦ κράτους ὑπεροχῇ. ποικίλαις γὰρ καὶ παντοίαις τιμαῖς καὶ δώροις καὶ ἀφθόνοις χαρίσμασι, καὶ ὅσοις οὐδὲ πάντες οἱ πρὸ σοῦ βασιλεύσαντες τοὺς ἐν τοῖς χρόνοις αὐτῶν ἀνθρώπους ἠμείψαντο, κατελάμπρυνας τὸ ὑπήκοον, καὶ γέγονας τῷ ὄντι τῶν πρὸ σοῦ βασιλέων βασιλικώτερος, ὡς καὶ τοσούτους πολεμίους καὶ τυράννους καθυποτάξας καὶ βίον ἐκ παίδων ἔχων τῶν ἀνδραγαθημάτων τὸ μέγεθος. ὅθεν καὶ ἀγώνων ὑπόθεσις μεγίστη γέγονας τοῖς περὶ λόγους ἐσπουδακόσιν εἰς τὸ συγγράφειν τῶν σῶν κατορθωμάτων τὸ περιούσιον. ἐπεὶ δὲ ὥσπερ τις ὀλυμπιονίκης σεαυτῷ τὰ πάντα καθυπέταξας ἀκριβῶς, καὶ οὐδὲν ἀφῆκας τῶν ἐπαινουμένων ἐν κόσμῳ ἀκατόρθωτόν τε καὶ ἀνυπότακτον, εἶτα καὶ πρὸς τὴν ἐν τοῖς λόγοις καὶ πόνοις ὑψηλοτάτοις σπουδὴν ὅλον ἔτρεψας σεαυτόν, ἡμέρας μὲν τοῖς ἄθλοις καὶ τοῖς τῶν πραγμάτων ὄχλοις πονῶν καὶ κάλλος ἀμήχανον ἑαυτῷ ἐξυφαίνων εἰς ἑνὸς κόσμου, ἢ τό γε ἀληθέστερον εἰπεῖν ὑπερκοσμίου δόξης συμπλήρωσιν, ἁλουργίδα τε καὶ στέφανον οὐκ ἀποχρῶντα τῆς βασιλείας ἡγήσω παράσημα, στέφανον δὲ χαρίτων καὶ ἁλουργίδα ξενοπρεπῆ δι' εὐσεβείας καὶ φιλανθρωπίας καὶ ἀρετῆς διὰ παντὸς ἐπιδείκνυσαι, καὶ τῷ στέψαντί σε θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ γενέσθαι ὅμοιος περισπούδαστον ἔργον πεποίησαι, ὡς καὶ τῇ ἀναγνώσει καὶ ἀσκήσει τῶν λόγων δικάζειν ἀρρεπῶς καὶ νομίμως καὶ πράτ-

3. ὅσους C. 23. δικάζει C.

potentiae praestantia. variis enim et multis honoribus et muneribus et plenis donis, et quanta ne omnes quidem qui ante te regnarunt aequalibus reddiderunt, beasti subiectos, et factus es revera iis qui ante te regnarunt regalior, ut etiam tantos hostes et tyrannos subieceris et vitam ex liberis capias, nimirum fortium factorum magnitudinem. quare etiam certaminum argumentum maximum factus es orationum studiosis in conscribenda tuorum factorum copia. postquam autem tanquam victor olympicus tibi omnia subegisti aperte, neque quidquam eorum, quae in mundo celebrantur, infectum neque non subiectum; deinde etiam orationum et meditationum altissimarum studio totum te efformasti, tempus certaminibus et factorum copia exercens, et pulchritudinem immensam tibi ipsi contexens in unius mundi sive, ut verius dicam, supramundanae gloriae perfectionem; purpuram et coronam non sufficere imperii putasti signum, sed coronam gratiae et purpuram inusitatam pietate et humanitate et virtute omnino ostendis; atque deo, qui te coronavit, quantum homini licet, similem fieri, opus tibi proposuisti optatissimum, ut etiam lectione et exercitatione orationum iudicas stabili et iusto modo, et facere quae oportet et

τειν ἃ χρὴ καὶ πᾶσιν ὑποδεικνύειν ἀψευδὲς σύμβολον τὰ τῶν νυκτερινῶν σου λόγων σπουδάσματα, καὶ ὡς τὰς βίβλους ἀληθῶς περιέπεις καὶ τούτων ἐπιμελῶς ἀκροᾷ, μείζονα λοιπὸν ἡμῖν τὸν ἀγῶνα καὶ ἀκμαιότερον τέθεικας, ὥστε προφέρειν τι τῶν σῶν τουτωνὶ λογικῶν σπουδασμάτων ἐπάξιον. διὰ δὴ ταῦτα καί τινα δέλτον συντάξας ἐκ τῶν προσεχῶς τοῖς ἡμετέροις χρόνοις γεγενημένων πράξεων ἔν τε πολέμοις καὶ μάχαις καὶ νίκαις καὶ ἥτταις καὶ πολεμικοῖς κατορθώμασιν ἢ ἀτυχήμασι, προσθεὶς δὲ καὶ τὰς αἰτίας κατὰ τὸ δυνατὸν τῶν οὕτω τετελεσμένων, εἶτα παρατείνας τὸν λόγον ἢ καὶ ἐξαρτύσας ὡς ἐνηδύσμασί τισι τοῖς παρεμπίπτουσιν ἀπροόπτοις σημείοις, ἀρετάς τε καὶ κακίας τῶν ἀρξάντων καὶ ἡγεμονικῶς ὑπαρξάντων ἀναταξάμενος, συνεπιπλέξας δὲ καὶ φυσικάς τινας τεχνολογίας καὶ ζώων ἰδέας ἀναφανείσας τοῖς τότε καιροῖς, καὶ ἁπλῶς ποικίλην τινὰ βίβλον ὥσπερ λειμῶνα τοῖς ἄνθεσι βρύ- f. 168 r.
ουσαν ἀποτερματίσας ἐπὶ ἐξηγήσει τούτων ἁπάντων (καὶ γὰρ εἰ καὶ περὶ τῶν ἡμῖν ἐγνωσμένων φθέγγεται, ἀλλ' ἡ τῶν καινοπρεπῶν χύσις οὐ βούλεται ταῦτα σιγῇ παρελθεῖν καὶ εἰς λήθην τούτων τοὺς ἀνθρώπους ἐλθεῖν), ταύτην ὥσπερ τι καλλιέρημα καὶ δεξίωμα δουλικὸν τῇ σῇ φιλανθρωπίᾳ καὶ φιλοχρίστῳ σπουδῇ ἀναφέρω καὶ ἀνατίθημι, ὡς ἂν τῇ ταύτης κρίσει καὶ μεγαλοφυεῖ διαγνώσει διατεθῇ τὰ καλῶς

1. σύμβουλον C. 20. margo ἀνάθημα.

omnibus significare sincere ut signum nocturnarum tuarum orationum lucubrationes, atque quomodo literas vere colas hasque diligenter legas, maius iam nobis certamen et vividius reddidisti, ut proferamus quod tuis hisce oratoriis lucubrationibus dignum sit. propterea igitur etiam cum librum quendam conscripserim rerum proxime nostris temporibus gestarum in bellis et proeliis et victoriis et cladibus et belli felicibus et infelicibus factis, et addiderim etiam caussas, quoad potui, eorum, quae ita gesta sunt, deinde extenderim librum sive potius condierim tanquam condimentis quibusdam fortuitis neque antea animadversis signis, atque virtutes et vitia eorum, qui regnarunt et qui imperatoris modo praesides fuerunt, repetierim, sed adiecerim etiam naturales quasdam quaestiones et animalium formas, quales apparuerint illis temporibus, atque uno verbo varium quendam librum, tanquam pratum floribus abundans finiverim ad enarranda haec omnia, (etenim etsi de iis, quae a nobis spectata sunt, dicetur, tamen novissimarum rerum copia non sinit haec silentio praeteriri et in oblivionem harum homines incidere), hunc igitur librum tanquam sacrum faustum et donum acceptum servi tui humanitati tuae et studio Christianis amicissimo offero et depono ut huius iudicio et distinctione

ἔχοντα, καὶ εἰ μή τι ἄλλο, τόγε πρόθυμον τῆς ἐμῆς δουλώσεώς τε καὶ πίστεως εὐπρόσδεκτον λογισθῇ θυμίαμα τῇ σῇ βασιλικωτάτῃ καὶ φιλανθρώπῳ μεγαλειότητι, μετρεῖν εἰδυίᾳ μὴ τῇ ἀξίᾳ τοῦ διδομένου ἀλλὰ τῇ διαθέσει καὶ πίστει τοῦ διδόντος τὸ ἀνταπόδομα.

magnanima discernantur quae bene se habeant, atque si nihil aliud, certe voluntas meae obedientiae et fidei acceptum habeatur thuris sacrum a tua regalissima et humana magnanimitate, quae metiri scit non ex pretio rei traditae sed ex animo et fide tradentis gratiam.

ΙΣΤΟΡΙΑ ΕΚΤΕΘΕΙΣΑ ΠΑΡΑ ΜΙΧΑΗΛ, ΑΙΔΕΣΙΜΩΤΑΤΟΥ ΚΡΙΤΟΥ ΕΠΙ ΤΟΥ ΙΠΠΟΔΡΟΜΟΥ ΚΑΙ ΤΟΥ ΒΗΛΟΥ, ΤΟΥ ΑΤΤΑΛΕΙΑΤΟΥ.

Τὸ τῆς ἱστορίας χρῆμα πολλοῖς τῶν πάλαι σοφῶν σπουδασθὲν οὐ παρέργως, χρήσιμον ἐς τὰ μάλιστα κατεφάνη τῷ βίῳ, τοὺς τῶν ἀρίστων καὶ μὴ τοιούτων βίους ἀνακαλύπτον, καὶ πράξεις ἐπιφανεῖς ἐξ ἀνεπιλήπτου βουλῆς καὶ σπουδῆς διαγράφον, καὶ ἀδοξίας αὖ πάλιν ἐκ δυσβουλίας ἢ ὀλιγωρίας τῶν προεστώτων τοῖς πράγμασιν, ἐξαιρέτως δὲ τῶν ἀρχικὴν μετιόντων ἀξίαν, ὅπως ἄλλοι μὲν ἐξ ἐπιμελοῦς στρατηγίας προφανεῖς κινδύνους κατηγωνίσαντο, καὶ ὅπως ἕτεροι, τῆς νίκης ἤδη προσμειδιᾶν ἐπειγομένης αὐτοῖς, διέφθειραν τὰς ἐπὶ τὸ κρεῖττον ἐλπίδας, μὴ συνετῶς χρησάμενοι τοῖς ἐμπίπτουσι. ταῦτα τοίνυν διὰ τῆς ἱστορίας ἀπογυμνούμενα, πολλήν, ὡς

13. προμειδιᾶν C.

HISTORIA EXPOSITA A MICHAELE ATTALIOTA IUDICE PRAEPOSITO HIPPODROMO ET CURIAE.

Historia a multis doctorum hominum, qui antea fuerunt, tractata non sine studio, utilis in plurimis apparuit vitae, cum optimorum eorumque qui non essent optimi, vitas detegeret et res illustres animo et studio praeiudicatarum opinionum expertibus describeret; et res inglorias rursus ex stultitia et negligentia eorum, qui rebus praesunt, maxime eorum, qui imperatoriam assequuntur dignitatem, quomodo alii diligenti imperio provisa pericula superarint, et quomodo alii, cum

ἔφαμεν, εἰσενηνοχότα τὴν χρησιμότητα, διδασκαλία σαφὴς χρηματίζοντα καὶ ῥυθμὸς τῶν μετέπειτα, πρὸς μίμησιν ἀτεχνῶς ἕλκοντα τῶν εὖ διακεκριμένων καὶ ἀποτροπὴν τῶν ἀσυμβούλως καὶ δυσκλεῶς πεπραγμένων ἐν πολέμοις καὶ μάχαις καὶ λοιποῖς ἀναγκαιοτάτοις ἐπιχειρήμασι καὶ προβλήμασι. διὸ δὴ ἔδοξε κἀμοί, καίτοι μυρίαις ἀσχολίαις ἀλύοντι περὶ τὸ στρατόπεδον καὶ δικαστικοῖς διαλόγοις ἀεὶ περιδονουμένῳ καὶ ὅσαι ὧραι τοῖς ἐξ αὐτῶν συγγράμμασι κάμνοντι, προσθήκην ἐμποιῆσαι τοῖς πόνοις καὶ μικρὰ ἄττα διαλαβεῖν βραχεῖ τινι ῥήματι καὶ ἁπλοϊκῷ, καθὰ προσήκει τοῖς ἱστορίας συγγράφουσιν, ὅτι μὴ ἀγωνιστικὸς ὁ λόγος καὶ διὰ τοῦτο μεθόδου προσδεόμενος τεχνικῆς, ἀλλ' ἱστορικὸς καὶ διπλόης ἁπάσης καὶ ἀκαιρολογίας ἀνώτερος, περὶ ὧν οὐκ ἀκοῇ καὶ μύθοις ἑτέρων παρέλαβον, ἀλλ' ὧν αὐτὸς αὐτόπτης καὶ θεατὴς ἐχρημάτισα, ἵνα μὴ λήθης βυθοῖς διὰ τῆς τοῦ χρόνου παραρροῆς τὰ λόγου καὶ ἄξια συγχωσθεῖεν, ἀλλὰ τὴν μνήμην ἀθάνατον ἔχωσιν.

a. 1034 11. April Ἄρτι τὰ Ῥωμαίων σκῆπτρα διέποντος τοῦ τῆς εὐσεβοῦς λήξεως βασιλέως Μιχαήλ, ᾧ πατρὶς ἡ τῶν Παφλαγόνων ἐγνωρίζετο ἐπαρχία, κατεπολεμήθη τὸ τῶν Ἀγαρηνῶν φῦλον πρὸς ἑσπέραν ἐν Σικελίᾳ ναυτικαῖς τε καὶ πεζικαῖς Ῥωμαίων

3. ἕλκον C. 8. κάμνοντα C. 14 ἑταίρων C: correxit Brunetus.

victoria iam arridere coacta esset iis, deleverint meliores spes, non prudenter usi casibus. haec igitur per historiam detecta, cum multam, ut diximus, attulerint utilitatem, institutio sapientiae est ei qui rebus summis praeest, et moderatio posteris, imitationem necessario excitans bene diiudicatorum et aversionem eorum, quae imprudenter et sine gloria gesta sunt in bellis et proeliis et ceteris maxime necessariis inceptis et difficultatibus. propterea igitur visum est mihi quoque, licet innumerabilibus negotiis turbato rei militaris et iudiciariis controversiis excitato et multum tempus scripta talium rerum laboranti, accessionem facere laboribus et pauca quaedam comprehendere brevi quodam orationis genere et simplici (uti decet historiarum scriptores nisi oratio sit e genere disputationum et propterea methodi appetens artificiosae, sed historica et abundantia omni et loquacitate superior), de iis, quae non fando aut sermonibus aliorum acceperim, sed quibus ipse testis et spectator interfuerim, ne oblivionis voraginibus fluctibus temporis quae narratione etiam digna sint, confundantur, sed memoriam immortalem nanciscantur.

Nuper imperium Graecorum gerente rege pia morte defuncto Michaele, cui patria Paphlagonum provincia nobilitabatur, bellum intulit

δυνάμεσι· καὶ εἰ μὴ διαβληθεὶς περὶ τυραννίδος ὁ τὴν στρατηγίαν τῶν ὅλων ἐμπιστευθεὶς Γεώργιος ἐκεῖνος ὁ Μανιάκης ἐκ μέσου γέγονε, καὶ ἄλλοις ἀνετέθη τὰ τοῦ πολέμου, κἂν ὑπὸ Ῥωμαίοις ἐτέλει νυνὶ νῆσος οὕτω μεγάλη καὶ περιβόητος f. 168 v. καὶ πόλεσι περιεζωσμένη μεγίσταις καὶ τῶν ἄλλων χρηστῶν οὐδενὸς ἀποδέουσα. νῦν δὲ ὁ φθόνος καὶ τὸν ἄνδρα καὶ τὰς πράξεις καὶ τοσοῦτον κατειργάσατο ἔργον· αἰσχρῶς γὰρ καὶ ἀγεννῶς βουλευσαμένων τῶν ὕστερον στρατηγῶν σὺν αὐτῇ καὶ τὸ πλεῖστον τοῦ στρατεύματος ἀπολώλει Ῥωμαίοις. οὐ μὴν δὲ ἀλλὰ καὶ οἵ ποτε σύμμαχοι καὶ τῆς ἰσοπολιτείας ἡμῖν συμμετέχοντες, ὡς καὶ αὐτῆς τῆς θρησκείας, Ἀλβανοὶ καὶ Λατῖνοι ὅσοι μετὰ τὴν ἑσπερίαν Ῥώμην τοῖς Ἰταλικοῖς πλησιάζουσι μέρεσι, πολέμιοι παραλογώτατοι ἐχρημάτισαν ἐμπεπαρῳνηκότος εἰς τὸν ἄρχοντα τούτων τοῦ τότε τὴν στρατηγίαν ἰθύνοντος Μιχαὴλ δουκὸς τοῦ Δοκειανοῦ.

Ἀλλὰ περὶ μὲν τούτων ἅλις· Μυσοὶ δέ, οἷς ἰδικὴ προσηγορία τὸ τῶν Βουλγάρων καθέστηκεν ὄνομα, τηνικαῦτα τοὺς τῆς δουλώσεως ἀποπτύσαντες χαλινοὺς εἰς ἀποστασίαν προκεχωρήκεσαν, καὶ τὸν βασιλέα περὶ τὰ ἐν Θεσσαλονίκῃ διατρίβοντα ὅρια, καὶ μόνους τοὺς ἐν τῇ αὐλῇ σωματοφύλακας ἔχοντα ὡς διὰ φιλίας παροδεύοντα γῆς, ἰταμῶς συνεδίωξαν· ἐξαρτύσας δ' οὗτος ἅμα τῷ εἰς τὴν βασιλεύουσαν εἰσιέ-

Agarenorum natio occidentem versus in Sicilia navalibus et terrestribus Graecorum viribus, atque nisi accusatus dominationis capessendae, cuius fidei imperium universum datum erat Georgius ille Maniaces e medio sublatus esset, et aliis impositae essent res bellicae, fortasse Graecis nunc esset subiecta insula tam magna atque celebris et urbibus cincta maximis neque ceterorum bonorum ullo carens. nunc autem invidia et virum et facta et tantum delevit opus. cum enim turpiter humiliterque consilia caperent posteri imperatores, cum ipsa insula etiam maxima pars exercitus evanuit Graecis. verumenimvero etiam priores socii aequales nobis civitatis participes ut etiam eiusdem deorum cultus, Albani et Latini, quicunque post occidentalem Romam Italicis regionibus adhaerent, hostes maxime inexspectati exstiterunt, postquam per ebrietatem elusit ducem eorum, qui tum imperium gessit Michael ducas Doceianus.

Sed de his quidem satis dictum. Mysi autem, quibus propria appellatione Bulgarorum nomen impositum est, tunc abiectis servitutis frenis in defectionem processerant et regem in montibus Thessalonices versantem solosque aulicos corporis stipatores habentem, quippe qui per amicam iter faceret terram, audacter aggressi sunt; hic autem instruens simulatque regiam intravit quae ad bellum essent opus fortiter

ναι τὰ περὶ τὸν πόλεμον εὐθαρσῶς, καὶ τῆς ἐνοχλούσης ἀσθενείας ἐπιλαθόμενος (καὶ γὰρ ἦν τοῖς ἐπιληπτικοῖς, ὡς δέ τινες μελαγχολικοῖς κάτοχος), θᾶττον ἐξ ἁπασῶν τῶν ἐπαρχιῶν συνεστήσατο στρατιάν, καὶ μετὰ τῶν δυνάμεων τῇ Σαρδικῇ τῇ νῦν λεγομένῃ Τριαδίτζῃ καὶ δι' αὐτῆς Ἰλλυρικῷ προσβαλὼν κατὰ κράτος τοὺς ἀποστατήσαντας ἐτροπώσατο, καὶ τὴν χώραν αὐτῶν πολλὴν καὶ μεγάλην καὶ στενόπορον οὖσαν, καὶ χρόνοις πολλοῖς ἀνταγωνιζομένην τοῖς πρὸ τοῦ βασιλεῦσι διὰ τὸ δυσεξίτητον τῶν ἐν αὐτῇ αὐλώνων, ἰσχυρῶς παρεστήσατο, καὶ ἀθιγὴς ἐκεῖθεν ἀνέζευξε, τὰ ἐν ταύτῃ καταστησάμενος πράγματα, καὶ τὸν ἐπιφανῆ λαμπρῶς κατηγάγετο θρίαμβον, καὶ ἀγῶνα ἱππικόν τε καὶ πεζικὸν ἑορτάσας οὕτω δι' ὀλίγου τὸν ἐνταῦθα βίον κατέστρεψε, πολλὰ τῆς ἀρετῆς καταλιπὼν εἰκονίσματα, ζήσας ἐν τῇ βασιλείᾳ χρόνους ζ' καὶ μῆνας ζ'.

a. 1041 Τῆς δὲ συζύγου τούτου καὶ βασιλίδος Ζωῆς ἐν τοῖς κατὰ νότον ἀνακτόροις ἐπανελθούσης ἀπὸ τῶν βορειοτέρων μερῶν τῆς πόλεως (ἐκεῖσε γὰρ ὁ βασιλεὺς περὶ τὴν τῶν ἁγίων ἀναργύρων μονὴν τὸν χοῦν ἐναπέθετο) σύλλογος εἶχε τὴν μεγαλόπολιν, καθὰ φιλεῖ ταῖς μεταβολαῖς τῶν πραγμάτων ἐγγίνεσθαι. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ βασιλεὺς ἀνηγορεύθη Μιχαὴλ ὁ τοῦ προαπελθόντος βασιλέως ἀδελφιδοῦς, τὴν Καίσα-

5. τραλιτζῃ C: correxit Brunetus. 6. προλαβὼν C. 13. μετ'? 14. καταλειπῶν C.

et aegrae infirmitatis oblitus (etenim erat epilepticis, sive ut quidam tradunt melancholicis casibus obnoxius) celeriter ex omnibus provinciis constituit exercitum. et cum copiis Sardicum agrum, quem nunc vocant Triaditzicum, et huius ope Illyricum occupans, fortiter eos, qui defecerant, vicit, et terram eorum multam et magnam et angustam, et temporibus multis resistentem prioribus regibus propter invia loca vallium suarum, fortiter sibi subiecit et tutus hac re castra movit, postquam eius terrae composuit res, et illustrem clare reportavit victoriam: et cum certamen equestre atque pedestre celebrasset, brevi vitam hanc terrenam finivit, multis virtutis relictis signis; postquam vixit in imperio annos septem et menses septem.

Cum autem uxor eius et regina Zoe in regiam ad meridiem sitam rediisset ex partibus magis ad septentriones versis urbis (ibi enim rex ad SS. Anargyrorum monasterium sepultus est) conventus implevit urbem, sicut solet in mutationibus rerum fieri. non multo tempore interiecto rex creatus est Michael regis defuncti nepos Caesaris sortem ex multis habens annis, deinde regia adoptione factus filius et iuribusiurandis terribilissimis non atramento, sed sanguine incorrupto

ρος τύχην ἐκ πολλῶν ἕλκων χρόνων, εἶτα τῇ ἀνακτορίσσῃ θέσει χρηματίσας υἱός, καὶ ὅρκοις φρικωδεστάτοις, οὐ μέλανι ἀλλ' αἵματι ἀχράντῳ τοῦ θεανθρώπου λόγου καὶ χειρὶ τοῦ μείζονος ἐν γεννητοῖς γυναικῶν βαπτιστοῦ ἐνσεσημασμένοις, ἀνόθευτον τὴν πρὸς αὐτὴν τάχα βεβαιωσάμενος πίστιν. καὶ ἦν ὁ ἀνὴρ ἐπὶ μὲν τῆς προτέρας διαγωγῆς κακιζόμενος καὶ τοῖς ἐπαινετῶς πολιτευομένοις μὴ συναπτόμενος, ἐπὶ δὲ τῆς βασιλικῆς ἀναβάσεως καὶ λίαν ἐγκωμιαζόμενός τε καὶ σεμνυνόμενος, οἷα φιλοτίμως ἄρτι πρῶτον ὑπὲρ τοὺς πρὸ αὐτοῦ βεβασιλευκότας τῇ συγκλήτῳ καὶ τοῖς ἄλλοις προσφερόμενος ὑπηκόοις, καὶ τιμαῖς περιβλέπτοις καὶ ἀξιώμασι πλείστους ὅσους καταγεραίρων, καὶ τὴν εὐνομίαν, εἴπερ τις ἄλλος, σπουδάζων ἀνεγερθῆναι, καὶ τῶν ἀδικουμένων ἐκδικητὴς ἀναφαινόμενος ἀπαραίτητος, καὶ δικαιοσύνην τῶν ἄλλων ἁπάντων ὑπεραίρων καὶ προτιμώμενος. ἐξήγαγε γὰρ καὶ τῆς χρονίας φρουρᾶς τόν τε Κωνσταντῖνον ἐκεῖνον τὸν Δαλασσηνόν, ὡς ὕποπτον περὶ τῆς βασιλείας ἐν πύργῳ ἀποκλεισθέντα παρὰ τοῦ θείου f. 169 r.
αὐτοῦ, καὶ τὸν πατρίκιον ἐκεῖνον Γεώργιον τὸν Μανιάκην, ὃν καὶ τῷ τῶν μαγίστρων τετιμηκὼς ἀξιώματι καὶ κατεπάνω Ἰταλίας προεχειρίσατο. τοὺς δὲ συγγενεῖς αὐτοῦ, πολλοὺς μὲν καὶ πλουσίους φορτικοὺς δὲ δοκοῦντας τῷ βάρει τῶν πράξεων, ἄρδην ἐκ μέσου πεποίηκε, τὸν μὲν ἐξάρχοντα τούτων Ἰωάννην μοναχὸν καὶ ὀρφανοτρόφον, ὃς τὴν τῶν πραγμάτων εἶχεν

12. τι ἄλλο C.

rationis hominis divini, et manu maioris inter genitos a mulieribus baptistae signatis sinceram huius adoptionis statim confirmans fidem. atque erat homo propter priorem conditionem infamis, neque laudabiliter administratarum rerum particeps erat. in imperii autem initio etiam valde laudabatur et celebrabatur, ut generose nuper primum prae prioribus regibus senatui et ceteris se offerens subiectis, et honoribus illustribus et dignitatibus quam plurimos ornans, et legitimum statum si quis alius studens suscitare: et rerum iniustarum ultor visus inexorabilis, et iustitiam prae omnibus aliis efferens et colens. eduxit enim etiam ex longinquo carcere Constantinum illum Dallassenum, qui suspectus regni affectandi in turri inclusus erat ab avunculo eius, et patricium illum Georgium Maniacen, quem etiam magistrorum honoravit dignitate et superioris Italiae praefectum constituit. propinquos autem suos, qui multi quidem et divites erant, violenti tamen videbantur atrocitate factorum prorsus e medio sustulit, cum ducem horum Ioannem monachum et orborum praesidem, qui rerum ut rex obtinebat administrationem, in aeternum eiiceret exilium, ceteros vi-

ὡς βασιλεὺς διοίκησιν, ἀϊδίῳ ἐλάσας φυγῇ, τοὺς δὲ λοιποὺς ἀκμῆτας καὶ τὸν ἴουχον ἐπανθοῦντας, οὓς δὲ καὶ προσήβους, ἐκτομίας ἀπεργασάμενος. καὶ τὸ γένος αὐτοῦ τοῦτον τὸν τρόπον καταστρέψας, ἄφρονα ζῆλον προσφέρειν τοῖς συνετοῖς ἔδοξεν, ἐψιλωμένον ἑαυτὸν τοσαύτης βοηθείας καὶ συγγενικῆς βοηθείας ἀπεργασάμενος.

Ἀμέλει τοι καὶ κατὰ τὴν θείαν καὶ πάνδημον ἑορτὴν τῆς ὑπερφυοῦς ἀναστάσεως Χριστοῦ τοῦ θεοῦ ἡμῶν, ἥτις πάσχα σωτήριον τοῖς ὀρθοδόξως δοξάζουσι διωνόμασται, τῆς βασιλικῆς εὐτρεπιζομένης προόδου οἱ τῆς ἀγορᾶς προεξάρχοντες, πέπλα σηρικὰ πολυτελῶς ἐξυφασμένα τῇ γῇ καταστρώσαντες ἀπ' αὐτῶν τῶν ἀνακτόρων μέχρι τῶν τοῦ σεβασμίου καὶ μεγίστου ναοῦ τῆς τοῦ θεοῦ λόγου ἁγίας σοφίας πυλῶν, ἐπὶ τούτοις τὸν βασιλέα μετὰ τῆς δορυφορούσης αὐτὸν εὐταξίας διελθεῖν φιλοτίμως παρεσκευάκασι. μετὰ δὲ ταῦτα καὶ κατὰ τὴν νέαν κυριακὴν ἐφίππου τῆς προόδου γεγενημένης ἐπεριπετάννυντο ὧδε κἀκεῖσε τὰ πολυτελῆ τῶν ὑφασμάτων καὶ τίμια, καὶ κόσμος ἄλλος χρυσῷ καὶ ἀργύρῳ καταστράπτων συνεχῶς ὑπερήρτητο, καὶ πᾶν τὸ τῆς ἀγορᾶς στεφανηφοροῦν καὶ οἷον ἑορτάζον χαρμόσυνά τινα καὶ σωτηριώδη κατελαμπρύνετο· ἡ δὲ προπομπὴ θαυμαστὴ τῷ ὄντι καὶ βασιλική, πανταχόθεν εὐφημίαις συγκροτουμένη καὶ χάρισι καὶ παιανισμοῖς ἐξαιρομένη τῆς πόλεως, πλὴν ὅσον τὸ τοῦ συνήθους

6. βοηθείας] σπουδῆς? an ἀρωγῆς? 11. συρικὰ C. 16. ἐφ' ἵππου C. 23. τὸ suspectum.

gentes et circum primam barbam florentes, nonnullos etiam maturos faciendos curaret eunuchos, et genus suum hoc modo deleret, insanum studium adhibere prudentibus visus est, qui tanto auxilio et propinquorum opibus se nudaret.

Attamen etiam divino et communi festo admirandae resurrectionis Christi dei nostri, quod pascha salutiferum ab iis qui verae fidei addicti sunt nominatum est, cum regia pararetur pompa, antistites fori stragula Serica pretiose texta humi sternentes inde a regia ipsa usque ad portas venerabilis et maximi templi sapientiae sanctae divinae rationis in his ut rex cum ordine satellitum eum comitante ingrederetur certatim effecerunt. deinde autem, etiam nova die festa cum equis pompa fieret circum sternebant hic et illic pretiosa textilia et aestimata, et ornatus alius auro et argento fulgens eminebat: et omnes qui in foro serta gerebant et festum celebrabant laeti et salutares ostentabantur: prosecutio autem admirabilis erat revera et regia, undique acclamationibus applausa et gratiis et paeanibus elata urbis;

πρωιαίτερον γενομένης τῆς προελεύσεως ἔκπληξις κατεῖχε τοὺς συνετωτέρους τῶν θεατῶν, συμβάλλοντας ὅπως πρὸ τοῦ κατασκευασθῆναι τὸ θέατρον καὶ πλησθῆναι τὰς ἀγυιὰς κατεσπουδασμένην ὁ βασιλεὺς τὴν πρόοδον ἐναπέδειξε· καὶ οἰωνὸς οὐκ ἀγαθὸς ἐδόκει τὸ ἔξωρον. τέως δὲ τὸν μὲν βασιλέα αὖθις ὑποστρέψαντα ἐκ τοῦ μεγίστου ναοῦ τῶν κορυφαίων ἀποστόλων εἶχε τὸ παλάτιον, μέγα φρονοῦντα τῷ τυχεῖν τοιαύτης ἀποδοχῆς τε καὶ προπομπῆς, τὴν δὲ δέσποιναν πρὸς τὴν ἑσπέραν ἡ Πρίγκιπος (νῆσος δὲ αὕτη τῆς βασιλευούσης οὐ πόρρω) μελαμφοροῦσαν καὶ κεκαρμένην τὰς τρίχας.

Τῇ δ' ἐπαύριον ἔτι τοῖς πολλοῖς ἀγνώστου καθεστῶτος τοῦ πράγματος, φιλοτιμία περὶ τῶν διηγημάτων τῆς παρελθούσης ἡμέρας ἐγίνετο, τοῦ μὲν τάδε τοῦ δὲ τάδε θαυμαστικῶς ἐπιλέγοντος, καὶ ἄλλου προφθάνειν ἐπειγομένου τὸ παρεθέν, καὶ πάντων ἀποσεμνύνειν βουλομένων τὰ κράτιστα. ὡς δὲ κατέπτη τὰ τοῦ πάθους τῷ δήμῳ καὶ περιέδραμεν ἡ φήμη τοὺς περικύκλῳ, εὐθὺς ἦν ἰδεῖν ἀθρόον τὴν ἐναντίαν μεταβολὴν κατασχοῦσαν τοὺς σύμπαντας, καὶ ἀντεσηκώθη τοῖς χαρμοσύνοις τὰ σκυθρωπά, καὶ ἀντὶ τιμῆς καὶ φιλοτιμίας, ἣν πρὸς τὸν κρατοῦντα ἐδείκνυον, μῖσος ἄσπονδον ἐξηγείρετο, καὶ ἄλλος ἄλλου θερμότερος ἔσπευδε γενέσθαι καὶ τῆς κατ' αὐτοῦ προκατάρξασθαι δυσμενείας καὶ ἀναιδείας. ταῦτα μεμα-

2. *συμβαλόντας* C.

nisi quod propter solito prius factam processionem consternatio capiebat prudentiores inter spectantes, reputantes, antequam paratum esset theatrum et impletae viae, regem pompam institutam ostendisse; neque omen bonum videbatur intempestivitas: interea regem quidem rursus reversum e maximo templo celsorum apostolorum continebat palatium alte elatum quod contigerat ei tanta salutatio et prosecutio; dominam autem Principus (insula haec reginae non longe abest) nigris indutam vestibus et tonsam capillos.

Postero autem mane cum etiamtum multitudini ignota esset res instans, certamen narrationum de superiore die fiebat, cum alius haec, alius illa mirifica nominaret et alius prius narrare studeret relictum et omnes celebrare vellent maxima; cum autem concideret populo animi motus et pervagaretur fama omnes circum, statim poterat spectari contraria mutatio, quae omnes occupasset, et aequata sunt laetis tristia; et pro honore et certamine, quae imperatori praestabant, odium implacabile excitabatur, et alius alio calidior studebat fieri, et contra eum inimicitiam prius exercere et impudentiam. quae cum animadvertisset rex et vellet deprimere ardentem perturbationem Byzantiorum inscriptionem quandam curari iussit his in celebriore loco fori

θηκῶς ὁ βασιλεύς, καὶ βουλόμενος καταστεῖλαι τὸ φλεγμαῖνον τοῦ πάθους τῶν Βυζαντίων, ἔγγραφόν τι ποιεῖται τούτοις κατὰ τὸν ἐπισημότερον τόπον τοῦ φόρου ἐπαναγνωσθησόμενον, μεταφέρον τὰς αἰτίας ἐπὶ τὴν πεπονθυῖαν, ὡς αὐτῆς τῆς βουλῆς προκαταρξαμένης ἀνδρικώτερον οὗτος τὸ προβούλευμα κατειργάσατο, σκῆψιν πάντας ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς προμηθούμενος ψευδεπίπλαστον, ἵνα περιτρέψῃ τὰς τῶν πεπονθότων ψυχὰς καὶ ὃν ὑπώπτευε διαδράσειε κίνδυνον. ἔλαθε δὲ τὸν καπνὸν ὑπεκκλίνων εἰσβαλὼν εἰς τὸ πῦρ. τοῦ γὰρ πιττακίου ἀναπτυχθέντος πλεῖστος ὄχλος ἐπέρρευσεν εἰς τὴν
f. 169 v. ἀκρόασιν, καὶ οὐδὲ δευτέραν φωνὴν τοῦ ἀναγινώσκοντος προεμένου ἤρξατο τὸ πλῆθος δίκην ἀγριαινομένης θαλάσσης ἐξοιδοῦσθαί τε καὶ οἷον κυμαίνεσθαι, καί τις πρῶτος τῶν ἄλλων ὑβριστικὴν φωνὴν ἀφιεὶς καὶ λίθου βολὴν ἐπαφῆκε σὺν τῇ φωνῇ. αὐτίκα οὖν τὸ περικεχυμένον πλῆθος ἐκεῖσε, ὥσπερ ὑφ' ἡγεμόνι τῷδε τῷ δημοτικῷ στρατηγούμενον, τὴν ὁμοίαν γνώμην καὶ γλῶτταν ἐξέρρηξε· καὶ κατὰ τοῦ ἐπάρχου μετὰ βοῆς καὶ ἀλαλαγμῶν ἐξορμήσαντες οἱ πάροντες, ὡς εἶχον θυμοῦ καὶ ὀργῆς, καὶ τὰς τῶν ἐμπόρων καταστρέψαντες κραββατίνας ὅπλοις ἀγχεμάχοις τούτοις κατὰ τῶν τῆς βασιλικῆς μοίρας καὶ τῶν ἐπαρχικῶν κατεχρήσαντο. καὶ τούτους ἄρδην καταβαλόντες καὶ φυγεῖν αἰσχρῶς ἀναγκάσαντες οὐ διασκεδάσθησαν, οἷα τὰ τοῦ συμμιγοῦς πλήθους καὶ χηρεύοντα ἀρ-

22. καταβάλλοντες C.

recitandam, quae causas conferret in casum; senatu ipso antea incipiente, virilius hic consilium confecit, excusationem omnino malo capitis sui excogitans fictam, ut flecteret eorum, qui aliquid passi erant, animos et quod suspicabatur effugeret periculum. sed inscius cum fumum vitaret incidit in ignem: tabula enim evoluta plurima plebs confluxit ad eam audiendam: et cum nedum alteram quidem vocem legens pronuntiasset, incepit multitudo instar saevientis maris tumescere et quasi fluctuare. atque aliquis primus aliorum superbam quandam vocem emittens etiam lapidis iactum addidit voci; statim igitur circumfusa multitudo ibi tanquam a duce hoc populari directa eandem sententiam et linguam prorupit, et contra praefectum magno cum clamore et acclamationibus bellicis incedentes qui aderant, ita ut erant animi et irae, et mercatorum delentes deversoria armis his cominus adhibendis contra regios et praefectos abusi sunt: atque hos omnino deiicientes et ad fugiendum turpiter cogentes non dissipati sunt, velut mixta multitudo, duce orbata, sed quasi superne ducti nobilioribus consiliis ad maiora se collegerunt, et accessionem quaque hora ex iis, qui quasi confluebant, capiebant: summa autem pars consilii erat,

χηγοῦ, ἀλλ' ὥσπερ ἄνωθεν στρατηγούμενοι γενναιοτέροις βουλεύμασι πρὸς τὸ καρτερώτερον ἀνελάμβανον ἑαυτούς, καὶ προσθήκην ἑκάστης ὥρας ἐκ τῶν συρρεόντων ἐλάμβανον. τὸ δὲ κεφάλαιον τῆς βουλῆς, μὴ ἐνδοῦναι μηδὲ μαλακισθῆναί τι καὶ ἀναβεβλημένον παθεῖν, ἀλλὰ τὸν ἀχάριστον καὶ ἀγνώμονα περὶ τὴν εὐεργέτιν, καὶ ἀδικίαν κατὰ τῶν φρικωδεστάτων ὅρκων πεποιηκότα, τῆς ἀρχῆς καθελεῖν ὡς ἀλιτήριον καὶ ταύτης ἀνάξιον. βοὴ δὲ τούτοις οὐκ ἄσημος τὸ ποιητέον ἐπέτρεπε. καὶ οἱ μὲν τὰς φρουρὰς καθελόντες τοὺς φυλακίτας τῶν δεσμῶν ἠλευθέρουν καὶ κοινωνοὺς ἐποιοῦντο τῆς διεγέρσεως καὶ τῆς ἐπιτετραμμένης αὐτοῖς ἐνδιαθέτοις ὁρμαῖς ἐκδικήσεως, οἱ δὲ τὰ ἀνάκτορα κατελάμβανον καὶ πόλεμον πολιτικὸν ἀνερρίπιζον. ἄλλοι τὰς οἰκίας τῶν κατὰ γένος προσηκόντων τῷ βασιλεῖ καὶ μεγάλα δυναμένων τῷ κατ' ἐκεῖνο καιροῦ περιστοιχίσαντες ἐξ ἐφόδου κατήρειπον, καὶ τὸν πλοῦτον πολλοῖς ἀδικήμασι καὶ στεναγμοῖς πενήτων ἀποτεθησαυρισμένον ἐξήντλουν. οὐδὲ ναοὶ καὶ σεμνεῖα παρ' αὐτῶν πολυτελῶς καὶ πλουσίως ἀνεγερθέντα φειδοῦς ἠξίωντο, ἐλαφυραγωγοῦντο δὲ καὶ αὐτὰ καὶ ὡς ἐναγῆ ἐβεβήλωντό τε καὶ διηρπάζοντο. ἕτεροι κατὰ τὸ τέμενος τῆς τοῦ θεοῦ λόγου ἁγίας σοφίας εἰσρεύσαντες τὸν πατριάρχην αὐτὸν τὴν ἱεραρχικὴν στολὴν ἀμπεχόμενον κατεβίβασαν, ἐκβιαζόμενοι τὴν κληρονόμον καὶ δέσποιναν μὴ περιιδεῖν τὰ ἔσχατα πάσχουσαν ἀδίκως παρὰ τοῦ ἐπεισάντου καὶ ἀντὶ τῆς μεγίστης εὐεργε-

non cedere neque flecti in ulla re et detentum postea pati, sed ingratum et durum contra eam, quae beneficia ei obtulerat, et qui iniuste contra terribilissima iuraiuranda fecisset, imperio deiicere ut peccantem eoque indignum; clamor autem his non obscurus faciendum advertit, atque alii carceres occupantes captos vinculis liberabant, et participes reddebant seditionis et animadversionis iis insitis incitamentis impositae: alii regiam occupabant et bellum civile resuscitabant, alii domus eorum, qui genere regi propinqui erant et multum valebant illo tempore circumsedentes primo impetu diruebant, et divitias multis iniuriis et suspiriis egenorum conditas exhauriebant; neque templis et fanis ab iis pretiose et opulente aedificatis parsum est. spoliabantur autem et ipsa et quasi impura contaminabantur diripiebanturque, alii fanum sapientiae sanctae dei rationis ingressi patriarcham ipsum stolam sacram induentem deduxerunt, urgentes eum, ne praetervideret participem regni et dominam extrema patientem iniuste a peregrino, et pro maximo beneficio superbiam passam intolerabilem. habebant igitur iusti huius socium studii etiam sanctissimum hunc vi-

σίας ὕβριν παθοῦσαν ἀνήκεστον. ἔσχον οὖν τοῦ δικαίου τούτου συλλήπτορα ζήλου καὶ τὸν ἁγιώτατον τοῦτον ἄνδρα. Ἀλέξιος ἦν, ὁ πρὸ τοῦ τὴν μοναχικὴν πολιτείαν ἀκριβωσάμενος. καὶ ἀνάγουσι, γνώμῃ καὶ τινῶν τῶν ἐντέλει, τὴν ὁμαίμονα τῆς παθούσης δεσποίνης (Θεοδώρα ταύτῃ τὸ ὄνομα) ἐξ ἑνὸς τῶν Πετρίων, ἐν ᾧ χρόνοις πολλοῖς ἰδιωτικῶς μονονουχὶ ἐβιότευσε. πείθουσι γὰρ αὐτὴν γυναικείας αἰδοῦς καὶ ἀσθενείας ἐπιλαθέσθαι, καὶ τούτοις ἀκολουθῆσαι παρασκευῆς οὕτω καὶ γνώμης ἔχουσι, πάντα ῥᾳδίως οἴσειν καὶ ταύτης προκινδυνεῦσαι καὶ τῆς αὐταδέλφης αὐτῆς, καὶ φόβου παντὸς ἀπαλλάξαι καὶ κινδύνου τοῦ πολεμήτορος. ἐποχηθεῖσα τοίνυν ἐφ' ἵππον πρόεισι, δορυφορουμένη λαμπρῶς μυριάνδροις ὅπλοις, καὶ φυλακαῖς ἀκαθαιρέτοις περιειλημμένη καὶ προκατειλημμένη τὰς διεξόδους, ὁμοίως διὰ μέσης τῆς πόλεως, παρὰ πάντων εὐφημουμένη, καὶ προτρεπομένη μὴ ἐνδοῦναι πρὸς τὸ ἀγώνισμα καὶ τὴν τοῦ ἀναιρέτου καθαίρεσιν. διασωθεῖσα οὖν πρὸς τὸν περιβόητον καὶ θεῖον ναὸν ἑσπέρας οὔσης βαθείας ἄνεισιν εἰς τὰς τοῦ πατριάρχου διαγωγάς, καὶ τῷ πλήθει τὰς ὄψεις αὐτῆς εἰς τὸν ναὸν ἐπαφίησι· καὶ παρ' ἐκείνων ἔτι παρεγγυηθεῖσα θαρρεῖν οὕτω διανυκτερεύει, συγκαλεσαμένη
f. 170 r. πάντας τοὺς ἐν τέλει ταχέως, καὶ παντὸς ψιλώσασα τὸν ἀντικείμενον βασιλέα δυνάμεως, ἀρχάς τε εὐθὺς λαμπρὰς καὶ ἀγορανομικὰς ἀποδείξασα, καὶ τὸ κράτος τῆς βασιλείας δεξιῶς περιεζωσμένη.

12. ὄχλοις? 18. post πλήθει deest nescio quid.

rum. (Alexius erat, qui antea monachicam administrationem correxerat). et referunt in memoriam etiam quorundam imperio praeditorum cognatam vexatae dominae (Theodora huic erat nomen) ex uno Petriorum, in quo multos annos solitaria paene vixerat: persuadent enim ei, ut muliebris pudicitiae et infirmitatis obliviscatur et hos sequatur qui praeparatione ita et consilio instructi sint, ut omnia facile reportaturi sint et pro hac eiusque sorore pugnaturi, eamque ab omni metu liberaturi sint et periculo belli. vecta igitur equo progreditur stipata splendide innumerabilibus armis et praesidiis invictis oppugnans et occupans exitus pariter per mediam urbem, ab omnibus celebrata et admonita, ne cederet in certamine et parricidae nece. perveniens igitur ad clarum et divinum templum cum vesper esset profundus, ascendit in patriarchae cellas et in multitudinem oculos suos in templum defigit, et ab illis magis admonita, ut tranquillo esset animo, ita noctem ibi degit: postquam convocavit omnes, qui cum imperio erant, celeriter et omni nudavit oppositum regem potentia, potestates statim splendidas et aedilitias constituit et potentiam regni apte sibi conciliavit.

Ὀρθριώτερον δὲ προσβαλόντων τοῖς ἀνακτόροις στρατιωτικῶν ἀνδρῶν καὶ γενναίων μετὰ ῥοίζου πολλοῦ καὶ βοῆς καὶ ἠχῆς σαλπίγγων τε καὶ βυκίνων, ὥσπερ τυφῶνι βληθεὶς ὁ βασιλεὺς τῷ ἐξαισίῳ τῆς ταραχῆς, τῶν ἀνακτόρων ἐκδὺς φυγὰς ᾤχετο διαπόντιος εἰς τὴν τοῦ Στουδίου μονήν, καὶ περιεχόμενος τῶν ἀδύτων ἀπαθὴς ἐφιλονείκει συντηρηθῆναι καὶ μὴ δίκας δοῦναι τοῦ ἀνοσιουργήματος. ἀλλ' ἡ δίκη τὴν καταδίκην αὐτῷ οὐκ εἰς μακρὰν ἀνεβάλετο. ἅπαντες γὰρ βρύχοντες κατ' αὐτοῦ εἰσήλασαν εἰς τὸ ἱερόν, καὶ βίᾳ τοῦτον ἐκτὸς ἑλκύσαντες ἡμιόνῳ τῶν εὐτελεστέρων καὶ ταπεινῶν φόρτον τοῦτον τιθέασι καταγέλαστον. καὶ ἄχρι τοῦ Σίγματος φθάσαντος δόγμα κατεφοίτησε τῆς Αὐγούστης, τὴν πήρωσιν τῶν ὀφθαλμῶν αὐτοῦ καὶ τοῦ πατραδέλφου αὐτοῦ τοῦ νωβελλισίμου αὐτίκα ἐγκελευόμενον· συνῆν γὰρ καὶ οὗτος αὐτῷ, σύμβουλος ἅμα καὶ συλλήπτωρ καὶ τῆς οἰκτρᾶς ταύτης τύχης κοινωνὸς καθιστάμενος. κατενεχθέντες οὖν τῶν ἡμιόνων ἀτίμως, πάντων ὁρώντων, τὰς κόρας τῶν ὀφθαλμῶν ἐκεντήθησαν. καὶ συναποβάλλουσι τὰς ὄψεις τῇ βασιλείᾳ, καὶ μοναχικῇ παραδίδονται βιοτῇ, διήγημα γενόμενοι σκυθρωπὸν τοῖς μετέπειτα, καὶ πρὸς τὸ κρεῖττον ἐπανόρθωσις τῶν ἀγνωμονεῖν ἐθελόντων πρὸς τοὺς εὐεργετήσαντας. ἐβασίλευσε δὲ ὁ Μιχαὴλ οὗτος μῆνας μόνους πέντε.

Τῆς δὲ δεσποίνης ἐκ τῆς ὑπερορίας ἐπανελθούσης καὶ τὴν βασιλείαν αὖθις ἀναλαβούσης, συνέρχεται ταύτῃ καὶ ἡ

15. τύχης om. C, supplevit etiam interpres. 18. τῆς βασιλείας C.

Cum autem mane aggrederentur regiam militares homines et fortes multo cum tumultu et clamore et sonitu tubarum buccinarumque, quasi turbine ictus rex immensa turbatione, regia egressus fugitivus se corripuit trans mare ad Studii domicilium et amplectens templum incolumis studebat servari neque poenas solvere nefarii facti; sed iustitia poenam ei non diu distulit; omnes enim frementes contra eum invaserunt templum, et vi hunc extra trahentes mulo ex vilioribus et humilium onus hunc imponunt ridiculum atque donec Sigma antea inustum esset, decretum praecepit Augustae ademtionem oculorum eius et avunculi eius nobilissimi statim imperatum; aderat enim et hic ei conscius simul et socius, et huius miserae fortunae particeps existens; delati igitur a mulis turpiter omnibus spectantibus pupillas oculorum expuncti sunt, et simul perdunt lumina cum regno, et monachicae traduntur vitae, fabula facti tristis posteris, et causa fastigii eorum, qui ingrati esse volebant erga bene de se meritos. regnavit autem Michael hic menses solos quinque.

Cum autem domina ex peregrina terra rediret et regnum rur-

ὁμαίμων ἐκτὸς ναοῦ, καὶ γίνεται συμφυΐα καὶ ἀλληλουχία ὥσπερ τοῦ αἵματος οὕτω δὴ καὶ τῆς κατὰ τὴν βασιλείαν κοινωνικῆς διαθέσεως, καὶ αὐτοκράτορες ἄμφω θαυμασίως ἀναγορεύονται. καὶ χρόνον τινὰ δι' ἑαυτῶν ἰθύνασαι τὴν ἀρχήν, a. 1042, 12. Iun. τῆς ὑπερορίας ἀνακαλοῦνται Κωνσταντῖνον τὸν Μονομάχον, ἀριστοκρατικὸν ἄνδρα καὶ θρέμμα τῆς πόλεως, ὕποπτον δὲ ὄντα διὰ τὴν ἀρχήν, καὶ διὰ τοῦτο παρὰ τῶν πρώην κρατούντων φυγαδευόμενον. καὶ παραχωρεῖ πάλιν τῆς συζυγίας ἡ Θεοδώρα τῇ αὐταδελφῇ Ζωῇ, καὶ τὸν ἄζυγα βίον αἱρεῖται, ὃν ἐκ παίδων καὶ μέχρι γήρως τῆς ἐσχάτης ἡμέρας ἐξήσκησεν.

Εὐεργετικώτερος δὲ τοῦ προβεβασιλευκότος ὁ Μονομάχος ἀποδειχθείς, καὶ πάντας σχεδὸν βασιλικοῖς ἀξιώμασι καὶ δωρήμασι φιλοτίμοις ἀποσεμνύνας, ἠγάθυνε τὸ ὑπήκοον· ἐξαίφνης δὲ νέφος ἐκ τῆς ἑσπέρας ἐγείρεται τετριγὸς καὶ ὀλέθριον καὶ πανωλεθρίαν αὐτῷ καὶ τῆς βασιλείας ἀπέλασιν ἀπειλοῦν, ἀνὴρ αἱμοχαρὴς καὶ γενναῖος, ὁ προμνημονευθεὶς Γεώργιος, ᾧ Μανιάκης ἐπώνυμον, ἐκ τῆς Ἰταλικῆς ἀρχῆς ἐπαναστὰς μετὰ τῶν ἐκεῖσε συνόντων στρατιωτῶν Ῥωμαίων καὶ Ἀλβανῶν, διὰ παρόρασιν τοῦ βασιλέως ἀνιαθεὶς καὶ προηγησαμένας ἔχθρας μετ' αὐτοῦ δεδιώς. καὶ τὰ μὲν λοιπὰ τῶν συναντησάντων στρατεύματα συνετάραξε καὶ κατέβαλε, πρὸ δύο δὲ τῆς Θεσσαλονίκης ἡμερῶν στρατοπεδευσάμενος περὶ δείλην ὀψίαν προσβάλλει τῷ μεγίστῳ βασιλικῷ στρατο-

11. εὐεργετικώτατος C.

sus reciperet, eodem convenit etiam soror extra templum: et oritur coniunctio et concretio sicut sanguinis ita etiam consociatae in imperio rationis: et dominae ambae mire declarantur, et per tempus aliquod per se regentes imperium ex exsilio revocant Constantinum Monomachum, virum ex optimatum genere et indigenam urbis, suspectum autem imperii capessendi et propterea ab iis qui antea regnabant, expulsum. atque cedit rursus ex coniunctione Theodora sorori Zoae et solitariam vitam eligit, quam a primis annis et usque ad senectutem diei supremi exercuit.

Beneficentissime autem prae superiore rege Monomachus se gerens et omnes fere regiis dignitatibus et donis liberalibus ornans beavit subiectos. protinus autem nubes ex occidente excitatur stridens et exitiosa et miserrimam ei atque regni expulsionem minitans. vir sanguine gaudens et nobilis, antea commemoratus Georgius cui Maniakes cognomen ex Italico regno exorsus, cum iis qui ibi ei aderant militibus Romanis et Albanis negligentia regis offensus et priores inimicitias eius metuens, et reliquos occurrentium exercitus turbavit et devicit; ante Thessalonicam autem duos dies cum castra posuisset, circa ve-

πέδῳ· καὶ γὰρ ἦν ἐξεστρατευμένος ὁ παρὰ βασιλέως ἀποσταλεὶς μετὰ τῶν Ῥωμαϊκῶν δυνάμεων εἰς ἀντιπαράταξιν, καὶ πολλὰ δράσας τοῖς βασιλικοῖς στρατιώταις, καὶ καταπλήξας τῇ ἀνυποίστῳ τούτου φορᾷ καὶ τοῖς οἰκειοχείροις πληγαῖς (καὶ γὰρ οὗτος τοῦ πλήθους προεπολέμει τε καὶ προεκινδύνευε, καὶ οὐκ ἦν ὃς τῷ φασγάνῳ τούτου τραυματισθεὶς οὐ τῷ ἡμίσει καὶ πλείονι περιερρήγνυτο σώματι· τοιοῦτος ἀκαταγώνιστος καὶ σταθηρὸς ἐγινώσκετο, μέγας ὑμοῦ καὶ εὐρύνωτος καὶ τὴν ὄψιν φοβερὸς καθιστάμενος, κἂν ταῖς βουλαῖς διαφέρων), καὶ κατορθῶσαι τὴν νίκην ἤδη τότε καταλειφθείς, f. 170 v. καὶ παρὰ τῶν πλείστων ἐναντίων ἐπευφημούμενος, ἐπὶ τέλει τῶν ἀγώνων τοῦ ἵππου αὐτομάτως κατέρρευσεν, οἷα τὰ τοῦ θεοῦ κρίματα, καὶ ἀθιγὴς ἔκειτο, σκαιωρίαν εἶναι τὸ πρᾶγμα τῶν ἀντιθέτων οἰομένων καὶ σόφισμα. ὡς δὲ παρεγυμνοῦτο τὸ ἀληθές, ἐκδραμόντες πολλοὶ κείμενον αὐτὸν ἐπ' ἐδάφους κατέλαβον, αἵματι διάβροχον καὶ καιρίαν ἔχοντα κατὰ τῆς πλευρᾶς. τῇ πτώσει τοίνυν αὐτοῦ τῶν ἀμφ' αὐτὸν διασκεδασθέντων, καὶ παλιντρόπου γενομένης τῆς νίκης, ἐπανῆλθον οἱ τοῦ βασιλέως χαρᾷ καὶ φόβῳ διηγηματικῶς συνεχόμενοι· τῷ προτερήματι γὰρ μὴ ἐπαιρόμενοι τὸ πᾶν τῇ θείᾳ δεξιᾷ ἐπεγράφοντο.

Θριαμβεύσας δὲ ὁ τὴν ἡγεμονίαν ἐσχηκὼς τοῦ πολέμου

9. εὐρόνωτος C. 10. ὑποληφθεὶς? 18. διασκεδασθέκτα C. correxit Brunetus.

spertinum tempus aggreditur maxima regia castra; etenim erat egressus regius legatus cum Romanorum viribus ad oppositionem et multum facessens regiis militibus et terrens intolerabili vi et propriis ictibus, etenim hic pro multitudine pugnabat et pericula sustinebat neque quisquam erat, qui gladio huius vulneratus non medio et plus frangeretur corpore, talis indomitus et immotus habebatur, magnus simul et latorum humerorum, et in conspectu terribilis existens, et voluntate differens, et ad reportandam victoriam iam tum relictus, et a plurimis hostibus laudatus: in fine certaminum ex equo ipse per se decidit, qualia sunt dei iudicia, et immotus iacebat, cum dolum esse rem adversarii putarent et artificium. cum autem detegeretur verum, accurrentes multi iacentem eum humi invenerunt sanguine madidum et vulnus letiferum habentem in latere: casu igitur eius cum qui a parte eius stabant dissiparentur, et retorqueretur victoria, redierunt regii gaudio et metu in narratione capti: victoria enim non elati rem universam divinae dextrae attribuebant.

Triumphans autem qui imperium habuerat belli sebastophorus Stephanus per forum primos honores apud regem multo cum splendore

σεβαστοφόρος Στέφανος διὰ τῆς ἀγορᾶς, τὰ πρῶτα παρὰ τῷ βασιλεῖ μετὰ πολλῆς τῆς λαμπρότητος ἔσχηκε, καὶ ζηλωτὸς πᾶσι καὶ περισπούδαστος ἐγνωρίζετο. ἐπεὶ δὲ τὰ τῆς δεσποτικῆς εὐδαιμονίας ἀβέβαια, διαβληθεὶς καὶ οὗτος ὡς εἴη μελετῶν ἐπιβουλήν, ὑπερορίαν αὐτίκα καὶ δήμευσιν καὶ ἀπόκαρσιν κατεκρίθη· καὶ ὁ τῶν οἰκειοτάτων αὐτῷ εἷς, ᾧ καὶ τὸ κράτος μέλλειν περιθεῖναι κατηγορεῖτο, τῶν ὀφθαλμῶν μετ' ὀλίγον ἐστέρηται.

Ἀπαλλαγεὶς οὖν ὁ βασιλεὺς τῆς τοσαύτης φροντίδος, εἰς ἑτέραν αὖθις ἀνάγκην ἐνέπεσε. πόλεμος γὰρ ἀλλόφυλος ναυτικὸς ἄχρι τῆς Προποντίδος τὴν βασιλίδα κατέλαβε, πλοίων Ῥωσικῶν τῶν τετρακοσίων οὐκ ἀποδεόντων ἐπιρραξάντων αὐτῇ, καταφράκτων ὅπλοις τε καὶ πολεμικῇ ἐμπειρίᾳ καὶ πλήθει τῶν ἐν αὐτοῖς εἰσπλεόντων. καὶ κατεῖχε φόβος τὴν Βύζαντος οὐκ ἐλάχιστος διὰ τὸ ἀπαράσκευον ἐκ τῆς ἀπροόπτου τοῦ ἔθνους ἐπιδημίας. ὅμως τὰ παρατυχόντα μακρὰ πλοῖα καὶ λοιπὰς ἑτέρας ναῦς πολεμικὰς ὁ βασιλεὺς συστησάμενος, καὶ πεζικῇ δυνάμει τοὺς παρακειμένους αἰγιαλοὺς συμπεριλαβών, καὶ προσθήκην ἑκάστοτε τῆς πεζικῆς καὶ ναυτικῆς ἰσχύος λαμβανούσης διὰ γραμμάτων φοιτώντων εἰς τὰς κατὰ χώραν ἡγεμονίας, ἐν ἡμέρᾳ πρώτῃ τῆς ἑβδομάδος ἣν κυριακὴν ὁ χριστιανικώτατος οἶδε λαὸς ἐκ τῆς τοῦ κυρίου ἡμῶν ἀναστάσεως, ἐκτάξας ἄμφω τὰς δυνάμεις (ἀνῆλθε γὰρ καὶ

habuit: et aemulatione omnibus et aestimatione dignus videbatur. cum autem imperandi fortuna incerta sit, accusatus et hic quasi meditaretur insidias, exsilii statim et publicationis bonorum et tonsurae damnatus est: et ex propinquissimis ei unus, quem etiam potentia induturus esse accusabatur, oculis cum paucis privatus est. liberatus igitur rex tanta cura in alteram rursus necessitudinem incidit.

Bellum enim peregrinum navale usque ad Propontidem regnum occupavit, cum naves Rosicae fere quadringentae id aggrederentur instructae armis et belli peritia et multitudine eorum, qui in iis navigarent: et obtinuit timor Byzantis urbem non minimus cum non essent parati propter inexspectatum populi adventum. tamen quae forte fortuna aderant, naves longas et reliqua alia navigia bellica rex cum composuisset et pedestri exercitu vicina litora firmasset cumque accessionem undique vis pedestris et navalis accepisset, literis quae divulgarentur in regni imperia, die primo hebdomadis, quam dominicam christianissimus novit populus ex domini nostri resurrectione, postquam instruxit ambos exercitus: profectus est enim et ipse cum regia nave: et eos clamorem bellicum edere iussit, supervenit hostes, proras or-

αὐτὸς μετὰ τῆς βασιλικῆς νεὼς) καὶ τὸ ἐνυάλιον ἀλαλάξαι προστάξας ἐπῆλθε τοῖς ἐναντίοις, τὰς πρῴρας λελαμπρυσμένας ἔχων τῶν οἰκείων νεῶν τῷ Μηδικῷ πυρί, καὶ συρραγεὶς τούτοις φυγεῖν κατηνάγκασε, πολλὰς μὲν τῶν νεῶν κατακαύσας πυρί, ἄλλας αὐτάνδρους καταβαλὼν τῷ βυθῷ, τινὰς δ' αὐτοῖς πλωτῆρσι κεκρατηκώς· ἠρίστευσε δὲ τῶν λοιπῶν ἁπάντων στρατιωτῶν μεῖζον ὁ μάγιστρος ἐκεῖνος Βασίλειος ὁ Θεοδωροκάνος, ἀνὴρ ἐπίδοξος τὰ πολεμικὰ καὶ τὰς πράξεις ἐπιφανὴς κατά γε τὴν ἤπειρον. τότε δὲ θυμῷ ζέσας, εἰς μίαν τῶν Ῥωμαϊκῶν νεῶν ἀναβὰς καὶ προσραγεὶς Ῥωσικῇ, ἔνοπλος εἰς αὐτὴν ἐπεπήδησε, καὶ μόνος πρὸς ἅπαντας τοὺς πλωτῆρας συστησάμενος πόλεμον, καταπληξάμενος τῇ δυνάμει, ὅσους μαχαίρας ἔργον οὐκ ἐναπέδειξε, τῇ θαλάσσῃ βαλεῖν ἑαυτοὺς ἐβιάσατο.

Οὕτω καὶ ταύτην τὴν μάχην κατορθώσας ὁ βασιλεὺς ἡσυχίαν ἦγε, καὶ τῶν πολιτικῶν πραγμάτων ἡδέως ἀντείχετο, μουσεῖον τῆς νομοθετικῆς ἀναγείρας καὶ νομοφύλακα προστησάμενος. ἀλλὰ καὶ τοῦ τῆς φιλοσοφίας οὐρανοβάμονος ἐπεμελήθη μαθήματος, πρόεδρον τῶν φιλοσόφων προχειρισάμενος ἄνδρα τῶν καθ' ἡμᾶς διαφέροντα γνώσει, καὶ τοὺς νέους πρὸς ἄσκησιν τῶν σοφῶν λόγων καὶ μαθημάτων προυτρέψατο σὺν τῷ εὐμαρεῖ τῶν διδασκάλων, καὶ γερῶν τούτους ἐν τῷ δημηγορεῖν βασιλικῶν ἀξιῶν. ἐκαίνισε δὲ καὶ δέκρετον δικῶν f. 171 r.
ἰδιωτικῶν, "ἐπὶ τῶν κρίσεων" καλέσας τὸν τούτου προεχόντα.

8. ἐπιφανεῖς C. 10. προσαγεὶς C. 23. an σέκρετον?

natas habens suarum navium medico igne, et congressus cum his fugere coegit, cum multas navium combureret igne, alias ipsis cum hominibus deiiceret in profundum, nonnullas autem ipsis cum nautis occuparet. excelluit autem prae reliquis omnibus militibus magis magister ille Basilius Theodorocanus vir clarus in rebus bellicis et rebus gestis spectatus in terra continenti: tum autem animo flagrans in unam graecarum navium ascendens et admotus Rosicae, cum armis in eam insiliit, et solus contra omnes nautas pugnando, attonitos eos, quotquot non mucrone confecit, in mare proiicere se coegit.

Sic cum etiam hanc pugnam feliciter perfecisset rex tranquille egit et civilibus rebus libenter se dedit, scholam leges dandi excitans, et legum custodem praeficiens: sed etiam philosophiae caelestis curavit doctrinam, praesidem philosophorum designans virum nostris maiorem cognitione, et iuvenes ad exercitationem sapientium dictorum et doctrinarum hortatus est cum habili praeceptore, et honoribus hos in orationum publicarum studio regiis ornans. novavit etiam decretum iuris

ἐν τούτῳ οἱ τῶν ἐπαρχιῶν δικασταὶ καὶ συντάττουσι τὰ ποιητέα ἐγγράφως καὶ τὰ τῶν σχεδαρίων ἐναποτιθέασιν ἴσα δι' ὑποψίας ἀπαλλαγήν.

Ἀλλ' ὁ βασκαίνων ἀεὶ τοῖς καλοῖς ἕτερον αὖθις ἀνεγείρει πόλεμον ἐπιχώριον ἐκ τοιᾶσδε προφάσεως· συγγενία κεκτημένος ὁ βασιλεὺς ἐκ τῆς Ἀδριανουπόλεως Λέοντα κατονομαζόμενον, τοῦτον εἰς λαμπρὰν ὥσπερ εἰκὸς ἀνατίθησι τύχην, καὶ τῷ τῶν πατρικίων, εἶτα καὶ τῶν βεστῶν ἀξιώματι περίβλεπτον ἀποδείκνυσι, στρατηγίας συχνὰς καὶ δημαγωγίας ἐμπιστεύων αὐτῷ. ἐν μιᾷ δὲ ἔαρος ὥρᾳ τῇ Μελιτηνῇ στρατηγοῦντος αὐτοῦ τὰ Μακεδονικὰ συνεταράχθη στρατεύματα, μακρὰν ἀποστασίαν ὠδίνοντα. καὶ ὁ βασιλεὺς ἠπίως καταστείλας τούτων τὸ φρόνημα διέλυσε τὴν ἐπιβουλήν, πρὸς καιρὸν μέν, ὡς ὕστερον τὸ ἀποτέλεσμα παραδέδωκεν, ὅμως δ' οὖν κατεστείλατο. κατηγορηθεὶς οὖν ὁ προεκφωνηθεὶς αὐτοῦ συγγενὴς ὡς τῆς στάσεως καὶ τῆς βουλῆς ἀρχηγός, καὶ ὡς εἰς αὐτὸν ἀναφερομένης τῆς τυραννίδος, παραλύεται τῆς ἀρχῆς καὶ μοναδικῷ παραδίδοται σχήματι, καὶ τῇ μεγαλοπόλει ἄνετος καὶ χωρὶς τινος παραφυλακῆς ἀπολύεται. τετάρτην δὲ
a. 1047 *πρὸς τῇ δεκάτῃ ἄγοντος τοῦ σεπτεμβρίου μηνός, καθ' ἣν τὸ ζωοποιὸν σημεῖον ὑψούμενον αἴρεται σὺν ἐξιλεώσει πολλῇ (πρώτη δὲ ἴνδικτος ἦν, ὁπότε καὶ ὁ Κρόνος συνώδευσε τῷ Διί), λάθρᾳ τῆς βασιλευούσης ἀποφοιτᾷ, καὶ δι' ἵππων κατὰ*

16. *ἐπιβουλῆς* interpres. 22. *χρόνος* C. correxit interpres.

privati, cum „a iudiciis" nominaret huius praesidem. in hoc provinciarum iudices et componunt facienda inscriptione et quae in tabellis erant deponunt aequalia propter suspicionis liberationem.

Sed ille qui invidet semper pulchris aliud rursus movet bellum internum hac ex causa. propinquum habuit rex ex Adrianopoli Leontem nominatum: hunc ad illustrem ut decebat effert fortunam, et patriciorum, deinde etiam vestiariorum dignitate amplum reddit: imperia multa et magisteria ei credens: uno tamen veris tempore cum ille Melitenae imperium haberet, Macedonum turbati sunt exercitus, longam defectionem meditantes. atque rex clementer deprimens horum animos solvit insidias, in tempore quidem, ut postea exitus tradidit, sed tamen depressit. accusatus igitur eius antea commemoratus cognatus ut seditionis et consilii dux et quasi ad eum deferretur dominatio, solvitur imperio et monasticae traditur vitae, et in urbem liber et sine ullo praesidio dimittitur: quartum autem ad decimum agente septembre mense, quo vivificum signum elatum tollitur multo cum piaculo, primus autem erat indictionis, cum etiam Saturnus conveniret

διαδοχὴν ἱσταμένων ὑπόπτερος ὡσανεὶ τῇ Ἀδριανοῦ παραδίδοται πόλει. καὶ συνήθροιστο πᾶν αὐτίκα μάλα τὸ τὴν στρατεύσιμον ἡλικίαν ἔχον ἑσπέριον· καὶ διὰ δύο καὶ τριῶν ἡμερῶν εἰς πλῆθος μέγα καὶ στρατιὰν ἀξιόλογον παραδόξως ἐπαίρεται ἡ συνάθροισις. καὶ τοῖς παρασήμοις κοσμηθεὶς μετὰ τῆς βασιλικῆς ἐσθῆτος ὁ φυγαδίας στρατηγὸς αὐτοκράτωρ παρὰ τῶν συνόντων ἀνηγορεύθη, καὶ διττὴν ἑτέραν ἡμέραν διαλιπὼν ὥρμησε σὺν πολλῇ πεποιθήσει πρὸς τὴν εὐδαίμονα μεγαλόπολιν. οἱ δὲ προαχθέντες παρὰ τοῦ βασιλεύοντος ἐξ αὐτῆς στρατιῶται, καί τινες τῶν ἐπισήμων τοῦ παλατίου προσμένοντες ἐς ἄστυ τῆς Σηλυμβρίας, ὡς ἔμαθον τὴν τούτου ἔφοδον πολλὴν καὶ ἀνύποιστον ὡς βαρεῖ στρατῷ καὶ μαχιμωτάτῳ συγκροτουμένην, ᾗ ποδῶν εἶχον γεγόνασιν ὀπισθόρμητοι. καὶ οἱ ἐπὶ τῶν ὑπαίθρων, ἐφοδιάσαντες ἑαυτοὺς ὡς ἑκάστῳ παρεῖχε τὸ ἐπικείμενον τοῦ καιροῦ, ἐπὶ τὰς πύλας ὠθοῦντο τῆς πόλεως, ἄλλος ἄλλον προφθάνειν κατεπειγόμενοι. μικρὸν δ' ὕστερον ἡ τοῦ ἀποστάτου ἐπιδημία φοβερά τις καὶ καταπληκτικὴ κατηγγέλλετο, ἵππῳ στρατιωτικῷ καὶ πεζικῷ δυνάμει μὴ ἀποδέουσα πρὸς μάχην βασιλικήν. ἐδῃοῦντο δὲ καὶ τὰ προστυχόντα καὶ διηρπάζοντο· καὶ οὐδενὸς ἡττᾶται τῶν ἐθνικῶν ὁ ἐμφύλιος πόλεμος. τειχήρεις οὖν γεγονότες οἱ περὶ τὴν βασιλεύουσαν σχεδὸν ἅπαντες τῶν ἐντὸς εἶχον τὴν φυλακὴν ἰσχυρῶς. καὶ ὁ βασιλεὺς ἐπὶ τῆς ἐν Βλαχέρναις

18. an *στρατοῦ ἱππικοῦ καὶ πεζικοῦ?*

cum Iove, clam regia excedit et equis in successionem constitutis quasi volucris Adrianopolin defertur: et convolarunt omnes statim qui aetatem militarem haberent vespere, et per duos et tres dies in multitudinem magnam et exercitum memorandum mire adaugetur conventus, et insignibus ornatus cum regia veste exsul ille a praesentibus imperator dominus renuntiatus est et alterum diem interiiciens profectus est multa cum confidentia contra beatam urbem. coacti a rege ex illa milites et nonnulli illustres palatii exspectantes in urbe Selymbria ut acceperunt huius adventum magnum et intolerabilem quippe gravi exercitu et pugnacissimo conciliatum, pedibus quam potuerunt fuerunt reduces: atque qui in aperto campo se instruxerunt ut cuique se praebuit tempus praesens ad portas reprimebantur urbis cum alius alium anteire studeret. paullo post autem apostatae adventus horrendus et terribilis nuntiabatur, non carens equitatu militari et peditum vi ad pugnam regiam: vastabantur autem etiam quae occurrerent et diripiebantur, neque ullo gentilium inferius est internum bellum: obsessi igitur regii fere omnes rerum quae intus erant, praesidium fortiter exercebant: et rex in arce Blachernarum sedens dolebat familiarem

καθήμενος ἀκροπόλεως ἤλγει τὴν οἰκείαν ἐπικράτειαν οὕτω λυττῶσαν καὶ μαινομένην, ἔστι δ' οἷς καὶ τὰ ἔσχατα πάσχουσαν καθορῶν. ἐπεὶ δὲ τοῖς τείχεσι προσεγγίσας ὁ τύραννος τῷ πλήθει καὶ ταῖς δυνάμεσιν ἐνηβρύνετο, βασιλικῶς καὶ ἀγέρωχος ἐμπεριπατῶν καὶ πρὸ τῶν τειχῶν εὐφημούμενος, τινὲς προπετεῖς καὶ ἀτάσθαλοι τοῖς ἀνακτόροις ἐγγίσαντες ὕβρεις ἀπρεπεῖς τοῦ ἀληθοῦς βασιλέως κατέχεον, καὶ οὕτως ἀπηλλάγησαν αὐχήματος ὁμοῦ καὶ φρονήματος γέμοντες. ἄλλος δέ τις τόξον ἀφεὶς διὰ τῶν κιγκλίδων μικροῦ ἐδέησε τὸν βασιλέα βαλεῖν· ἥρπασε δὲ τὴν πληγὴν τῶν θαλαμηπόλων αὐτοῦ ὁ ἐγγύτερος. εἰς δὲ τὴν ὑστεραίαν (κυριακὴ δὲ ἦν) περιαλγήσαντές τινες τῶν εὐνουστάτων τῷ βασιλεῖ γνώμην διδῶσιν ἵν' ἐν τῷ προεκκειμένῳ γηλόφῳ κόψωσι τάφρον, καὶ
f. 171 v. ἀνδράσιν αὐτὸν πολεμικοῖς, ὅσοι τηνικαῦτα τῇ βασιλικῇ δορυφορίᾳ παρέτυχον, περιλάβωσι, καὶ τῷ μήκει τοῦ διαστήματος τὰς ὑβριστικὰς φωνὰς ἀποκρούσωνται, καὶ μὴ τῷ βασιλεῖ κατήκοοι γίνωνται. δόξαν οὖν οὕτως ὅ τε τόπος περιτεταφρευμένος ἐδείκνυτο, καὶ τῇ ἐπαύριον στρατιῶται τῆς παρεμβολῆς περιείχοντο. Ἀγαρηνῶν δέ τις ξυμμορία τῶν ἐπὶ τῆς φρουρᾶς ἐκβληθεῖσα καὶ δεξιώσεων τυχοῦσα βασιλικῶν, ἐγκάρσιος ἔστη τῇ τάφρῳ περὶ τὰς ὄχθας τῆς περιζωννυούσης ἑτέρας τάφρου τὴν βασιλίδα τῶν πόλεων. ὡς δὲ ἠγγέλλετο παρὰ τῶν σκοπῶν μεγάλῃ παρατάξει καταλαμβάνειν τὸν

8. αὐχήματα C. φρονήματα C. 9. μικροῦδδεήσε C.

potentiam ita furentem et insanientem: in nonnullis etiam extrema patientem videns; cum autem moenibus appropinquans tyrannus multitudinem et vires iactaret, regie et superbe ingrediens et ante moenia celebratus, quidam prompti et pravi regiae appropinquantes superbiam indecoram in verum regem effundebant. atque sic abierunt iactatione simul et superbia pleni. alius autem arcum emittens per cancellos paene regem icit; excepit autem ictum aulicorum eius propior, proximo autem die, dominica erat, irati quidam benevolentissimorum regi consilium reddunt, ut in proiecto colle struant fossam et per viros eam militares quotquot tum in regio praesidio aderant, circumdent, et longitudine spatii superbas voces arceant neve regi proditores fiant. quod cum iis visum esset, et locus circumfossus ostendebatur et postero die milites ad castra ponenda se dederunt. Agarenorum autem quaedam classis eorum qui in praesidio erant, expulsa et beneficia adepta regia adstitit fossae obliqua circa ripas alterius fossae cingentis reginam urbium. quod cum nuntiaretur a custodibus magna cum instructa acie occupare velle tyrannum, densentes scuta

τύραννον, πυκνώσαντες τὰς ἀσπίδας οἱ περὶ τὸν βασιλέα, καὶ τὰς αἰχμὰς ἀντιστήσαντες, οὕτω τὴν ἔφοδον ἐξεδέχοντο, βραχεῖς μὲν ὄντες καὶ μηδὲ πρὸς τὸ πολλοστὸν τῆς ἐκείνου στρατιᾶς ἀποσῴζοντες, οἱ πλείους δ' αὐτῶν ἀπειροπόλεμοί τε καὶ ξύγκλυδες, πίσυνοι δὲ τῇ ἀποτειχιζούσῃ τάφρῳ καθεστῶτες τοὺς ἐναντίους· ἀρθέντων οὖν τῶν σημείων αἱ φάλαγγες ἀνεφάνησαν στοιχηδόν, αἱ μὲν προπορευόμεναι τῆς ἀποστατικῆς παρουσίας, αἱ δὲ τῶν κεράτων ἐξηρτημέναι καὶ ἄλλαι τῆς οὐραγίας ἐχόμεναι, ἕως ἀπέναντι τῆς τάφρου συντεταγμένας τὰς δυνάμεις ἐστήσαντο. εἶτα σιγῆς γενομένης ἀκροβολισμοὶ τὸ πρῶτον ἐγίνοντο, καὶ πελτασταὶ σποράδες ἐξ ἑκατέρου μέρους ἀλλήλοις συνέπιπτον, καὶ οὕτω τῆς μάχης κατὰ μικρὸν ἀναπτομένης ἱππόται τοῖς τοῦ βασιλέως πεζοῖς τοῖς ἐκτὸς τοῦ χάρακος προσπηδήσασι τὰς σαρίσσας ἐπέφερον. εἶτα μοῖρά τις ἀποτμηθεῖσα καὶ τοῖς Ἀγαρηνοῖς ἐπὶ μέτωπον προαχθεῖσα, καὶ δόξαν παρασχομένη φυγῆς, τῆς οἰκείας στάσεως ὡς διώκοντας αὐτοὺς μετεστήσατο· καὶ ταχέως μεταστρέψασα τοὺς ῥυτῆρας, εἰς μέσον τούτους συνέκλεισε, καὶ φόνον τούτων οὐκ εὐαρίθμητον κατειργάσατο. ἐπεὶ δὲ καὶ εἰς τὴν τοιαύτην ἐπιφορὰν ἐποιήσατο, σύνθημα γέγονε τοῖς ἑστῶσι συντεταγμένοις ἀλαλάξαι πολεμικῶς, καὶ σαλπισάντων τῶν σαλπιστῶν αὐτοβοεί τε τῷ χάρακι ἐπιφέρονται καὶ τοῦτον αἱροῦσιν ἐξ ἐφόδου, περιστοιχίσαντες δίκην μελισσῶν

5. ὑφεστῶτες? 20. εἰς] an εἰσαῦθις?

regii et cuspides contra tenentes, ita impetum excipiebant, pauci quidem atque ne contra minimam quidem partem exercitus illius servari valentes, plures autem eorum belli imperiti et advenae, sed freti arcente fossa adstantes contra hostes; sublatis igitur signis phalanges apparuerunt instructae, aliae anteeuntes copiam ad defectionem paratam, aliae coniunctae cum cornibus, et aliae ultimis adhaerentes, donec ante fossam instructas vires constituerunt, tum silentio coorto pugnae eminus institutae primum fiebant, et peltastae sparsi ex utraque parte se invicem aggrediebantur, atque sic cum pugna paene incenderetur, equites peditibus regis extra vallum egressis sarissas inferebant, tum pars quaedam divisa et Agarenis in fronte adducta et speciem praebens fugae internae seditionis quasi urgentes eos constituit, et celeriter vertens frena medios hos inclusit, et caedem horum innumerabilem confecit. cum autem etiam ad hunc talem impetum se accingeret, signum datum est instructis qui adstabant ut clamarent militari modo et cum cecinissent buccinatores primo clamore vallo adferuntur: atque hoc tollunt primo impetu cingentes apium instar summum murum, et ingressi intus multos necabant et calcabant eorum,

τὸ θριγγίον. καὶ εἰσπεσόντες ἔνδον πολλοὺς ἀνῄρουν καὶ συνεπάτουν τῶν ἐκ τοῦ χάρακος, ἑτέρους δὲ ζωγρίᾳ εἷλον πολλούς. οἱ δὲ περισωθέντες ἐντὸς πυλῶν ὑπότρομοι εἰσεδέχθησαν. οἱ δ' ἐπὶ τῶν τειχῶν τῷ φόβῳ κατασεισθέντες τῆς συνδρομῆς, καὶ τῶν πυλῶν κυριεῦσαι τοὺς πολεμίους νομίσαντες, ταῦτα καταλιπόντες δρομαίως ἐπὶ τὰ πρόσω τῆς πόλεως ἔθεον. καὶ ἦν ἐψιλωμένα πάντα φυλάκων, καὶ δρόμος ἀνὰ τὴν πόλιν καὶ δίαυλος ἄτακτος, τῶν μὲν πρὸς τοὺς ναοὺς καὶ τὰ ἱερὰ προσφευγόντων καὶ τὴν τῶν ἄνω συμμαχίαν ἐκκαλουμένων, τῶν δὲ σὺν ὀδυρμοῖς προσιόντων οἴκοις συγγενικοῖς, τῶν δὲ πρὸς ἀλκὴν παρεγγυωμένων τραπέσθαι, τὰ τῆς ἁλώσεως ἐνθυμουμένων δεινά. οὐδὲ γυναῖκες ταύτης τῆς συνδρομῆς ὑπῆρχον ἀμέτοχοι. καὶ εἰ μή τις λογισμὸς ὑπερήφανος τοῦ νενικηκότος περιεγένετο, ἢ φιλάνθρωπος ἔννοια, ὡς λόγος μᾶλλον αἱρεῖ, ἵνα μὴ τῇ τῆς εἰσόδου συγχύσει κακῶς ἄγαν διατεθῇ τὸ ὁμόφυλον, ἢ καὶ παλαιὸς λόγος, ὃν καὶ αὐτῷ ἐπειπεῖν τινὰ λέγεται, τὸ "νίκα καὶ μὴ ὑπερνίκα," τῆς τῶν πυλῶν ἐπικρατείας αὐτὸν διεκώλυσεν, εὐμαρῶς ἂν ἐπέτυχε τῆς ἐπιβολῆς καὶ μεῖζον ἢ κατὰ τοὺς λοιποὺς ἀποστάτας ἤρατο κλέος, πολέμῳ τὴν τῶν πόλεων μητρόπολιν ἑνὶ καὶ συντόμῳ παραστησάμενος. νῦν δὲ καταφρονήσας τοῦ πρόσω, σὺν τῇ νίκῃ καὶ τῆς οἰκείας δυναστείας καὶ σωτηρίας ἐξέπεσεν. f. 172 r. οὕτως ἐν πολλοῖς τῶν ἀνδραγαθημάτων πολλάκις ἡ ἀνοχὴ τὸ

12. an ἐνθυμουμένους? 16. ὧν καὶ αὐτὸν C.

qui in vallo erant: alios vivos capiebant multos, servati autem intra portas trepidi recepti sunt. qui autem in muris erant, metu concussi impetus et portis potitos esse hostes arbitrati, his relictis cursu ad ea, quae ante urbem sunt, currebant. atque erant nudata omnia custodibus, et cursus erat per urbem et trepidatio incerta cum alii ad templa et fana confugerent, et superorum auxilium invocarent, alii lamentantes accederent ad domos propinquas, alii qui ad fortitudinem se vertere iussi erant expugnationis terribilia facta cogitarent, neque mulieres huius concursus manebant ignarae, atque nisi quaedam ratio celsa victoris superfuisset sive humana cogitatio, ut ratio magis persuadet, ne aditus confusione nimis male tractaretur gens cognata sive etiam vetus sermo, ut et ipsum quendam elocutum esse tradunt: "vince neu nimis vince," a portarum occupatione eum arcuisset, facile evenisset ei impetus et maiorem quam in ceteris apostatis comparasset gloriam, si bello urbium metropolin uno et brevi subiecisset. nunc autem cum negligeret sequentia, simul cum victoria etiam suam ipsius dominationem et salutem perdidit. ita in multis fortium factorum saepe requies maiorem eri-

μεῖζον κατεστρέψατο κλέος, ἀδυνατούσης πάντως τῆς ἀνθρωπίνης φύσεως τὸ μέλλον ὡς δέον συμβαλεῖν καὶ στοχάσασθαι.

Καὶ ὁ μὲν τῷ τοιούτῳ προτερήματι κορεσθεὶς λαμπρῶς εἰς τὴν οἰκείαν παρεμβολὴν ἐπανέζευξε, φιλανθρώποις συναντήσεσι καὶ προσηγορίαις εὐφημοτάταις καὶ παιανισμοῖς παρὰ τῶν ἀμφ' αὐτὸν ἀπαντώμενος· ὁ δὲ βασιλεὺς ἐπείπερ ἀδείας ἐδράξατο, καὶ ὅπερ ἐδεδίει, τὴν ἐξεφόδου δηλονότι τῆς πόλεως ἅλωσιν, ἡ θεία ἀντίληψις διεσκέδασεν, οὐκ ἠμέλησε δι' ὅλης ἐκείνης τῆς ἡμέρας καὶ τῆς νυκτὸς τῆς ἐπὶ ταύτῃ ἐπισυναθροίζων τοὺς συμφυγόντας τῶν πολιτῶν καὶ τειχήρεις ἐσαῦθις ποιούμενος, τάς τε πύλας κατοχυρῶν, καὶ παντοίοις ὅπλοις καὶ μηχαναῖς καὶ πετροβόλοις ὀργάνοις τὰς ἐπάλξεις περιζωννύων. τῇ δ' ἐπιούσῃ τὰς δυνάμεις ἀνειληφὼς ὁ τῶν ἑσπερίων ὑπαίθρων κρατῶν ἐπιφαίνεται τοῖς τῆς πόλεως, εὔελπις ὢν ὡς τῇ προτεραίᾳ καταπλήξας τοὺς ἐναντίους σὺν εὐλαβείᾳ καὶ φόβῳ παρὰ τούτων ὑποδεχθήσεται, τὰς πύλας αὐτῷ ἀναπεταννύντων καὶ τῆς πρὸς τὰ βασίλεια φερούσης βασιλικῆς προηγουμένων. ὡς δὲ τοὐναντίον ἢ κατὰ λογισμὸν εἶχε συνηνέχθη τούτῳ τὰ πράγματα, καὶ τὸ μὲν τεῖχος μείζονι παρασκευῇ περιειλημμένον εἰς τὴν ἐπιοῦσαν κατεῖδεν, τούς τε ἐπ' αὐτῷ καθημένους πολεμησείοντας καὶ τὴν ἄνοιξιν τῶν πυλῶν προτρεπόμενον διαπαίζοντας τοῦτον καὶ καθυβρίζοντας, πολλὰ τῆς δυσβουλίας ἑαυτῷ κα-

21. κατεῖδον C.

puit gloriam, cum non possit omnino hominum natura futurum ut necessarium comprehendere et intelligere.

Atque hic quidem victoria tali satiatus splendide ad sua castra rediit, humanis prosecutionibus et allocutionibus blandissimis et paeanibus a suis acceptus. rex autem quoniam periculi immunitatem tenuit et quod metuerat (aditus nimirum urbis expugnationem) divinum auxilium dissipavit, non negligenter se gessit per totum illum diem et noctem sequentem cum colligeret confugientes cives et muris cinctos rursus faceret et portas muniret et variis armis et machinationibus et ballistis murum summum cingeret, postero autem die viribus receptis illi qui campis in occidenti apertis potitus erat apparet iis qui in urbe erant, certo sperans, se quippe cum superiore die terruisset hostes, caute et timide ab his receptum iri, qui portas ei aperirent et quae ad regiam duceret basilicam praeeuntes monstrarent. cum autem contra ac ratiocinabatur ei contigissent res et murum maiore apparatu cinctum proximo die videret, eos autem qui in eo constituti erant pugnaturos et hunc, cum ut aperirent portas moneret ridentes et illudentes, magnopere propter temeritatem se incusavit,

τεμέμψατο, ὅτι τοῦ καιροῦ διδόντος τὸ πρότερον μαλακώτερον αὐτὸς τὴν φιλοτιμίαν ἐδέξατο. καὶ τότε λοιπὸν εἰς ἔργον ὁ λόγος ἐκβέβηκεν, ὅτι τῷ Ἐπιμηθεῖ τὸ μὲν μέλειν οὐκ ἦν, τὸ δὲ μεταμέλειν ἐνῆν. πολλοὺς δ' ἐμπεριπατήσας διαύλους πρὸ τῶν τειχῶν, εἶτα τοὺς ἑαλωκότας προαγαγὼν καὶ διαχειρίσασθαι τούτους ἐπαπειλούμενος εἰ μὴ τὴν εἴσοδον αὐτῷ οἱ ἐντὸς ἐπιτρέψαιεν, ὡς ἔγνω μάτην τὸ τοῦ λόγου θυροκοπῶν καὶ πρὸς Κρῆτας κρητίζων, ὀπισθόρμητος γέγονε.

Καί τινας ἡμέρας ἐν Θερμοπόλει ἐπιστρατευσάμενος ἑτέρας, ἀρξαμένου τοῦ πλήθους αὐτοῦ ὑπορρεῖν καὶ τῷ βασιλεῖ προσιέναι, ἄρας ἐκεῖθεν νυκτὸς πρὸς ἑσπέραν ἐβάδιζε, καὶ κατὰ τῆς Ῥαιδεστοῦ (πόλις δὲ αὕτη παράλιος, τῆς Προικοννήσου ἀπέναντι) πανστρατιᾷ ἐξωρμήσατο (μόνη γὰρ αὕτη τῶν Μακεδονικῶν οὐ συναπήχθη τούτῳ καὶ συνεφρόνησε), σπεύδων κατὰ κράτος ἑλεῖν τὴν πόλιν καὶ δι' αὐτῆς καταπλῆξαι τοὺς ἀντιβαίνοντας. προσραγεὶς δὲ τοῖς τείχεσι καὶ μηχανὰς ἐπιστήσας αὐτοῖς, τῶν ἔνδον εὐρώστως ἀνταγωνιζομένων ἄπρακτος ἀπηλλάγη, μηδὲν κατωρθωκὼς ὧνπερ διενοήσατο. ἐξ ἐκείνου τοίνυν τὴν παρεμβολὴν ἐν τοῖς μεσογείοις προθέμενος ἐκαραδόκει τὸ μέλλον. ἤρξαντο δὲ καὶ ἀπὸ τῶν τῆς ἑῴας πολλοὶ πρὸς τὴν βασιλεύουσαν ἐπιρρεῖν, πανταχῇ γραμμάτων ἐπιφοιτησάντων βασιλικῶν· καὶ προϊόντες τινὲς ἀποσπάδες ἐξήπτοντο τῶν πεμπομένων πρὸ τῆς παρεμβολῆς,

quod cum occasio ei praebuisset victoriam, mollius ipse certamen tractasset. atque tum eventu probatum est proverbium, quod Epimetheo curam non suppetere ait, suppetere poenitentiam. multas autem cum percurrisset vias ante muros, deinde captos produxisset et se trucidari hos iussurum minitatus esset, nisi aditum ei qui intus erant tradidissent, postquam cognovit frustra dicta esse verba, portas pulsans et ut ad Cretenses quasi Cretensis mentitus rediit.

Et nonnullos dies Thermopylae postquam castra posuit alios, cum coepisset multitudo ei defluere et ad regem ire, surrexit inde noctu et ad occidentem ibat et contra Raidestum (urbs est haec maritima Proconnesum versus) cum toto exercitu vectus est; sola enim haec urbs Macedonicarum non subducta erat ab hoc, et meditabatur studens vi occupare urbem et per eam terrorem iniicere aggredientibus. aggressus autem moenia et machinis oppositis iis, cum qui intus erant valide resisterent, infectis rebus abiit, postquam nihil reportavit eorum, quae meditatus erat. ex eo igitur tempore castris, in mediterraneis positis exspectabat futurum. coeperant autem etiam ex oriente multi ad capitalem affluere ubique literis divulgatis regiis, et

καὶ τὰς ἀγορὰς περιέκοπτον, καὶ ὡς ἐν ἀκροβολισμῷ τὰ τῆς μάχης ἐγίνετο. μικρὸν δὲ ὕστερον τῶν ἀπὸ τῆς ἑώας στρατευμάτων ἁπάντων ἐπανελθόντων, καὶ τῆς δυνάμεως ἁδρᾶς ἤδη γενομένης τῷ βασιλεῖ, τὰ πρὸς τὸν πόλεμον ἐξηρτύοντο. καὶ οἱ μὲν ἐκ τῆς βασιλίδος κατὰ τῶν ἀντιπάλων ἐσκευασμένοι ἐξῄεσαν, Βουλγαρικὴ δέ τις δύναμις ἀπὸ τῆς ἑσπέρας μεταπεμφθεῖσα κατὰ νώτου τοῖς περὶ τὸν ἀποστάτην ἐγίνετο. ὅθεν καὶ μοῖραν οὗτος οὐκ ἐλαχίστην ἀποτεμόμενος ἐπιτρέπει τὴν ἡγεμονίαν αὐτῆς τῷ συγγενεῖ αὐτοῦ στρατηγῷ τῷ Βατάτζῃ, f. 172 v. ἀνδρὶ γενναίῳ καὶ συνετῷ καὶ πρὸς πᾶσαν πολεμικὴν ἐμπειρίαν ἀκαθαιρέτῳ· καὶ συμβαλὼν οὗτος τοῖς ὑπερχομένοις Βουλγάροις περὶ τὴν τῶν Κυψέλων περίχωρον ἀγῶνι μεγάλῳ τούτων κρατεῖ, καὶ πολλοὺς ἀνελὼν ἐπανῆλθε τῷ προτερήματι σεμνυνόμενος. εὗρε δὲ τὸν ἀποστείλαντα τοῦτον πάσης ἐψιλωμένον ἰσχύος· οἱ γὰρ στρατιῶται καταλιπόντες αὐτὸν ἄλλος ἀλλαχοῦ διεσπάρησαν. ἰδόντες δὲ καὶ οἱ περὶ τὸν Βατάτζην τὸ γεγονός, ἀθρόον καὶ αὐτοὶ φυγαδείᾳ ἐχρήσαντο. συνιέντες οὖν οὗτοι ὅπῃ τύχης εἰσί, καὶ πᾶσαν ἀπογνόντες σωτηρίας ὁδόν, τῷ ἐν Βουλγαροφύγῳ σηκῷ καταφεύγουσιν, ἐπικαταλαβόντος δὲ τοῦ βασιλικοῦ στρατοπέδου, τῆς ἱερᾶς τραπέζης περιεχόμενοι ἀποσπῶνται βιαίως, καὶ δεσμῶται γενόμενοι τῷ βασιλεῖ παραπέμπονται περὶ τὴν ἡμέραν τῆς τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενεθλιακῆς

progredientes nonnulli dispersi aggrediebantur eos, qui ante castra missi erant, et fora delebant et quasi eminus pugna quaedam cooriebatur. paullo autem post cum orientis exercitus omnes rediissent, et vis valida iam esset regi, quae ad bellum opus sunt parabant. atque alii ex regia contra hostes instructi egrediebantur; Bulgarica autem quaedam multitudo ex occidente postea missa a tergo partibus apostatae venit. quamobrem etiam partem hic non minimam separat et tradit imperium eius propinquo suo duci Batatzae, viro nobili et prudenti et in omni belli peritia invicto. et congressus hic cum iis, qui subvenerant Bulgaris circa Kypselorum regionem, proelio magno hos vincit et multis interfectis rediit victoria elatus. invenit autem eum, qui hunc miserat, omni denudatum vi; milites enim relinquentes eum alius alio dispersi erant. cum autem viderent etiam Batatzae milites factum, una et ipsi fugae se dederunt. intelligentes igitur hi, qua in fortuna essent constituti, et omnem desperantes salutis viam ad templum, quod est in Bulgarophygo, confugiunt. cum autem assequeretur eos regis exercitus sacram mensam tenentes abripiuntur vi, et captivi ad regem mittuntur circa diem festum nativitatis magni dei

ἑορτῆς, καὶ μηδὲ λόγου τυχόντες χερσὶ δημίων τοὺς ὀφθαλμοὺς ἀποβάλλουσιν. ἑτέρους δὲ τῆς ἀποστασίας συμμύστας ὁ βασιλεὺς εἰς σῶμα κολάσαι οὐκ ᾠκονόμησε, φυγῇ δὲ αὐτοὺς καὶ δημεύσει προσεζημίωσε.

Καὶ τὰ μὲν τῆς ἐπιβουλῆς τοιοῦτον ἔσχε τὸ τέλος. Σκύθαι δέ, οὓς Πατζινάκους οἶδεν ὁ δημώδης λόγος καλεῖν, τὸν Ἴστρον παγγενεὶ διαβάντες μετ' οὐ πολὺ τοῖς Ῥωμαϊκοῖς ἐγκατεσκήνωσαν τόποις, γένος ἀντὶ πάσης ἄλλης ἐπιστήμης καὶ τέχνης τὴν μεθ' ὅπλων ἐπιδρομὴν ἠσκηκός, καὶ βίον ἔχον τὸ ἐν ῥομφαίᾳ καὶ τόξῳ καὶ βέλει συνεχῶς διαζῆν, μυσαρὸν δὲ τὰ πρὸς τὸ ζῆν καὶ τὴν ἄλλην διαγωγήν, καὶ μιαροφαγιῶν οὐδαμῶς ἀπεχόμενον. τοῦτο πονηρᾷ τινὶ τύχῃ τοῖς Ῥωμαίοις ἐπεισκωμάσαν ὁρίοις πολλὰ δεινὰ καὶ λόγῳ ῥηθῆναι καθεξῆς μὴ δυνάμενα ἐς ὕστερον διαπέπραχε. τέως δ' οὖν τῆς περὶ τούτων φήμης ἐπιδραμούσης τὰς πρὸς ἥλιον λήγοντα δυνάμεις ὁ βασιλεὺς αὐτοῖς ἐπεστήσατο. οἱ δὲ τῆς τε ἀλλοτρίας ἔτι καθεστῶτες ἀπείρατοι, καὶ νόσῳ λοιμώδει κατατρυχόμενοι, ἀσυνήθως δὲ καὶ πρὸς τὰς Ῥωμαϊκὰς φάλαγγας ἀντιστρατεύεσθαι ἔχοντες, χεῖρας μὲν ἀντᾶραι τούτοις οὐκ ἐδοκίμασαν, τοὺς δὲ ἀρχηγοὺς αὐτῶν καὶ συνταγματάρχας δόντες ἐνέχυρον, καὶ δούλωσιν οὕτως ὑποκρινάμενοι, φιλανθρωπίας ἐντεῦθεν τυγχάνουσι. καὶ λύσις τότε τῆς στρατιᾶς δια-

2. ἀμμύστας C. 11. μιαροφαγῶν C: correxit Brunetus. 15. λήγοντας C.

et salvatoris nostri Iesu Christi atque ne sermonem quidem adepti manibus carnificum oculos amittunt, alios autem defectione simul initiatos rex corpore puniri non iussit; exilio autem eos et publicatione punivit.

Atque seditio talem habuit exitum. Scythae autem, quos Patzinacos solet communis sermo nominare, Istrum cum tota gente transgressi non ita multo post, in Graecis castra posuerunt locis: gens pro omni alia scientia et arte armorum incursionem exercuerat et vitae genus habebat id ut in gladio et arcu et iaculo constanter degeret, sordida autem in vita et cultu alio, et impurorum ciborum esu minime abstinens. haec misera quadam fortuna in Graecos ingressa fines multa horrenda et quae oratione dici deinceps non possint postea perpatravit. cum igitur fama de his percurreret, vires quae ad orientem a bello cessabant, rex iis opposuit. illi autem inimicitiae etiamtum imperiti et morbo pestifero confecti neque consueti etiam contra Graecas phalanges bellare, manus contra hos tollere non statuerunt, duces autem suos et agminum primores cum dedissent ut obsides, et subiectionem ita repraesentassent, humanitatem inde adipi-

γίνεται, τῶν Ῥωμαίων ἀρκεσθέντων τούτοις καὶ χειροήθεις οἰηθέντων ποιῆσαι τοὺς μηδέποτε γενομένους μηδ' ἕξιν ἔχοντας γίνεσθαι. καὶ οἱ μὲν ἀρχηγοὶ τούτων τῷ βασιλεῖ παραπέμπονται, οἱ δὲ λοιποὶ τοῖς ἰδίοις χάραξι συνετηρήθησαν ἀπαθεῖς.

Λωφησάσης δὲ τῆς νόσου, καὶ ὥσπερ ὄφεων ὑπὸ θέρμης εὐρώστως συγκινουμένων αὐτῶν καὶ δόξαν παρεσχηκότων ἰσχύος δυσκατεργάστου, σκοπὸν ἔσχεν ὁ βασιλεὺς τοὺς ἀρχηγοὺς αὐτῶν ἀποστεῖλαι συνετίσοντας τυχὸν τὸ ὁμόφυλον· ἔτυχε γὰρ αὐτοὺς τῆς τοῦ θείου λουτροῦ παλιγγενεσίας καταξιῶσαι καὶ φιλοτιμίας ἀξιῶσαι μεγίστης. καὶ δὴ ποιεῖται τούτους τῆς μάχης τάχα καταλλακτῆρας, καὶ ταῖς οἰκείαις φατρίαις αὖθις ἀνασώζει καὶ παραδίδωσιν. ἔγνω δὲ τότε πρῶτον ὅτι μάτην Αἰθίοπα λευκᾶναί τις ἐπιβάλλεται, καὶ ὅτι ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ὅμοιον, καὶ οὐδ' ἑκάστου τούτων ἡ χάρις ἀποτίκτειν εἴωθεν εὔνοιαν· κατὰ γὰρ τὸ οἰκεῖον ἔθνος γενόμενοι πάντα πράττειν ὅσα τὸ ἔθος αὐτοῖς παρῄνει καὶ διηρέθιζεν οὐκ ἀπείχοντο, συνεχεῖς ἐκδρομὰς ἐργαζόμενοι καὶ λαφυραγωγοῦντες τὰ κύκλῳ καὶ πᾶν τὸ προστυχὸν ληιζόμενοι, καὶ τὴν Ῥωμαϊκὴν γῆν τοῖς αἵμασι τῶν f. 173 r. Αὐσόνων πιαίνοντες. διὸ καὶ συνηναγκάσθη πάλιν ὁ βασιλεὺς κατὰ τῶν βαρβάρων ἐλάσαι στρατιὰν ἀξιόμαχον. καὶ συνελθούσης αὐτῆς καὶ τοῖς ἐναντίοις ἀντιπαραταξαμένης μάχαι

10. καταξιώσας? 11. ἀξιώσας? 16. ἑτέρου an ἑκατέρου?

scuntur. et dissipatio tum exercitus fit, cum Romani contenti essent his et se eos mansuetos putarent facturos, qui nunquam tales fierent neque facultatem haberent huius rei. atque duces quidem horum ad regem mittuntur, ceteri autem ipsorum munitis locis observabantur incolumes.

Cum autem cessasset morbus et sicut serpentes calore valide se moverent illi et opinionem obtinuissent roboris intractabilis, consilium habuit rex duces eorum mittendi ut erudirent genus cognatum quod aderat. accidit enim ut eos novando divino baptismo dignare vellent et honore dignos habere maximo. atque sic facit eos pugnae mox conciliatores et domesticis gentibus rursus restituit et tradit. intellexit autem tum primum, frustra Aethiopem albare aliquem niti, et serpentem alere et malo beneficere idem esse, neque cuiusque horum gratiam parere solere benevolentiam; etenim cum proprius populus facti essent omnia facere, ad quae mos eos hortabatur et excitabat, non desistebant, cum continuos impetus facerent et spoliarent quae circa erant et quaecunque occurrerent, privarent et Graecam terram sanguine Ausonum satiarent propter quod etiam coactus est rursus rex contra

συνεχεῖς καθ' ἑκάστην ἐγίνοντο, ποτὲ μὲν τούτων ποτὲ δ' ἐκείνων προαρπαζόντων τὴν νίκην. ἐπεὶ δ' ἰσοπαλὴς ἐδόκει, μᾶλλον δ' ἡ τῶν Σκυθῶν ἐπιφορὰ προτεροῦσα, χωρὶς ἥττης θατέρου τῶν ἀντιτεταγμένων ἀπ' ἀλλήλων εὐθύς, ὥσπερ ἀπὸ συνθήματος, ἄνευ διωγμοῦ καὶ φυγῆς ἀπηλλάγησαν.

Ἔγνω τοίνυν ὁ βασιλεὺς προσθήκην ἐμποιῆσαι τῇ στρατιᾷ διὰ τῶν ἑῴων ταγμάτων καὶ οὕτω τὴν Σκυθικὴν κατεργάσασθαι πανπευχίαν. διαβιβάζει τοίνυν εἰς Εὐρώπην ἐκ τῆς Ἀσίας τοὺς στρατευομένους πασσυδίᾳ, καὶ πολυπλασιάσας τὸ πλῆθος τοῖς Σκύθαις ἐπαφῆκεν, ὁμοῦ ἀρχηγὸν αὐτοῖς ἐπιστήσας εὐνοῦχόν τινα τῶν ἱερωμένων, τῷ τοῦ ῥέκτωρος τιμήσας αὐτὸν ἀξιώματι. ὃς τὰς δυνάμεις ἀναλαβὼν κατὰ τῶν ἐναντίων ὁμόσε χωρεῖ· καὶ πρὸ τοῦ χάρακα βαλεῖν καὶ στρατοπεδεύσασθαι καὶ βουλὰς στρατηγικὰς προλαβεῖν καὶ συμβαλεῖν τὰ προσήκοντα, κατὰ μέτωπον τοῖς ἐναντίοις, ὡς εἶχε φόρτου καὶ συσκευῆς ἀγοραστικῆς, ἐπιφαίνεται, σπεύδων αὐτός τε καὶ οἱ σὺν αὐτῷ καταλαβεῖν τοὺς ἀντιτεταγμένους πρὸ τοῦ φυγεῖν, καὶ πανωλεθρίαν τούτων ἐργάσασθαι. ὡς δ' ἐκεῖνοι περιτετειχισμένοι ταῖς ἁμάξαις τὴν ἔφοδον αὐτῶν ἐξεδέχοντο, δρόμῳ καὶ βοῇ πολλῇ τῇ παρεμβολῇ τούτων τῶν Ῥωμαϊκῶν φαλάγγων τινὲς προσέβαλον. οἱ δὲ βέλεσιν ἑκηβόλοις χρησάμενοι, καὶ τοὺς ἵππους αὐτῶν πληγαῖς θορυβήσαντες,

11. ῥαίκτωρος C. 14. προβαλεῖν? 21. προσέλαβον C.

barbaros ducere exercitum pugnacem et cum hic convenisset et hostibus se opposuisset pugnae continuae quoque die fiebant, cum nunc hi, nunc illi praeoccuparent victoriam. cum autem par videretur, sive potius Scytharum impetus superior sine clade alterius oppositorum per alterum, statim quasi signo dato sine persecutione et fuga abierunt.

Statuit igitur rex accessionem facere exercitui per orientales ordines, et ita Scytharum debellare militarem incursionem: traiicit igitur in Europam ex Asia militantes omni cum vi et multiplicans multitudinem Scythis immisit simul ducem iis imponens eunuchum quendam clericorum rectoris honorans eum dignitate. qui quidem viribus receptis cum hostibus congreditur, et antequam munitiones iaceret et castra poneret et consilia militaria exigeret et colligeret necessaria, a fronte hostibus ut instructus erat onere et apparatu coemto, apparet studens et ipse et qui cum eo erant occupare oppositos, priusquam fugerent, et cladem summam horum conficere. cum autem illi cincti curribus impetum eorum exciperent, cursu et clamore multo castra harum Graecarum phalangum nonnullae simul aggressae sunt. illi autem iaculis eminus usi et equos verberibus incitantes, turpiter hos fugere coegerunt, cavente horum quoque, ne

αἰσχρῶς τούτους φυγεῖν συνηνάγκασαν, εὐλαβουμένου τούτων ἑκάστου ἵνα μὴ τὸν βίον ἀποβάλῃ πληγῇ ἀπροόπτῳ καὶ συμπατηθῇ τοῖς συντρέχουσι. δευτέρας δὲ συμβολῆς γενομένης ὡς τὴν ὁμοίαν ἐκτροπὴν οἱ Ῥωμαῖοι πεπόνθασιν, εὐθὺς φευγόντων οἱ Σκύθαι τούτων ἐξήρτηντο. καὶ τῇ ἀταξίᾳ τοῦ πλήθους τῶν στρατιωτῶν συμμιγέντων, τῶν τε τῆς ἑσπέρας στρατιωτῶν μηδ' εἰς χεῖρας ἐλθεῖν καὶ τὴν ἧτταν τῶν συμμάχων ἀνακαλέσασθαι διὰ τὸ παρευδοκιμηθῆναι περὶ αὐτὴν τὴν ἡμέραν τῆς προκατάρξεως, παντελὴς τροπὴ τῶν Ῥωμαϊκῶν δυνάμεων γίνεται καὶ φόνος τούτων ὅσος ἀμύθητος. οἱ δὲ περισωθέντες τὰς πανοπλίας ἐκδύντες καὶ καταβάντες τῶν ἵππων, εἰς ὕλην τε βαθεῖαν καὶ κρημνοὺς ἑαυτοὺς συνωθήσαντες, μόλις εἰς τὰ ἑαυτῶν ἀνεσώθησαν.

Τοιαύτης δὲ τετυχηκότες οἱ Σκύθαι τῆς εὐτυχίας, καὶ πολλῶν σωμάτων καὶ χρημάτων γενόμενοι κύριοι, καὶ αὐχήματος μεγάλου πληρώσαντες ἑαυτούς, οὕτως ἐμβάλλουσιν εἰς τὴν Μακεδονικὴν καὶ κατατρέχουσι πᾶσαν ὁμοῦ, καὶ πλειόνων κυριεύσαντες λαφύρων εἰς τὰς ἑαυτῶν σκηνὰς περιφανῶς ἀνασώζονται. τοῦτο δὲ δὶς καὶ τρισσάκις πεποιηκότες ἄμαχον ἔχειν τὴν ἰσχὺν καὶ ἀκαταγώνιστον ἔδοξαν. αὖθις δὲ περὶ Ἀδριανούπολιν συντάγματα μεγάλα παραλαβὼν ὁ τῶν Ῥωμαίων ἡγεμὼν Κωνσταντῖνος πραιπόσιτος ὁ εὐνοῦχος εἰς

2. *βίον* om C, adiecit Brunetus. 8. *ἀνακαλένων ἀνακαλέσασθαι* C. an *ἀνασχομένων ἀνακαλέσασθαι*? 12. *βαθείας* C. 22. *εἰς* om C.

vitam perderet ictu non exspectato neve calcaretur per concurrentes. altera autem concursione facta cum similem repulsionem Graeci passi essent, statim fugientibus Scythae his adhaeserunt et cum confusione multitudinis milites miscerentur et occidentis milites ne manus quidem conserere et, cladem sociorum auderent corrigere, quia erant superati circum ipsum diem initii, omnino fuga Graecarum virium fit et clades horum nefanda. servati autem armaturam gravem exuentes et desilientes equis in silvam profundam et declivia loca se comprimentes vix ad castra suorum pervenerunt.

Talem autem adepti Scythae fortunam et multorum corporum et rerum facti domini et gloria magna cum implevissent se, sic ingrediuntur Macedonicam terram et percurrentes hostiliter omnem simul et pluribus potiti spoliis ad sua tentoria splendide perveniunt. hoc autem cum bis et ter fecissent impugnabilem habere se vim et invictam arbitrati sunt. rursus autem circa Adrianopolin agmina magna cum recepisset Graecorum dux Constantinus praepositus (sacri cubiculi) eunuchus et locum aptum et fossis eum munivisset monitu Michaelis

τόπον ἱκανόν, καὶ τάφροις αὐτὸν ὀχυρώσας ὑποθημοσύναις Μιχαὴλ βεστάρχου τοῦ Δοκειανοῦ, ἦν ἐπιτηρῶν τὴν τῶν Σκυθῶν ἔφοδον. δι' ὀλίγου δὲ ἐπελθόντες ἐκεῖνοι ἅπαν τὸ κατὰ πρόσωπον πεδίον ἐπλήρωσαν, καὶ εἰς τὴν τῶν Ῥωμαίων παρεμβολὴν ἐπορεύοντο, πλῆθος ὄντες ὡς ἀληθῶς δυσαρίθμητον. εἴπερ οὖν προσέσχον τότε τῇ τοῦ μαγίστρου τοῦ Ἀρριανίτου βουλῇ καὶ περιεφύλαξαν ἔνδον ἑαυτοὺς οἱ Ῥωμαῖοι κατ' ἐκείνην f. 173 r. τὴν ὥραν, εἶτ' ἐπανιοῦσι τοῖς Σκύθαις ἐκ ποδὸς συνεδίωκον ἤδη καμοῦσι καὶ κεκμηκόσι τῇ στάσει καὶ τοῖς περιδρόμοις τοῦ χάρακος, κἂν εἰργάσαντό τι ἀξιόλογον ἔργον. νῦν δὲ ἀπάνθαδιασθέντες, καὶ πρὸ τῆς πόλεως ἐμβαλόντες αὐτοῖς ἐν τόποις ἠροτριασμένοις καὶ ἀμπελῶσι καὶ φραγμοῖς κατεσπιλωμένοις, ὀλίγου ἐδέησαν ἀποβαλεῖν καὶ τὸν χάρακα, ἡττηθέντες ἄρδην τῇ τῶν ἐναντίων ἐπιφορᾷ· ἔπεσον δὲ καὶ οἱ τῶν ἡγεμόνων ἐπιφανέστατοι, αὐτός τε ὁ Ἀρριανίτης καὶ ὁ Δοκειανός, ὁ μὲν ὑσσῷ βληθεὶς ὁ δὲ ζωγρείᾳ ληφθείς. ἀχθεὶς δὲ πρὸς τὸν τῶν Σκυθῶν ἀρχηγόν, μηδὲν ὑποπτήξας ἁρπάζει ξίφος ἀγχοῦ που κείμενον, καὶ παίει τοῦτον κατὰ τοῦ τραχήλου, καὶ συναφαιρεῖται τὴν χεῖρα, λέξας "ἑνὸς καὶ αὐτὸς δυσμενοῦς φονεὺς γενέσθαι οὐ δέδοικα." οἱ δὲ Σκύθαι θυμῷ ζέσαντες διασπαράττουσι τοῦτον, καὶ τὴν γαστέρα τεμόντες τὰ ἔγκατα τούτου ἐξαιροῦσι, καὶ κατατεμόντες αὐτοῦ χεῖρας καὶ πόδας ἀντεισάγουσιν ἐν αὐτῇ. καὶ θνήσκει λοιπὸν τὸν εὐγενῆ θάνατον. τῇ δ' ἐπαύριον συμβαλόν-

5. ἐμπορεύοντο C. 21. ζήσαντες C.

protovestiarii Dokiani exspectabat Scytharum incursionem. brevi autem aggressi illi omnem in visu campum impleverunt, et contra Graecorum castra proficiscebantur, multitudo revera innumerabilis. si igitur animum advertissent tum consilio magistri Arrianiti et clausissent intus se Romani illo tempore deinde revertentes Scythas statim secuti essent iam fatigatos et defatigatos mansione et incursionibus valli, peregissent memorabile opus: nunc autem audaces et ante urbem aggredientes eos in locis aratis et vineis et sepibus obstructis, non multum aberat, quin amitterent etiam vallum victi prorsus hostium impetu: ceciderunt autem etiam ducum illustrissimi ipse Arrianites et Dokianus, alter pilo iactus, alter vivus captus, ductus autem ad Scytharum ducem nihil timidus rapit gladium prope alicubi situm, et caedit hunc in collo et abscindit simul manum, dicens: unius et ipse hostis interfector quod factus sum non sum timidus: Scythae autem ira ardentes discerpunt hunc et ventrem scindentes intestina huius eximunt, et abscindentes eius manus et pedes pro illis inferunt ei: et moritur iam nobili morte:

τες ἀλλήλοις, κατά τινα μέρη διδοῦσι νῶτα οἱ Σκύθαι καὶ πεσόντων τινῶν οἱ λοιποὶ περὶ τὰ σφέτερα διασώζονται.

Ἤσχαλλε τοίνυν ὁ βασιλεύς, καὶ μηχανὴν ἐζήτει δι' ἧς ἂν ἀποκρούσασθαι δυνήσαιτο τὸ ἀντίπαλον· αὐτὸς μὲν γὰρ δι' ἑαυτοῦ τὴν ἡγεμονίαν ἀναδέξασθαι τοῦ πολέμου καὶ βουλόμενος οὐκ ἠδύνατο, νόσῳ ποδαγρικῇ περὶ τὰ ἄκρα κακῶς διακείμενος καὶ παντελῶς ἀπρόϊτος ὢν καὶ ἀντὶ ποδὸς κεχρημένος τῷ δίφρῳ· τῶν δὲ στρατηγῶν ἀνανδρίαν καταγινώσκων καὶ περὶ τὴν τῶν δεόντων διάταξιν ἄνοιαν, μίαν οὖν εὕρισκεν ἀναστολὴν τῆς συνεχοῦς τῶν βαρβάρων ἐπιδρομῆς τὴν ἐν τοῖς φρουρίοις διανομὴν τῶν στρατιωτῶν. καὶ οὕτω καστροφυλακοῦντας ἀποδείξας αὐτούς, καί τινα Λατῖνον, ἄνδρα γενναῖον ἐς τὰ μάλιστα κατὰ χεῖρα, καὶ νοῆσαι τὸ δέον οὐδενὸς ἥττονα, τούτοις ἀρχηγὸν ἐπιστήσας, ταῖς τῶν ἐναντίων ἐφόδοις ἐφεδρεύειν πεποίηκεν. ἐπιτηροῦντες τοίνυν αὐτοὺς ἐν ταῖς ἐκδρομαῖς καὶ ταῖς διαρπαγαῖς τῶν ἐπιχωρίων, κατὰ μοῖραν ἐξίοντες ἀθρόον τῶν πόλεων, καὶ τούτους σποράδας καταλαμβάνοντες, τήν τε λείαν ἀφῄρουν καὶ πολλοὺς ἀνῄρουν καὶ ζωγρείᾳ ἐλάμβανον. τούτου δὲ γενομένου, καὶ φόβου κατασχόντος τοὺς ἐναντίους, ἀναστολὴν ἔλαβε τὸ δεινὸν τῆς ἐπιδρομῆς, καὶ οἱ ἐντὸς τῆς Σιδηρᾶς λεγομένης ἄνεσιν τῆς συνεχοῦς καταδρομῆς εἰσεδέχοντο.

Ἐν τοσούτῳ δὲ τοῦ θύραθεν λωφήσαντος μαχησμοῦ ἀνε-

postero autem die congressi inter se nonnullis partibus terga vertunt Scythae: et cum cecidissent nonnulli, ceteri in suis castris servantur.

Dolebat igitur rex et machinationem quaesivit, qua repellere posset hostes: ipse enim per se imperium recipere belli licet vellet non poterat, morbo podagrico circa extremitates male vexatus, ut omnino in publicum prodire non posset et pro pede uteretur curru. ducum autem ignaviam cognoscens et in necessariorum administratione imprudentiam, unam reperiebat repulsionem continui barbarorum impetus, in praesidiis distributionem militum. atque sic in castris se tenentes reddens eos et aliquem Latinum virum nobilem maxime promtum et in cognoscendo necessarium nemine minorem his ducem imponens hostium incursiones exspectare iussit. observantes igitur eos in excursionibus et raptibus regionum ordine egressi simul urbibus et hos dispersos deprehendentes spolia abripiebant et multos interficiebant et vivos capiebant. quo facto cum metus obtineret hostes, repulsionem habebat periculum incursionis et qui intus erant in Ferrea illa dicta remissionem continui impetus accipiebant.

Interea cum externum cessasset proelium, animum receperunt

θάρρησε τὸ Ῥωμαϊκόν, καὶ ὁ βασιλεὺς τῶν ἐπὶ τῆς αὐλῆς ἕνα στρατηγὸν ἀναδεδειχώς, τούτῳ τὰς ἑσπερίους δυνάμεις εὐθὺς ἐνεχείρισε. καὶ ὃς κατὰ τὸ φρούριον τῆς Χαριουπόλεως γεγονὼς ἐκτὸς ταύτης τὸν χάρακα τίθεται. μαθὼν οὖν ὡς πλῆθος οὐκ εὐαρίθμητον Σκυθῶν ἄρτι προσβαλὸν τὰ περὶ τὴν Χαλκίδα καὶ Ἀρκαδιούπολιν καὶ ὅσα δυσμικώτερα τούτων ληΐζεται, ἄρας ἐκεῖθεν πανστρατιᾷ τοῖς βαρβάροις καταπληκτικῶς ἐπιφαίνεται· καὶ τὰς φάλαγγας ἐκτάξας πολεμικῶς καὶ θαρρεῖν παρεγγυησάμενος ἀπὸ ῥυτῆρος ἤλαυνε κατ' αὐτῶν. οἱ δὲ πρὸς καιρὸν ἀντισχόντες καὶ τὴν μάχην ἐπισυνάψαντες, καὶ εἰς ἀλκὴν διερεθίσαντες ἑαυτούς, τῶν Ῥωμαίων ἐπικειμένων καὶ πολλοὺς ἀναιρούντων εἰς φυγὴν καὶ ἄκοντες ἔνευσαν. καὶ τῆς διώξεως ἐπὶ πολὺ γενομένης συχνοὶ τῶν Σκυθῶν ἔπεσον. εἶτα καὶ λόχοι τούτων ἀθρόον τοῖς ἐπὶ τῆς οὐραγίας ἐπιχυθέντες καὶ αὐτοὶ τῇ φορᾷ τῶν ἐλαυνόντων ἡττήθησαν· καὶ πάντες ὁμοῦ συνεδιώχθησαν ἄχρι τοῦ Ῥεντακίου βουνοῦ. f. 174 r. καὶ εἰ μὴ τοῖς δρυμοῖς καὶ ταῖς νάπαις κατέφυγον, κἂν ἔκειντο πάντες τῆς Ῥωμαϊκῆς μαχαίρας γενόμενοι παρανάλωμα.

Τοῦτον δὲ τὸν τρόπον προτερησάντων τῶν Ῥωμαίων, μετὰ χρόνον τινὰ φήμη τις ἐπιτρέχει τοὺς Σκύθας λέγουσα μετὰ δυνάμεως ἱκανῆς παρεμβαλεῖν εἰς τὸν Τοπλιτζόν· τόπος δὲ οὗτος οὐ μικρὸν ἄποθεν τῆς Ἀδριανουπόλεως κείμε-

Graeci et rex ex curialibus unum ducem creans huic occidentales vires statim tradidit. atque hic in castello Chariopolis constitutus extra hanc vallum iacit. cum igitur audivisset, multitudinem innumerabilem Scytharum nuper aggressam regiones Chalcidis et Arcadiopolis et quae his magis ad occidentem sunt versa spoliare, profectus inde cum toto exercitu barbaris terrens apparet: et postquam phalanges instruxit ad bellum et ut fortes essent monuit equis incitatis proficiscebatur contra eos: illi autem in tempore resistentes et pugnam conserentes et ad fortitudinem excitantes se, cum Graeci iis instarent et multos interficerent, in fugam vel inviti inclinarunt. et cum persecutio valde fieret multi Scytharum ceciderunt: deinde etiam agmina horum simul contra ultimos effusa et ipsa vi aggredientium victa sunt: et omnes simul pulsi sunt usque ad Rentakium collem: atque nisi ad silvas et valles confugissent, iacuissent omnes Graeci gladii facti opsonium.

Hoc autem modo cum superiores facti essent Graeci, tempore aliquo post fama quaedam percurrit Scythas dicens cum vi sufficiente incidere in Toplitzum (locus autem hic non exiguum abest ab Adriano-

νος. συναγαγὼν οὖν ἅπαν τὸ στρατιωτικὸν ὁ δηλωθεὶς στρατηγός, τῶν σημείων ἀρθέντων χωρεῖ πρὸς τὴν ἄμυναν. καὶ περιτυχὼν κατεστρατοπεδευμένοις αὐτοῖς μάχῃ καὶ τούτων ἐκράτησε, καὶ τὸν ὅμοιον τρόπον αὐτοὺς διαθεὶς τούς τε πεσόντας ἐσκύλευσε καὶ μετ' ἐπινικίων εἰς τὴν σφετέραν ἐγκατεσήκωσε. πολλοῖς δὲ τοιούτοις ἀγωνίσμασι ἐντὸς τῆς σιδηρᾶς ὑπέρτερος τῶν ἐναντίων ἀποδειχθείς, πᾶσαν τὴν ἐκεῖσε γῆν τῆς βαρβαρικῆς ἐφόδου βεβαίως ἐκάθηρεν.

Ἐπαρθεὶς οὖν ὁ βασιλεὺς τοῖς ἐντεῦθεν ἀγωνίσμασί τε καὶ προτερήμασι, δόγμα ἵει πανστρατιᾷ τοῦτον εἰς τὴν τῶν ἐναντίων γενέσθαι παρεμβολήν, ἑτέρᾳ δυνάμει ἑῴᾳ τὴν στρατιὰν ἐξογκώσας. ἐπιτρέπει δὲ καὶ τὸν τῶν Βουλγάρων σατράπην (ἦν δὲ οὗτος τοῖς μοναχοῖς μὲν κατειλεγμένος ἐκτομίας, δόξῃ δὲ διεπτοημένος καὶ διὰ τοῦτο προσηλωμένος τοῖς μὴ προσήκουσι) συνάρασθαι τούτῳ τοῦ πρὸς τοὺς ἐναντίους πολέμου. συναγηοχὼς οὖν οὗτος τοὺς ὅλους, ἁδρᾷ δυνάμει διαβαίνει τὸν ὑπερανεστηκότα βουνὸν καὶ οἷον μεθόριον κείμενον τῆς τε Μακεδονικῆς καὶ τῶν περὶ τὸν Ἴστρον χωρῶν, ὃς καὶ Ζυγὸς διὰ τοῦτο τοῖς ἐπιχωρίοις κατονομάζεται καὶ στενωποὺς ἔχει πολλούς, οὓς ὁ δημώδης λόγος κλεισούρας καλεῖν παρέλαβε. καὶ περὶ τὴν μεγάλην Πραισθλάβαν διημερεύσας τὰ πρὸς τὸν πόλεμον ηὐτρεπίζετο, βουλευτήριον καθίσας καὶ περὶ τῶν εἰκότων δημηγορῶν. ὁ δὲ βασιλεὺς τὴν

10. an δογματίζει?

poli). conducens igitur omnem exercitum declaratus dux signis sublatis proficiscitur ad defensionem et congressus cum iis in castris constitutis pugna etiam hos vicit et simili modo eos tractans interfectos spoliavit et cum victoriae signis in sua castra transtulit. multis autem talibus certaminibus intra ferream superior hostibus declaratus omnem illam terram a barbara incursione fortiter purgavit.

Elatus igitur rex illis certaminibus et victoriis decretum emisit, ut hic toto cum exercitu in hostium iret castra, altera vi orientali exercitum implens. iubet autem etiam Bulgarorum satrapam (erat autem hic monachus creatus eunuchus, fama autem deterritus, et propterea aggressus quae non debebat) auxilium praestare huic in suscipiendo contra hostes bello: cum igitur coegisset hic omnes, plena vi transgreditur erectum collem et quasi finem Macedoniae et Istri regionum, qui etiam iugum propterea incolis nominatur et angustias habet multas, quas popularis sermo clausuras vocare didicit: et circa magnam Praesthlabam per diem totum degens, quae ad bellum sunt necessaria, praeparabat, curiam constituens et de iis, quae decerent, orationes habens. rex autem volentis cavens egressum, fortasse etiam

τοῦ μέλλοντος εὐλαβούμενος ἔκβασιν, εἴτε καὶ συμβουλαῖς ἑτέρων πεισθείς, διὰ γραμμάτων παρῄνει τῷ ἀνδρὶ μὴ συμβαλεῖν πόλεμον, εἰ οἷόν τε ἐστί, πρᾶγμα δυσμήχανον αὐτῷ ὑποθείς· ἀγχιθύρου γὰρ τῆς μάχης καθεστώσης ἀδύνατον ἦν ἀμογητὶ καὶ κινδύνου χωρὶς ἀπαλλαγῆναι ἐκεῖθεν. καὶ ὁ μὲν τὸ ἧττον κακὸν αἱρούμενος, ἢ μᾶλλον εἰπεῖν ἀμφίβολον, πρὸς μάχην ἑώρα, καὶ δῆλος ἦν πᾶσι τοῦτο σκοπῶν καὶ διανοούμενος· ὁ δὲ τῶν Βουλγάρων σατράπης, φθόνῳ κατεστρατηγημένος καὶ δόλῳ (καὶ γὰρ λέγεται μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ πάθος τοὺς πλείονας τῶν ἐκτομιῶν ὡς ἐπίπαν παρενοχλεῖν), προφάσεως ἐκ τοῦ βασιλικοῦ δραξάμενος ὁρισμοῦ οὐκ ἀνίει τὴν φυγὴν ἀσύντακτον προτρεπόμενος καὶ τὸ συνοῖσον τοῖς πᾶσι τὸ ἑαυτοῦ προτιθέμενος βούλημα, ἵνα μή, φησὶν (ἐπεψιθύριζε γὰρ πρὸς τοὺς παρόντας λαθραίως), τοῖς ὅπλοις τῆς ἑαυτοῦ ἡγεμονίας μέγας ὁ παρὰ βασιλέως δόξῃ πεμφθείς, καὶ τοσοῦτον ἔργον κατωρθωκὼς ἐπιφημισθῇ καὶ καταγάγοι τὸν θρίαμβον. ἔλαθε δὲ τὸ ξίφος ὠθῶν, ὡς ὁ λόγος, καθ' ἑαυτοῦ, καὶ τήνδε τὴν γνώμην ἀληθιζομένην δεικνύς, ὅτι φθόνος οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον· σκοπῶν γὰρ ὅπως ἑτέρου τὴν νίκην ἀφαρπάσῃ, περὶ τῆς ἑαυτοῦ σωτηρίας ἀπροόπτως οὐ διεσκόπησεν. ὡς γὰρ ἐκράτησεν ἡ γνώμη τούτου τὸν πόλεμον ἀπαναινομένου, περὶ λύχνων ἁφὰς αἵ τε σκηναὶ περιῃροῦντο καὶ συσκευασάμενος ἕκαστος τῆς οἴκοι

12. an τοῦ συνοίσοντος?

consiliis aliorum commotus, per literas monuit virum, ne consereret bellum, si fieri posset, rem difficilem ei suadens: cum enim ante portas quasi staret pugna, non fieri potuit, ut sine contentione et periculo abiret inde: atque ille quidem minus malum eligens sive potius anceps ad pugnam spectabat, et perspicuus erat omnibus hoc studens et cogitans. Bulgarorum autem satrapa, invidia superatus et dolo (etenim dicunt inter cetera etiam hoc malum plures eunuchorum plerumque vexare) praetextum ex regia captans constitutione non proficiscebatur fugam confusam ostendens et ei quod omnibus prodesset suum anteponens consilium, ne, inquit, (susurrabat enim ad praesentes clam) armis sui imperii magnus gloria qui a rege missus erat et tantum opus feliciter gerens celebraretur et duceret triumphum. nesciebat autem, se gladium ut est in proverbio contra se premere et hanc sententiam veram reddere quod invidia nescit aestimare utile: studens enim, ut alii victoriam abriperet, de sua salute imprudenter non cogitavit. postquam enim superior fuit sententia huius, qui bellum dissuaderet, circa candelabrorum accensionem tentoria tollebantur et paratus quisque viam quae domum ferebat, captabat. Scythae autem qui antea acceperant

φερούσης ἥπτετο. οἱ δὲ Σκύθαι προεγνωκότες τὴν τῶν Ῥωμαίων προαίρεσιν παρὰ τῶν ἑαλωκότων αὐτοῖς, προκαταλαμβάνουσιν τὰς ἐξόδους, καὶ τούτους ἀσυντάκτους εὑρόντες πολὺν φόνον αὐτῶν εἰργάσαντο, καὶ κατὰ κράτος αὐτοὺς καταγωνισάμενοι καὶ μέχρι πολλοῦ συνδιώξαντες, καὶ τοὺς τούτων νεκροὺς σκυλεύσαντες, οὓς δὲ καὶ ζῶντας ἑλόντες, τὴν προτέραν ἧτταν ἀνεκαλέσαντο καὶ πρὸς εὐετηρίαν ἑαυτοὺς ἀνεκτήσαντο. ὁ δὲ τῶν Βουλγάρων ἀρχηγός, ὁ τὴν αἰτίαν τοῦ μὴ κροτηθῆναι τὸν πόλεμον συνεισενεγκὼν καὶ φθόνῳ τὸ πᾶν σκαιωρήσας τῆς χαλεπότητος, ἀγερώχῳ τινὶ καὶ θρασεῖ κατεποχούμενος ἵππῳ, καὶ τοῖς τούτου ποσὶ ἀνάλωτος εἶναι θαρρῶν, f. 174 v. περιτυγχάνει διώρυγι, καὶ τοῦ ἵππου ταύτῃ ἀεροβατῆσαι οἱονεὶ βουληθέντος ἐκτρέπεται τῆς ἕδρας αὐτός, καὶ πτῶμα τῇ γῇ καταφέρεται δύστηνον. καί τινες τῶν Σκυθῶν ἐπικαταλαβόντες αὐτὸν λόγχῃ τοῦτον διαχειρίζονται, πύματον ἄρτι μαθόντα ὡς ὁ φθόνος ἐξ ἅπαντος ὑφίσταται περὶ τὴν γραφήν, καὶ φθόρου γεννητικὸς εἴτε τοῦ γεννήτορος εἴθ' ἑτέρων συνεννηνεγμένων αὐτῷ καθέστηκε.

Τότε δή, τότε, κατὰ τὴν νύκτα τῆς ἀσυντάκτου φυγῆς, ἐκ τῆς κατασκοπῆς ὁ Βοτανειάτης τὸ πραττόμενον ἀτύχημα καὶ τὰ παρ' ἐλπίδα τῇ Ῥωμαίων δυσβουλίᾳ συμβεβηκότα θεώμενος, ἀνίας τε πολλῆς ἐπλήσθη καὶ τῆς κακονοίας τοὺς οὕτω συμβουλεύσαντας ἐταλάνισεν. εἶτα τοῖς ἀμφ' αὐτὸν

3. ἀσυντάκτως C. 16. an σεσόφισται? 17. φθόνου C.

Graecorum consilium a suis captivis occupant exitus et hos confusos invenientes multam caedem eorum perpatraverunt; et fortiter eos bellantes et longe persequentes et horum mortuos spoliantes, nonnullos etiam vivos capientes priorem cladem correxerunt et ad copiam (bonum annum) se recollegerunt. Bulgarorum autem dux qui causam belli non conserti intulerat et invidia totam machinatus erat difficultatem, superbo et forti vectus equo et huius pedibus a captivitate se tutum esse confidens venit ad fossam et cum equus ibi per aera ingredi quasi vellet, evertitur sede ipse et casu in terram deiicitur tristi. atque nonnulli Scytharum aggressi eum lancea hunc conficiunt, postremum demum cognoscentem, invidiam perniciem afferre et invidis et iis qui invidis utuntur.

Tum igitur nocte confusae fugae ex speculatione Botaniates factum malum et quae contra spem Graecorum temeritate facta erant conspiciens aegritudine multa impletus est et propter eos qui ita stultitiae auctores fuerant doluit: deinde suis imperavit, ne ovium instar inter se dissiparentur sicut ceteri milites facientes conspicerentur, neve

παρεκελεύσατο μὴ δίκην προβάτων ἀπ' ἀλλήλων διασκεδασθῆναι, καθὼς οἱ λοιποὶ στρατιῶται ποιοῦντες ὀπτάνονται, καὶ νῶτα δοῦναι τοῖς πολεμίοις καὶ σκοποὺς ἑαυτοὺς θέσθαι τῶν Σκυθικῶν τοξευμάτων, ἀλλὰ παρ' αὐτῷ μένειν καὶ σχολαίως ἕπεσθαι μετὰ καρτεροῦ τοῦ συντάγματος, ὡς δυναμένου τούτου τοῖς ἐναντίοις ἰσχυρῶς ἀνταμύνασθαι. οἱ δὴ καὶ συμφρονήσαντες ἅμα καὶ τῇ ἀνδρίᾳ τούτου θαρρήσαντες τὴν ἑαυτῶν σωτηρίαν τούτῳ καὶ τὴν εὐθυωρίαν ἀνέθεντο. ἐπορεύετο μὲν οὖν μετ' αὐτῶν ὁ Βοτανειάτης· οἱ δὲ Σκύθαι πληθύν τινα ἰδόντες μικρὰν συντάξει καὶ κόσμῳ προβαίνουσαν, ἐπ' αὐτὴν ἀκρατῶς ἤλασαν. καὶ πολλὰ περιιππεύσαντες τούτους, καὶ νιφάδας τόξων αὐτοῖς ἐπιπέμψαντες, ὡς ἀμήχανον ἔγνων τὴν τούτων παράλυσιν, ἑαυτοὺς ἀνέλαβον ὄπισθεν. ὁ δὲ Βοτανειάτης τὸν παραρρέοντα ποταμὸν ἐπιτείχισμα ποιησάμενος, καί τινας σκοπιὰς ἀπὸ μέρους ὑπὲρ αὐτοῦ προβαλλόμενος, ὡς ἂν μὴ κυκλῷτο παρὰ τῶν ἐναντίων καὶ παντελῶς ἀπείργοιτο τῆς ὁδοῦ καὶ μέσον χορείας ἀπειροπληθεῖ πολέμῳ ἁλίσκοιτο, προέβαινε μὲν περὶ τὰς ὄχθας τοῦ ποταμοῦ. οἱ δὲ Πατζινάκοι πάλιν ἐπεισπεσόντες αὐτῷ δι' ὅλης ἐπολέμουν ἡμέρας, ἐν νυκτὶ δὲ πάλιν κατὰ διαδοχὰς ἕτεροι· κατατροπώσασθαι δὲ τοῦτον καὶ τοὺς περὶ αὐτόν, καὶ πεῖσαι καταθεῖναι τὰ ὅπλα, οὐδαμῶς ἠδυνήθησαν. σκοπὸν δὲ μελετήσαντες τούτους ἀνίππους ποιῆσαι, διὰ πολλῶν βελῶν μακρό-

17. πολέμων C.

terga darent hostibus et quasi fines se constituerent Scythicorum iaculorum sed apud se manerent et tranquille sequerentur cum valido agmine, quippe quod posset hostibus fortiter resistere: illi igitur et concordes simul et fortitudine huius animosi suam salutem huic et directionem crediderunt. proficiscebatur igitur cum iis Botaniates: Scythae autem numerum cum viderent parvum ordine procedere, contra iam immodice contenderunt et cum multum circum hos equitassent et nives iaculorum iis immisissent, postquam non fieri posse cognoverunt horum dissipationem se receperunt retro. Botaniates autem praeterfluentem fluvium praesidium faciens, et nonnulla speculatoria ex parte super eo proponens, ne cingeretur ab hostibus et omnino excluderetur via et circumfusus immensa multitudine hostium caperetur, procedebat circa ripas fluvii. Patzinaki autem rursus incidentes ei per totum pugnabant diem. noctu autem rursus vicissim alii; in fugam autem vertere hunc et eius milites et commovere, ut deponerent arma, nullo modo potuerunt, studentes autem hos equis privare multis iaculis eminus missis equos eorum icerunt, cum ad manus cum iis congredi non possent; experientes enim antea hoc saepe multos suorum perdi-

θεν ἐκπεμπομένων τοὺς ἵππους αὐτῶν κατηκόντισαν, εἰς χεῖρας αὐτοῖς ἐλθεῖν μὴ δυνάμενοι· δοκιμάσαντες γὰρ πρότερον τοῦτο πολλάκις πολλοὺς τῶν ἰδίων ἀπέβαλον, παρ' αὐτοῦ τοῦ Βοτανειάτου καὶ τῶν σὺν αὐτῷ διαχειρισθέντας. ὡς δὲ τῶν ἵππων αὐτοὺς οἱ βάρβαροι ἀπεστέρησαν ταῖς ἐκ τῶν τόξων πληγαῖς, ἔμειναν μὲν πεζοὶ μετὰ τῶν Ῥωμαϊκῶν κρηπίδων, ταύτας δ' ἀποτεμόντες ἐν ἐμβάδων τάξει τὰ κάτω μέρη κατέλιπον. οὐ μὴν τὰς ἀσπίδας καὶ τὰ ξίφη ἀπέλιπον, ἀλλὰ τὴν στρατιωτικὴν ὅπλισιν ἔχοντες οὕτω τὴν ὁδὸν καὶ τὸν πόλεμον ἤνυον· οὐ γὰρ κατέλιπον αὐτοῖς ἀνακωχὴν οἱ πολέμιοι, ἀλλὰ κατὰ διαδοχὰς πολεμοῦντες ἡμέρας τε καὶ νυκτὸς διὰ πάσης φιλοτιμίας ἐχώρουν, ὥστε πᾶσι τρόποις ὑπὲρ ἅπαν τὸ στρατόπεδον αὐτοὺς παραστήσασθαι. ἀλλ' οἵγε πρὸς τὸν ἀρχηγὸν αὐτῶν ἀφορῶντες, καὶ πρὸς τὸ θαρσαλέον αὐτοῦ καὶ ἡγεμονικὸν ἐκπληττόμενοι, μένους ἐπληροῦντο, καὶ τοῦ ἀπλέτου μόχθου καὶ τοῦ συνεχοῦς πολέμου παρηγορίαν οὐ μικρὰν ἐκομίζοντο. τρίτην οὖν ἡμέραν οὑτωσὶ διανύσαντες ἐν πεζοπορίᾳ, καὶ τῶν πολεμίων τοὺς εἰς χεῖρας ἐλθόντας πολλοὺς ἀναλώσαντες, ἵππων τριῶν ἐκυρίευσαν, καὶ τούτους αὐτῷ προσήνεγκαν, δυσωποῦντες ἐποχηθῆναι μόνον μετὰ δύο ὑπασπιστῶν καὶ τοῖς ποσὶν αὐτῶν πιστεῦσαι τὴν σωτηρίαν ἑαυτοῦ. ὁ δὲ μηδὲν τοιοῦτον καταδεξάμενος, μηδὲ ῥίψασπιν ἑαυτὸν ἀποδεῖξαι μέχρις ἀκοῆς ἀνασχόμενος, πληροφορεῖ μὲν

11. διοχὰς C. correxit Brunetus.

derunt per ipsum Botaniatem eiusque milites interfectos: cum autem equis eos barbari privassent iaculorum ictibus, manserunt pedites cum Graecis crepidis. his autem abscissis in embadum loco inferiores partes gestabant. neque tamen scuta et gladios reliquerunt, sed militarem armaturam induti ita viam et bellum perficiebant: neque enim concesserunt iis inducias hostes sed vicissim bellantes per dies et noctes omni cum certamine proficiscebantur ita ut omnibus modis prae omnibus castris ii adstarent: sed hi quidem ad ducem suum spectantes et eius animosum et imperiosum vultum stupentes animo implebantur et immensi laboris et continui belli solatium non parvum inde reportabant. tertium igitur diem cum ita peregissent pedites euntes et hostium qui in manus venerunt multos interfecissent, equis tribus potiti sunt et hos ei attulerunt rogantes, ut veheretur solus cum duobus armigeris et eorum pedibus crederet salutem suam. ille autem nihil tale accipiens neque scutum abiicientem se praebere usque ad famam volens certiores eos facit ipse, se optabilius habere ocius omnibus mori, quam fallere promissum firmae cum iis constantiae et contentio-

αὐτοὺς ὡς αἱρετώτερον ἔχει θᾶττον ἁπάντων ἀποθανεῖν ἢ f. 175 r. *ψεύσασθαι τὴν ὁμολογίαν τῆς μετ' αὐτῶν στερρᾶς διαμονῆς καὶ ἀθλήσεως, οἰκείαις δὲ χερσὶ τοὺς πόδας ἀποτέμνει τῶν ἵππων, καὶ μέχρι τέλους ἀγωνίσασθαι τὸν περὶ ψυχῆς ἀγῶνα πᾶσι κατεπηγγείλατο, καὶ τοῖς πολεμιωτάτοις ἀμύνεσθαι καὶ μὴ διαρραγῆναι τῆς συνοδίας αὐτοῦ. οἱ δὲ τὸ θάρσος αὐτοῦ καὶ τὸ τῆς εὐγενοῦς ἀνδρίας ὑπερφυὲς ἀγασθέντες, καὶ τὴν τῆς γνώμης εὐθύτητα καὶ τὴν ἄγαν εὐτολμίαν καὶ στερροτάτην πίστιν ἐκπληκτικῶς ἐπαινέσαντες, εὐέλπιδες ὄντως γεγόνασι τοῦ μηδέν τι παθεῖν ἀνήκεστον, τοιοῦτον ἀρχηγὸν κεκτημένοι καὶ τοῦ πολέμου καὶ τῆς ὁδοῦ προεξάρχοντα. ἔκτοτε οὖν ἐπὶ ἐννέα ἡμέρας καὶ τοσαύτας νύκτας οὐ διέλιπον οἱ πολέμιοι περιιππεύοντες αὐτοὺς καὶ καθυλακτοῦντες καὶ τόξοις βάλλοντες. οἱ δὲ τὰς ἀσπίδας προτείνοντες ἐδέχοντο μὲν τὰ βέλη τούτων καὶ ἀπεκρούοντο, ἐχόμενοι δὲ τῆς ὁδοῦ εἴ τινας εὗρον ἔγγιστα τούτοις παραπελάζοντας, στερροτέραις πάνυ κατεπόνουν πληγαῖς. καὶ περιέστη τῷ Βοτανειάτῃ μετὰ τῶν ἀμφ' αὐτὸν ὁ τοῦ πολέμου καὶ τῆς ἀποῦ κάματος εἰς ὅλας ἡμέρας ἕνδεκα καὶ νύκτας ἴσας, πρᾶγμα μήτε τοῖς παλαιοῖς ἐκείνοις καὶ ᾀδομένοις εἰς ἀνδρίας ἐπίτασιν μήτε νέοις ἔν τε Ῥωμαίοις καὶ Πέρσαις καὶ λοιποῖς ἔθνεσι κατορθωθέν τε καὶ τολμηθέν. ὁ γὰρ πόλεμος καὶ ἡμίτομον ἡμέραν τινὶ προσγενόμενος παραλύειν οἶδεν αὐτὸν καὶ ἀνάλκιδα τίθεσθαι,*

6. an *αὐτῶν*? 18. an *ὁδοῦ*? margo *τοῦ κόθου*. *ὁδοῦ* etiam interpres.

nis. propriis autem manibus pedes abscindit equorum, et ut usque ad finem salutis certamen certarent omnibus pronuntiavit et inimicissimis resisterent neve dissiparentur ab coniuncto itinere eius. hi autem animum eius et nobilis virtutis magnitudinem admirati et sententiae simplicitatem et ingentem magnanimitatem et firmissimam fidem stupore laudantes spem bonam revera acceperunt, nihil patiendi intolerabile, cum talem ducem haberent et belli et itineris principem. ex hoc tempore circiter novem dies et totidem noctes non cessabant hostes equitantes circum eos et latrantes et iaculis iacientes. hi autem scuta protendentes excipiebant iacula horum et repellebant. tenaces autem viae si quos invenerunt prope his appropinquantes densioribus omnino eos domabant ictibus: et instabat Botaniati cum eius militibus belli et itineris fatigatio per totos dies undecim et noctes totidem: res neque veteribus illis et celebratis propter virtutis contentionem neque novis inter Graecos et Persas et ceteros populos perpatrata et suscepta: bellum enim etiam per dimidium diem alicui instans solvere scit eum et infirmum facere, et quidem equitantem

καὶ ταῦτα ἱππότην ὄντα καὶ τοῖς ποσὶ μὴ ὀκλάζοντα. τὸ δὲ διὰ τοσούτων ἡμερῶν πεζῇ βαδίζειν καὶ πολεμεῖν, καὶ μηδὲ νυκτὸς ἠρεμίαν ἄγειν, οὐδείς πω τῶν ἁπάντων ἀκοαῖς ἔλαβεν, εἰ μὴ ἐπὶ τοῦδε τοῦ ἀνδρὸς ὑπερφυῶς ἐθαυματουργήθη. ὡς δ' ἀπέκαμον οἱ πολέμιοι καὶ τῇ Ἀδριανοῦ πόλει πλησιάζειν ἐπέγνων, ὀπίσω ἑαυτοὺς ἀνελάμβανον, θαῦμα καὶ οὗτοι τὴν καρτερίαν αὐτοῦ καὶ ἀνδρίαν ὡς ἀνεκδιήγητον λογιζόμενοι· ὅθεν καὶ πολλοὺς συνέβη τῶν φευγόντων Ῥωμαίων ἐκ τῆς τοιαύτης τῶν βαρβάρων σχολῆς τὰς τούτων χεῖρας διαφυγεῖν.

Ἔκτοτε τοίνυν οὐδεμίαν ἀξιόλογον δύναμιν ὁ βασιλεὺς ἔγνω κατὰ τῶν ἐναντίων ἐκπέμπειν, ἅμα μὲν τοῖς παραδείγμασι βαλλόμενος τὴν ψυχήν, ἅμα δὲ καὶ λόγον θρυλλούμενον προσιέμενος, ὡς τὸ θεῖον οὐκ ἐπινεύει τὸ ἔθνος ἡβηδὸν κατακεντηθῆναι καὶ γλῶσσαν μίαν τῶν ἀπηριθμημένων σχολάσαι· προελομένων δὲ τὴν εἰρήνην αὐτῶν προσίεται τούτους ὁ βασιλεύς, καὶ σπονδαῖς τὸν πόλεμον καταθέμενος συλαγωγεῖν ἤρξατο τὰς εὐνοίας αὐτῶν, καὶ τοῖς Ῥωμαϊκοῖς δώροις καὶ ἀξιώμασι καταμαλάττειν τὸ βαρβαρικὸν αὐτῶν καὶ ἀτάσθαλον ἦθος.

Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους Οὖννοι Νεφθαλῖται, Περσῶν ὅμοροι, οὓς τῆς Περσίδος ὁ Γάγγης ἀποτειχίζει ποτα-

1. ἵπποντα ὄντα C. 18. ῥωμαϊκῆς C.

neque pedibus fatigatum. per tot autem dies pedibus ingredi et bellare neque noctis quietem agere, nemo unquam omnium fando audierat, nisi in hoc viro ingens miraculum factum erat (quin hunc virum valde miraretur). cum autem fatigarentur hostes et se Adrianopoli appropinquare cognoscerent, retro se recipiebant miraculum et ipsi constantiam eius et virtutem inenarrabile habentes, unde accidit, ut multi fugientium Graecorum propter talem barbarorum quietem eorum manus effugerent.

Ex eo igitur tempore ne unam quidem memorabilem vim rex statuit contra hostes emittere, et exemplis ictus animum et sermonem vulgarem probans, numen divinum nolle populum stirpitus interimi aut linguam unam earum quae numeratae sunt deficere: cum autem mallent pacem illi, arcessit hos rex et pactis cum bellum deposuisset comparare coepit benevolentiam eorum et Graecis muneribus et dignitatibus mollire barbaros eorum et impios mores.

Circa eadem autem tempora Hunni Neuthalitae Persarum vicini, quos a Perside Ganges secludit fluvius, quatuor et dimidium miliarium

μός, τέσσαρσι πρὸς τῷ ἡμίσει μιλίοις τὸ εὖρος ἀποτεινόμενος, ἐν τοῖς στενωτέροις αὐτοῦ διαβήμασι διαπεραιωθέντες τὸν ποταμόν, ἡγεμόνος αὐτοῖς ἀνεῴξαντος τὴν ὁδὸν ὃς προειλημμένος καὶ ταπεινῇ τύχῃ συμπεπορισμένος καὶ δουλικῇ, μετὰ τελευτὴν τοῦ κρατοῦντος δεσπότου τῆς Περσικῆς γέγονεν ἐγκρατής, καὶ ἀκαταμάχητον σθένος οἷον τοῖς ἐκεῖσε πᾶσιν ἐναποδείξαντες, πρὸς ἀνίσχοντα ἥλιον τοῖς Ἰβηρικοῖς ὁρίοις προσήγγισαν, καὶ καταδραμόντες πλείστην ὅσην ἠδύναντο, ἀρχηγὸν τῶν Ῥωμαίων ζωγρείᾳ εἷλον, τὴν ἀρχὴν περιεζωσμένον τῆς Συρίας, Λειχούδην ἐπικαλούμενον. καὶ συνεχεῖς ἐκδρομὰς ἐπετείους τὸ ἔθνος ποιούμενον οὐκ ὀλίγα τὴν Ῥωμαϊκὴν κατέβλαπτε γῆν. ἀντιπαραταττόμενοι δὲ τούτοις οἱ τῶν ἄκρων ἐπιστατοῦντες Ῥωμαῖοι τὴν ἧττω πως ἀπεφέροντο, τόξων εὖ εἰδότων τῶν ἐναντίων καὶ κατὰ σκοπὸν βαλλόντων οὐχ ἥκιστα, καὶ τοὺς ἀν- f. 175 v. τιτεταγμένους ἐκδειματούντων ταῖς ἑκηβόλοις πληγαῖς. διὸ καὶ ἀνενδότως κατέτρεχον πᾶσαν τὴν Ἰβηρικήν, πολίχνια καὶ κώμας ἁρπάζοντες καὶ μεγίστας ἀνατρέποντες πολιτείας, καὶ χώρας ἀναστάτους ποιούμενοι. συνηνέχθη δὲ ταῦτα διὰ τὴν τοῦ βασιλέως ὕστερον πλεονεξίαν. στρατεύματος γὰρ ἀξιομάχου τὴν Ἰβηρικὴν περιέποντος, καὶ ὀψώνιον ἔχοντός τινας τῶν παρακειμένων δημοσίων χωρῶν, ἀφείλετο ταύτας ὁ βασιλεύς, καὶ παρελὼν τοσαύτην ἰσχὺν οὐ μόνον τοὺς ἰδίους ἀπέβαλε συμμάχους, ἀλλὰ καὶ πολεμίους αὐτοὺς ἰσχυρῶς ἐρ-

4. δουλικῇ interpres: C δουλικήν. 9. τῆς] τῶν τῆς C. 23. ἰσχυροὺς interpres.

in latitudinem extensus, in angustioribus eius vadis transgressi fluvium duce eis aperiente viam, qui antea captus et tenui fortuna comparatus et servili post obitum regnantis domini Persidis fuit dominus, et invictum robur ut iis, qui ibi erant, omnibus probantes ad orientem solem Ibericis finibus appropinquarunt, et aggressi quam plurimam terram ducem Graecorum vivum ceperunt, imperio cinctum Syriae, Lichudem cognominatum; et continuos impetus annuos populus faciens non parvo modo Graecae nocuit terrae. cum autem se opponerent his Graeci, qui arcibus impositi essent, inferiores discesserunt, cum arcuum bene gnari essent hostes et ad finem iacerent non parum et oppositos terrerent eminus ictibus. quamobrem etiam strenue percurrerunt omnem Ibericam terram, oppida et pagos spoliantes et maximas pervertentes civitates et terras desertas facientes. accidit autem hoc propter regis postea avaritiam. cum enim exercitus pugnax Iberiam obtineret et stipendiarias haberet quasdam adiacentium regionum publicarum, sumsit hos rex et erepta tanta vi non solum suos perdidit

γασάμενος προσθήκην διὰ τούτων ἀκαταμάχητον προεξένησε τοῖς ἐναντίοις. ἐν μιᾷ γὰρ πλήθους κατὰ βασιλικὴν γνώμην στρατιωτικοῦ συναθροισθέντος ἐπὶ τῶν κατ' Ἰβηρίαν ὁρίων, συνταγματάρχην ἐπίσημον ἔχοντος ὃς Λιπαρίτης ἐπωνομάζετο, συμβολὴ μεταξὺ τούτων καὶ τῶν Οὔννων καρτερὰ γίνεται, καὶ μέχρι πολλοῦ τῆς μάχης καθισταμένης ἰσοπαλοῦς τέλος οἱ ἀντιτεταγμένοι τὸ κράτος ἠνέγκαντο, καὶ τοὺς Ῥωμαίους νικήσαντες ζῶντα τὸν Λιπαρίτην κατέσχον καὶ πρὸς τὸν ἐθνάρχην αὐτῶν ὡς θήραμά τι τῶν μεγίστων ἀπήγαγον. καλεῖται δ' οὗτος σουλτάνος τῇ Περσικῇ διαλέκτῳ. ἀλλ' ὅγε τοῦτον ἰδών, καὶ τὸ γένος τούτου μεμαθηκὼς (προκατέλαβε γὰρ αὐτὸν ἡ φήμη τῆς τοῦ ἀνδρὸς γενναιότητος), ἤρετο τοῦτον ὅπως δὴ χρηστέον αὐτῷ. ὁ δὲ βασιλικῶς ἔφη. καὶ αὐτίκα τῆς δυστήνου τύχης τοῦτον ὁ σουλτάνος ἐλευθεροῖ, καὶ πάντων ὧν κατὰ τὸν πόλεμον ἀποβεβλήκει πολλαπλασίονα τὴν ἀντέκτισιν δούς, τὴν πρὸς Ῥωμαίους οὕτω συνεχώρει ἔξοδον, θαυμάσας τὴν τοῦ ἀνδρὸς εὐψυχίαν καὶ τὸ τοῦ φρονήματος εὐσταθές, καὶ θελήσας μὴ δεύτερος αὐτοῦ γενέσθαι περὶ τὸ τῆς πράξεως εὐγενὲς καὶ ἀφιλοχρήματον. τοῦτον τοίνυν ὁ τῶν Ῥωμαίων δεξάμενος βασιλεὺς τιμαῖς τε δημοσίαις αὐτὸν κατελάμπρυνε, καὶ δώροις καὶ λόγοις πανταχόθεν ἔχουσι τὸ λαμπρὸν κατεκόσμησεν, ὡς ὑπὲρ τῆς Ῥωμαϊκῆς βασιλείας τὴν ψυχὴν ἀδιστάκτως προέμενον.

socios sed etiam hostes ipsos validos faciens accessionem per hos invictam praebuit hostibus. per unum enim diem multitudine ex regia sententia militari coacta in Iberiae finibus, centurionem illustrem habente, qui Liparites cognominabatur, congressus inter hos et Hunnos fortis fit, et postquam diu pugna extitit par, postremo oppositi victoriam reportarunt, et Graecis devictis vivum Liparitem tenuerunt et ad populi principem (ethnarchum) suum ut venationis praedam aliquam ex maximis abduxerunt. vocatur autem hic sultanus Persica dialecto, sed ille hunc videns et gentem eius cognoscens (praeobtinebat enim eum fama nobilitatis viri) quaerebat ex hoc, quomodo tandem uteretur eo, ille autem, regie, inquit; et statim misera fortuna hunc sultanus liberat et pro omnibus quae in bello perdiderat multiplicem restitutionem donans ad Graecos ita simul concessit abitum admiratus viri magnanimitatem et animi firmitatem et volens non inferior eo esse in facti nobilitate et integritate. hunc igitur Graecorum excipiens rex honoribus publicis eum honoravit et donis et verbis ubique illustrem rationem habentibus ornavit ut pro Graeco imperio vitam certo devoventem.

Ἐξ ἐκείνου τοίνυν ἀρχὴν ὁ τοῦ σουλτάνου μετὰ τοῦ Ῥωμαίων βασιλέως παρέλαβε σύλλογος, καὶ παρ' ἑκατέρων πρέσβεις πρὸς ἀλλήλους ἐπέμποντο καὶ δεξιώσεις ὡσαύτως τὴν φιλίαν ἀνανεούμεναι. τὸ δὲ ληστρικὸν τῶν Οὔννων οὐκ ἔληγε τῆς ἐπιδρομῆς· καὶ ἡ σκῆψις τοῦ σουλτάνου ὅτι τινὲς τῶν ἐπὶ τῆς ληστείας οὐδ' αὐτῷ γινωσκόμενοι τὴν ἔφοδον δίκην ἀγρίων λύκων πεποίηνται.

Πρὸ δὲ τῆς τοῦ βασιλέως τελευτῆς αὐτὸς ὁ σουλτᾶνος μετὰ τῆς παρασκευῆς ἁπάσης τῆς πολεμικῆς ἐξιών, ἔγνω τὴν πόλιν τὴν Μανζικίερτ πολέμῳ καθελεῖν τε καὶ παραστήσασθαι. καὶ προσβολὰς ἐνεργεῖς κατὰ τῶν τειχῶν ποιησάμενος, οὐδὲν ὧν ἤλπισεν ἔδρασεν· ὁ γὰρ τῶν Ῥωμαίων ἡγεμὼν Βασίλειος, οὗτος ὁ ἐπικεκλημένος Ἀποκάπης, ἐρρωμένως ἀντιταξάμενος τὰς μηχανὰς ἀπεκρούσατο. μιᾷ δέ τινι τούτων, πολλοῖς ἀνδράσι δυναμένῃ λίθον μεταρριπίζειν ὑπερμεγέθη καὶ πᾶσι τοῖς δεχομένοις αὐτὸν ἀπροσμάχητον, δυσχερῶς ἔσχεν ἀντιστῆναι καί τι δραστικώτερον πάλιν ἀντιτεχνάσασθαι· οὔτε γὰρ ἀσπὶς οὔτε πέλτη οὔτ' ἔπαλξις οὔτε στερρότης τειχῶν τῇ ῥύμῃ τοῦ πεμπομένου λίθου παρὰ τὰ μηχανήματα ἀντιταχθῆναι ἠδύνατο. ἀλλ' ὁ πάντα δυνάμενος καὶ μετασκευάζων πρὸς τὸ συμφέρον θεός, ὁ τὸ Χριστιανικὸν φῦλον περιέπων ἀεί, τινὶ τῶν Λατίνων ἰσχὺν καὶ βουλὴν ὑπερτέραν ἐννοίας ἐνέπνευσε· καὶ λαβὼν οὗτος ἄγγος τι φέρον ἔνδον τοῦ Μηδικοῦ πυρὸς συσκευήν, τῆς τοῦ

Ex eo igitur tempore initium sultani cum Graecorum rege cepit colloquium, et ab utrisque legati invicem mittebantur et salutationes perinde amicitiam significantes. rapax autem natura Hunnorum non destitit incursu et excusatio sultani dicentis, quosdam eorum, qui raptum ierant, ne ipsi quidem notos, impetum ferorum instar luporum fecisse.

Ante regis autem obitum ipse sultanus cum apparatu omni bellico egressus statuit urbem Manzicert bello occupare et subiicere et impetus strenuos contra moenia cum fecisset, nihil eorum quae speravit, gessit; Graecorum enim dux Basilius hic cognominatus Apokapes fortiter se opponens machinas repulit, uni autem harum quae multis hominibus posset lapidem incitare ingentem et omnibus qui eum exciperent non repellendum, difficile erat resistere, et aliquid efficacius opponere; neque enim scutum neque parma neque praesidium neque firmitas murorum gravitati missi lapidis ex machinis opponi poterat. sed omnia volens et parans ad utilitatem deus, qui Christianam gentem tuetur semper, cuidam Latinorum robur et consilium maius

ἄστεως πύλης δρομαῖος ἐξήλασε, καὶ καθιεὶς ἑαυτὸν εἰς μέσους τοὺς ἐναντίους, πῦρ τε τῷ στόματι τοῦ ἄγγους ἐναπε- f. 176 r. ρείσας, τοῦτο συντρίβει πρὸς τὸ μηχάνημα. καὶ αὐτίκα πῦρ ἀναφθὲν ἅπαν ἐξέληξε καὶ κατενεμήσατο· συνήρτηντο γὰρ αὐτῷ καί τινα πέπλα, τὰς ἀπὸ τῶν τειχῶν ἀποτειχίζοντα προσβολάς. καὶ παλίνορσος ὁ Λατῖνος πρὸς τὸ ἄστυ γενόμενος ἀθιγὴς ἐρρύσθη τῆς τῶν ἐναντίων χειρὸς καὶ καταδιώξεως. ἐκ τούτου δυσχεράνας ὁ πολεμήτωρ, καὶ πολλὴν εὐήθειαν τῶν κατ' αὐτὸν κατεγνωκὼς ὅτι τῶν Ῥωμαίων ἀνανδρίαν καταψηφίζονται τοσούτων ὄντων τὴν ἀρετήν, εὐθὺς ἄρας ἐκεῖθεν ἐπὶ τὴν ἰδίαν μετεστρατοπεδεύσατο γῆν.

Ἐν τούτῳ τῷ ἔτει ὁ Ῥωμαίων κατέστρεψε βασιλεὺς Κωνσταντῖνος οὗτος ὁ Μονομάχος, ἐν ἰδιοκτήτοις οἴκοις καὶ μὴ τοῖς ἀνακτόροις διαζευχθεὶς τῆς ψυχῆς, καὶ τῷ παρ' αὐτοῦ ἀνεγερθέντι ναῷ τὸν νεκρὸν καταθέμενος, ἀνὴρ πολιτικὸς καὶ γένους ἐπισήμου γενόμενος, δωρηματικός τε καὶ βασιλικῶς εὐεργετεῖν ἐπιστάμενος, φροντίζων μὲν καὶ τῶν ἐν πολέμοις προτερημάτων καὶ τοῖς ἐναντίοις ὡς ἐνὸν ἀντικαθιστάμενος, πλείονι δὲ ῥοπῇ τῆς τρυφῆς ἀντεχόμενος, καὶ τῶν ἀφροδισίων μὴ ἀπεχόμενος. ἔμελε δ' αὐτῷ καὶ ἀστεϊσμῶν καὶ τῶν ἐν μίμοις γελοιασμῶν καὶ τῆς ἐπικαίρου ῥαστώνης, καὶ οἷς ἡ ζωτικὴ ψυχὴ συνέζευκταί τε καὶ συνερρίζωται. οὐ

6. παλίχορσος C. 15. ἀναγερπέντι C. correxit interpres.

prudentiae inflavit et capiens hic vas aliquod quod intus ferret Medici ignis apparatum, ex urbis porta cursim egressus est et se immittens in medios hostes et ignem ori vasis iniiciens, hunc fricat in machinam et statim ignis accensus omnis desiit et distributus est; alligata enim ei erant etiam nonnulla tegula, a muris arcentia impetus, et reversus Latinus ad urbem intactus ereptus est hostium manibus et persecutioni. hanc rem moleste ferens bellator et multam simplicitatem suorum cognoscens, quod Graecorum ignaviam censerent cum tot essent virtutem, statim profectus inde ad suam castra transposuit terram.

Hoc anno Graecorum obiit rex Constantinus hic Monomachus, in propriis domibus neque vero in regia divisus ab anima et in templo a se restituto cadaver deponens, vir civilium peritus et ex genere nobili, ad donandum promtus et regie beneficia conferre sciens, curans etiam in bellis victorias et hostibus quam posset se opponens, maiore autem inclinatione mollitiei deditus, neque rebus venereis abstinens. curae autem ei erant etiam ioci et ridicula mimorum et tempestiva remissio et quibus virtuti anima coniuncta est et quasi insita; sed etiam nova aedificia in variis locis fecit, et restitutiones continuas ponens in his curas, novavit multas: quod autem omnia

μὴν ἀλλὰ καὶ καινῶν οἰκημάτων ἐν διαφόροις τόποις ἐπεποίητο, καὶ ἀνοικοδομὰς συνεχεῖς ἔχων ἐν ταύταις φροντίδας κατεκένου συχνάς: τὸ δὲ τῶν ὅλων ἁπάντων ὑπερέχον καὶ προτιμώμενον αὐτῷ τὸ φροντιστήριον ἦν, εἰς ὃ καὶ τὸ περικαλλὲς ἱερὸν ἀνηγέρθη ἐπ' ὀνόματι τοῦ ἐν μάρτυσι περιωνύμου ἁγίου Γεωργίου, οἰκοδομαῖς ἑτέραις βασιλικαῖς ἐκλελαμπρυσμένον, καὶ πολλὴν ἔχον τὴν τερπωλὴν τοῖς περιέχουσι ταῦτα λειμῶσι καὶ ταῖς ἐαριναῖς πόαις, ὡς ἀνταμιλλᾶσθαι τὰς οἰκοδομὰς τοῖς ὑπαίθροις καὶ διὰ τῶν ἀμφοτέρων ἁρμονίαν ἡδονῆς τοῖς θεαταῖς περιγίνεσθαι. συνῆψε δὲ τούτοις καὶ νοσοκομεῖον ἐπιμελείας ἀνάμεστον. φύσει δὲ μεγαλουργὸς ὢν καὶ βασιλικῶν χαρίτων ἀνάπλεως, καὶ ζώων ἀσυνήθεις ἰδέας τοῖς ὑπηκόοις ἐξ ἀλλοδαπῆς παρεστήσατο γῆς, μεθ' ὧν καὶ τὸν μέγιστον ἐν τετραπόδοις ἐλέφαντα, ὃς θαῦμα τοῖς Βυζαντίοις καὶ τοῖς ἄλλοις Ῥωμαίοις, ὧν εἰς ὄψιν ἐλήλυθε διερχόμενος, ἐχρημάτισεν. ἔστι γὰρ μεγέθει μὲν μέγιστος, τοὺς πόδας ἔχων ἐμφερεῖς Ἀτλαντικοῖς κίοσιν, ὦτα μηδὲν ἀσπίδος πελταστικῆς ἀποδέοντα, κίνησιν ἄστατον διὰ παντὸς προβαλλόμενα, οὐκ ἀναιτίως μέντοι ἀλλὰ φόβῳ τοῦ κώνωπος. πάντων γὰρ τῶν μεγίστων θηρίων κρατῶν ἐν ἰσχύι καὶ ἀλκιμότητι, παρὰ μόνου τοῦ κώνωπος ἡττᾶσθαι ὁμολογεῖ. καὶ ὡς θώρακα τὴν τῶν ὤτων κίνησιν ἀντεπάγει αὐτῷ, τὴν προσβολὴν τούτου μακρόθεν ἀποσοβῶν· εἰ γὰρ λαθὼν κώνωψ ἐντὸς

1. an ἐπεποίητο ἀνοικοδομάς, καὶ σ.? 3. an κατεκαίνου cum Bruneto?

superaret et magis ab eo coleretur, erat monasterium, in quod etiam perpulchrum templum restitutum est cognomine celeberrimi martyrum sancti Georgii, aedificiis aliis regiis illustre, et multas habens delicias pratis haec cingentibus et vernis floribus ita ut certarent aedificia cum apertis locis et utrisque harmonia gaudii spectatoribus superesset. adiunxit autem his etiam nosocomium cura plenum; natura autem magnanimus et regiarum gratiarum plenus et animalium insueta genera subiectis ex peregrina transposuit terra, inter quae etiam maximum in quadrupedibus elephantum, qui miraculum Byzantiis et ceteris Graecis, quorum in conspectum venit transiens, emit. est enim magnitudine maximus, pedes habens similes Atlanticis columnis, aures nihil levi scuto inferiores, motu inconstanti perpetuo se proiicientes non sine causa quidem sed metu muscae: omnium enim maximorum animalium potens robore et vi a sola musca se vinci patitur, et ut thoracem aurium motum opponit ei, impetum huius ex longo dissipans; etenim si clam musca intus intraverit aurem eius, poenam ei maximam et mortem imponit. utitur autem nare quantum etiam manu. est enim lon-

εἰσέλθοι τῆς ἀκοῆς αὐτοῦ, τιμωρίαν αὐτῷ μεγίστην καὶ θάνατον ἐπιτίθησιν. κέχρηται δὲ τῇ ῥινὶ ὅσα καὶ χειρί· ἔστι γὰρ τὸ μῆκος αὐτῇ κατὰ σάλπιγγα, καὶ δι' αὐτῆς ἅπαν ἐνεργεῖ· τὸ διδόμενον καὶ τοῖς κατὰ νῶτα καθημένοις ἡνιοχοῦσιν αὐτὸν ἀναδίδωσι, καὶ τὴν τροφὴν παραπέμπει τῷ στόματι, καὶ ὅπλον κατ' ἐχθρῶν ἔχει καὶ ἀμυντήριον δύσμαχον. λώροις δὲ παντοίοις ἢ χαλινοῖς οὐχ ὑπείκει, ἀλλ' ἡ αἴσθησις αὐτῷ τοῦ ποιεῖν ὅσα τοῖς ἡνιοχοῦσι βεβούλευται, πέλεκύς ἐστι κατὰ κρανίου φερόμενος. χρόνοις δὲ πολλοῖς κυοφορούμενος (δέκα γὰρ ἐνιαυτοῖς f. 176 v. τῇ μητρῴᾳ νηδύϊ καλύπτεται) τὴν τῶν ὀστῶν ἁρμονίαν σκληρὰν καὶ ἄτεγκτον πρὸς σύμπτυξιν ἀποδείκνυσι. διὰ τοῦτο καὶ εἰς γῆν κατακλιθῆναι ἀδυνατεῖ, μὴ οἷός τε ὢν τὰ ἄρθρα τῶν ποδῶν ταῖς ἁρμονίαις συνάξαι καὶ περιαγαγεῖν. ἀντὶ δὲ κατακλίσεως τὴν εἰς δένδρον ἢ χειροποίητον ξύλον ἢ τοῖχον κατὰ μίαν πλευρὰν ποιεῖται ἐπίκλισιν, ὄρθιος τούτοις ἐπερειδόμενος μόνον.

Ἐπὶ τούτῳ τῷ ζῴῳ καὶ τὴν λεγομένην καμηλοπάρδαλιν ἐξ Αἰγύπτου πεμφθεῖσαν αὐτῷ τοῖς πολίταις ὁ βασιλεὺς καθυπέδειξεν· ἔστι δὲ καὶ αὕτη κατὰ τὸ ὄνομα σύνθετος, φολίδας μὲν παρδάλεως ἔχουσα, καμήλου δὲ μέγεθος σὺν τῇ κεφαλῇ καὶ τῷ ἀποτεταμένῳ καὶ λεπτῷ τοῦ τραχήλου, πλὴν ὅσον ὅτι ὁ τράχηλος αὐτῇ ὄρθιος ὢν οὐχ ὡς τῆς καμήλου πεποίηται καμπυλώτατος. ἀλλ' οὔτε περὶ τὸ

gitudo ei buccinae instar, et ea omne tractat; datum et in tergo sedentibus, qui eum regunt, porrigit, et cibum admittit ori, et telum contra hostes habet et praesidium invictum. loris autem omnibus aut frenis non cedit, sed sensus ei faciendi quae regentibus placuerunt, securis est contra verticem acta. annos autem multos in ventre latus (per decem enim annos matris utero velatur), ossium coniunctionem duram et firmam quod ad componendum attinet, ostendit. propterea etiam in terram succumbere non potest, cum non valeat articulos pedum iuncturis componere et circumducere. pro succumbendo inclinationem ad arborem aut manu factum lignum aut parietem uno latere facit, erectus in his se fulciens solum.

Praeter hoc animal etiam sic dictam camelopardalim ex Aegypto missam sibi civibus rex ostendit; est autem etiam haec secundum nomen composita, maculas pardalis habens, cameli autem magnitudinem et collum et abscissam et tenuem naturam colli nisi quod collum ei erectum non ut cameli factum est nimis curvatum sed ne in medio quidem dorso curvitate excedit, simili autem modo directionem inde a dorso usque ad caudam tenet, non autem aeque altitudine, nam dor-

μέσον τῆς ῥάχεως κύρτωμά τι ἀνίστησιν, ἴσην δὲ τὴν ἀπὸ τῶν νώτων ἄχρι τοῦ οὐραίου εὐθεῖαν ἐνίστησιν, οὐκ ἐν ἴσῳ δὲ τῷ ὑψώματι· τὰ μὲν γὰρ πρὸς νῶτον τοῦδε εἰς ὕψος ἐπαίρεται, τὰ δὲ πρὸς ὀσφὺν ταπεινοτέραν ἔχει καὶ χθαμαλωτέραν τὴν σύνθεσιν, ὡς ἐοικέναι ταύτην ἀνωφερεῖ τινὶ σκοπιᾷ, ἐκ χθαμαλοῦ ἀρχομένῃ. τὸ δὲ βάδισμα διάφορον τοῖς ἄλλοις ζώοις καὶ ξένον ἔχει παντάπασιν· οὐ γὰρ ὥσπερ ἐκεῖνα τοὺς ὀπισθίους πόδας ἐγείρει πρότερον, εἶτα τοὺς ἐμπροσθίους, ἀλλ' ἐναλλὰξ τοὺς τῆς μιᾶς πλευρᾶς δύο πόδας αἴρει τε καὶ κινεῖ, καὶ αὖθις ὁμοῦ τοὺς τῆς ἑτέρας πλευρᾶς δύο πόδας ἐν ἰσοταλάντῳ καὶ κινήσει καὶ ἄρσει.

Τοιοῦτος δὲ κατὰ τοὺς προτέρους χρόνους τυγχάνων ὁ Μονομάχος ἐπὶ πολυειδέσιν ἁβρότησί τε καὶ θρύψεσι πρὸ δύο τῆς τοῦ βίου καταστροφῆς ἐνιαυτῶν μεταβολὴν τῶν ἔργων ἀνυπονόητον ἀπεδείξατο. προστεθεὶς γὰρ τοῖς δεινοτέροις τῶν φορολόγων ἀνδρῶν, οὓς σεκρετικοὺς ὁ πολιτικὸς λόγος οἶδε καλεῖν, ἄρδην ἁπάντων ζημίας ἀπροόπτους καὶ λοιπάδας μεμηχανημένας κατεσοφίσατο, καὶ τοὺς βίους τῶν ὁπωσοῦν εὐπορούντων ἐκμυελίζων ἦν, δίκας ἀδίκους ἐπάγων καὶ καινοφανῆ ζητήματα καὶ προβλήματα. καὶ ὁ στεναγμὸς ὅσος τῶν οὕτω ζημιουμένων καὶ καθελκομένων εἰς τὴν ἀπόδοσιν αἵτε φρουραὶ πλήθουσαι τῶν ἐναγομένων, καὶ καθημερινὸς ὀδυρμός. τῶν δὲ πειραθέντων τοῦ ἄλγους οἱ μήπω

1. ἴση C. 6. ἐκ θάμαλ' C. correxit interpres.

sum huius ad altitudinem extollitur, femora autem magis tenuem habent et humiliorem compositionem, ita ut similis esset haec celso cuidam speculatorio ex humili loco incipienti. gressus autem diversus a ceteris animalibus et prorsus alienus est; neque enim ut illa posteriores pedes attollit prius, deinde anteriores, sed vicissim alterius lateris duos pedes tollit et movet, et rursus simul alterius lateris duos pedes pari et motu et erectione.

Talis autem prioribus annis cum esset Monomachus, in varia magnificentia et mollitie duobus annis ante vitae finem mutationem factorum inexspectatam ostendit. coniunctus enim terribilioribus exactorum vectigalium, quos secretos popularis sermo solet nominare, omnino contra omnes poenas insperatas et debita inventa excogitavit, et vitam eorum, qui quovis modo divites essent, debilitabat, cum ius iniustum inferret et inauditas inquisitiones et praetexta, et querelae quam maximae eorum, qui ita erant puniti et coacti ad reddendum, et custodiae plenae adductis et quotidianus planctus. iis autem, qui dolore tentati erant, qui nondum erant, miserabiliores, cum omnibus fisci ex-

πειραθέντες ἐλεεινότεροι, πᾶσι τοῖς φισκοσυνηγόροις ὑποκατακλινόμενοι καὶ ψοφοδεεῖς ὄντες, καὶ τὸ ξίφος ἠρτημένον μονονουχὶ κατὰ τῆς ἑαυτῶν κεφαλῆς ὑποπτεύοντες. ἐνέσκηψε δὲ τὸ δεινὸν καὶ ἄχρι τῶν ἀφωρισμένων τοῖς θείοις σηκοῖς καὶ φροντιστηρίοις σιτηρεσίων, πανταχοῦ τῶν ἐπαρχιῶν διαταγμάτων πεμφθέντων ἀνερευνᾶσθαι περὶ τούτων καὶ ἀνακρίνεσθαι τοὺς θεραπευτὰς τῶν ἱερῶν, καὶ τῶν μὴ εὐλόγως τάχα διδομένων τὴν δόσιν ἐκκόπτεσθαι. ἐπεὶ δὲ πρὸ τῆς τοιαύτης ἐρεύνης ἔφθη τῷ χρεὼν ὁ βασιλεὺς λειτουργήσας, ἐκράτησε λόγος ἐν ἅπασιν ὅτι οὐρανία πληγὴ τοῦτον ἐκ μέσου πεποίηκε, πειρώμενον ἀλλοιῶσαι τὰ καλῶς δεδογμένα πρὸς τὴν εὐσεβῆ διανέμησιν.

Ἐν δὲ τῷ τελευτᾶν ἠβουλήθη χειροτονῆσαι βασιλέα δι' ἑαυτοῦ καὶ τούτῳ τὴν Ῥωμαίων ἐγχειρίσαι ἀρχήν, καὶ διὰ γραμμάτων τινὰ πρωτεύοντα κεκλημένον πολλῇ σπουδῇ μετεπέμψατο· προέφθασε δὲ ἡ αὐτοῦ τελευτὴ τὴν ἐκείνου σπουδήν. ἔζησε δ' ὁ Μονομάχος ἐν τῇ βασιλείᾳ χρόνους δώδεκα καὶ μῆνας ἑπτά.

Καὶ αὐτίκα τῶν πραγμάτων ἐπελάβετο καὶ τῆς μοναρ- a. 1054. χίας αὐτῆς ἡ προμνημονευθεῖσα Θεοδώρα Αὐγούστα (προαπεβίω γὰρ ἡ ταύτης αὐταδέλφη), καὶ μηδενὶ τῶν ἀνδρῶν ἐθελήσασα συζευχθῆναι μήτ' ἄλλως συμβασιλεύειν, αὐτὴ f. 177 r. μόνη διὰ τῶν θαλαμηπόλων εὐνούχων τῶν ὅλων ἀντεποιήσατο

6. ἀνακρίνασθαι C.

actoribus subiecti et trepidi essent et gladium suspensum paene supra sua capita suspicarentur. iniecit autem periculum usque ad ea, quae destinata erant divinis templis et horreis commeatuum, cum ubique provinciarum iussa mitterentur, ut in haec inquireretur, et interrogarent antistites templorum et iis qui non volentes statim darent, donum eriperent. cum autem ante hanc inquisitionem repente fato rex occumberet, extitit sermo inter omnes, coelestem plagam hunc e medio sustulisse, cum conaretur mutare quae ad piam administrationem pulchre essent statuta.

Sub finem vitae voluit creare regem per se ipse et huic Graecorum tradere imperium, et literis virum quendam principem evocatum multo cum studio arcessivit; antevenit autem ipsius finis illius studium. vixit autem Monomachus in imperio annos duodecim et menses septem.

Atque statim rerum potita est et imperio ipsa antea commemorata Theodora Augusta (antea enim obierat huius soror), et nulli viro volens nubere neque aliter cum quoquam regnare ipsa sola per cubiculares eunuchos summis potita est paullum, deinde deferens nobilium

πρὸς μικρόν. εἶτ' ἀνενεγκοῦσα τῶν ἐλλογίμων ἀνδρί τινι ἱερωμένῳ τε καὶ συνέσεως γέμοντι καὶ πολυπειρίας οὐκ ἀποδέοντι (Λέων προσηγορία τῷ ἀνδρὶ) τὴν διοίκησιν τῶν πραγμάτων ἐπέτρεψεν. ἐπιεικῶς οὖν οὗτος ἐν ἅπασιν ἐνεργῶν καὶ κατὰ λόγον τοῖς παρεμπίπτουσι χρώμενος, καὶ τὸν νόμον ποιούμενος βούλημα, πᾶσαν εὐταξίαν καὶ εὐνομίαν πεποίηκε πολιτεύεσθαι. καὶ ἀστασίαστον ἦν οὐ μόνον τὸ Ῥωμαίοις ὑπήκοον ἀλλὰ καὶ αὐτὸ τὸ ἀλλόφυλον, τοῦ θεοῦ πάντως εὐαρεστουμένου τῇ ἀγαθοεργίᾳ τῶν πράξεων καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν ἐξομαλίζοντος.

Τῆς δὲ τοιαύτης βασιλίσσης πρὸς τὴν ἐκεῖθεν βασιλείαν μελλούσης μεταναστῆναι (ἐμονάρχησε γὰρ χρόνον ἕνα καὶ μῆνας ὀκτὼ) περὶ βασιλέως φροντὶς κατεῖχε τοὺς ἐν τοῖς βασιλείοις τὰ πρῶτα φέροντας. καὶ ὡς τὸ ἀποτέλεσμα παρεστήσατο, οὐχὶ τὸν γενναίως ἀνθεξόμενον τῆς ἀρχῆς ἀναγορεῦσαι προείλοντο, ἀλλ' ὃς ἂν μᾶλλον ὕπτιος ἔσοιτο καὶ αὐτοῖς ὑποκείμενος, καὶ τῇ ἀφελείᾳ καὶ ἀμελείᾳ τὴν διοίκησιν μᾶλλον αὐτοῖς ἀναθεῖναι μὴ ἰσχυρίσαιτο.

a. 1056 m. Aug. *Ἀναγορεύουσι τοίνυν πρεσβύτην τινὰ ὀνομαζόμενον μὲν Μιχαήλ, πολιτικοῖς δὲ συντεθραμμένον ἤθεσί τε καὶ πράγμασι, καὶ τὸ τοῦ στρατιωτικοῦ τηνικαῦτα διαφέροντα σε . . . . ., ἁπλοῦν μὲν καὶ ἀφελῆ κατὰ τὸ δόξαν αὐτοῖς, πλεῖον δὲ τῷ γήρει τρυχόμενον, καὶ διὰ τοῦτο κοινωνοῖς αὐτοῖς τῆς βασι-*

viro cuidam sacro et prudentiae pleno neque experientia destituto (Leon nomen erat viro) administrationem rerum tradidit. apte igitur hic in omnibus agens et cum ratione casibus usus et legem reddens voluntatem, effecit, ut omnis ordinis et legum ratio in administranda civitate haberetur. et seditionis expertes erant non solum qui Graecis subiecti erant, sed etiam ipsae aliae gentes, cum deus omnino delectaretur virtute rerum, et obliqua in rectitudinem aequaret.

Cum autem haec talis regina ad superum illud regnum transgressura esset (regnaverat enim annum unum et menses octo), de rege creando cura occupavit eos, qui in regia primos honores habebant; et cum finis adesset, non eum qui nobiliter recepturus esset imperium creare volebant, sed eum, qui magis inferior futurus esset iisque subiectus, et simplicitate et negligentia administrationem magis eis tradere non recusaret.

Creant igitur senem quendam, nomine dictum Michael, civilibus instructum moribus et rebus et in re militari tum excellentem . . . ., integrum et simplicem ut illis quidem videbatur, magis autem senectute confectum, et propterea sociis iis imperii et concertatoribus

λείας καὶ συνασπισταῖς ἐξ ἅπαντος χρώμενον, καὶ τοῖς ἐκείνων βουλεύμασι καὶ θελήμασι καταχρώμενον. τῆς οὖν ἐξουσίας εἰς πολλοὺς καὶ ποικίλους διαιρεθείσης, καὶ τῶν παραδυναστευόντων ἑκάστου βασιλεῖ γαυρουμένου, πολὺς γογγυσμὸς τούς τε ἀριστοκρατικοὺς καὶ τοὺς δημοτικοὺς διὰ τὴν δημοκρατίαν κατεῖχε καὶ σύγχυσις. ἐκείνων γὰρ ἦν τὸ εὐπραγεῖν τῶν τῆς μερίδος τυγχανόντων αὐτῶν καὶ τῶν ὁπωσοῦν προσηκόντων τῷ βασιλεῖ, κἄν τε σπουδαῖον τῇ πολιτείᾳ εἰσήνεγκαν, κἄν τε δεινὸν ἢ καὶ ἄπρακτον· τῶν δ' ἄλλων λόγος οὐδείς, ὅτι μὴ καὶ μᾶλλον ἀλαζονείας ἀλόγου καὶ κενοῦ φυσήματος ἐγίνοντο πάρεργον. ἐξ οὗ καί τις τῶν εὖ γεγονότων καὶ περὶ τὴν ἑῴαν ὀνομαστῶν καὶ γενναίων, Ἰσαάκιος ὄνομα (Κομνηνὸς αὐτῷ τὸ ἐπώνυμον), ὑβρισθεὶς παροράσει καὶ προπηλακισθεὶς ὠθισμοῖς μεστὸς ἀνίας ἐφάνη, καὶ τὴν συμφορὰν κοινοποιεῖταί τισι τῶν στρατιωτῶν. προεξοιδούμενοι δὲ καὶ οὗτοι τῇ τῶν γινομένων ἀνωμαλίᾳ, καὶ λύπῃ συγκατεχόμενοι, παρορμῶσιν εἰς τὴν ἀποστασίαν αὐτόν. καὶ κατὰ μικρὸν συμβούλους ἱκανοὺς προσλαμβάνοντες, καὶ τὴν τοιαύτην μελέτην πρὸς καιρὸν ὠδινήσαντες, μετὰ τὸ τῆς βασιλίδος ἀπᾶραι, μικρὸν ὅσον διαλιπόντες ἐκρήσσουσι τὴν ὠδῖνα καὶ τοῦ κρατοῦντος μυκτῆρα καταχεάμενοι ἐπαίρουσιν εἰς ὕψος καὶ προῦπτον τὸ μελετώμενον. πρὸ δὲ τούτων τῶν ἀρχισυμβούλων εἷς, Βρυέννυος τοὔνομα, Ἀδριανουπολίτης,

1. ἐξάπαντα C. 4. an βασιλικῶς?

omnino utentem, et illorum voluntatem et placita adhibentem. cum igitur potestas inter multos et varios divisa esset et eorum, qui imperii participes erant, unus quisque regio more superbiret, multa indignatio et optimates et populares propter populi imperium obtinebat et confusio. illorum enim erat successus, qui a parte eorum starent et quovis modo regi affines essent, sive strenuum civitati inferrent, sive periculosum sive etiam vanum; ceterorum autem ratio nulla habebatur, nisi quod etiam magis iactantiae inanis et vanae arrogantiae additamentum fierent; ex quo etiam aliquis alto loco ortorum et in oriente illustrium et nobilium (Isaakius eius nomen, Comnenus ei erat cognomen) superbe tractatus negligentia et contemtus conviciis, plenus aegritudinis apparuit et casum communicat cum quibusdam militum; antea iam excitati etiam hi factorum iniquitate et tristitia impleti adhortantur ad defectionem eum: et brevi consciorum satis nacti et talem meditationem iusto tempore parientes post reginae iter, parvo interiecto tempore prorumpunt partum: et imperantis superbiam effundentes tollunt in altitudinem et claritatem excogitatum. ante hos autem primos conscios unus Bryennius dictus Adrianopolitanus dux

στρατηγὸς τῶν Καππαδοκῶν καθιστάμενος, καταδυναστεύσας ἢ μᾶλλον εἰπεῖν ἀπατήσας τὸν ἐκ βασιλέως ἀποσταλέντα πρὸς διανέμησιν τῶν στρατιωτικῶν ὀψωνίων, ἐχειρώσατο τοῦτον καὶ δεσμοῖς καθυπέβαλε. διαναστάντων δὲ εἰς ἐκδίκησιν ἑτέρων στρατιωτῶν τῶν τε δεσμῶν ἀνείθη οὗτος, καὶ τὸν δεδεσμηκότα κατεργασάμενος τῶν ὀφθαλμῶν ἀπεστέρησε. φόβος οὖν κατασχὼν τοὺς τῆς αὐτῆς τῷ πηρωθέντι κεκοινωκότας μελέτης ἠνάγκασεν ἁρπάσαι τὰ ὅπλα καὶ προκινδυνεῦσαι ταχέως, καὶ μὴ σποράδας ληφθῆναι καὶ παθεῖν τὰ ἀνήκεστα. γενομένης τοίνυν τῆς συγκινήσεως περὶ τὰς ἐαρινὰς τροπὰς
f. 177 v. προσέθεντο τούτοις πολλοί, καὶ καθημερινὴν λαμβανούσης τῆς ἀποστασίας ἐπαύξησιν εἰς μέγα πλῆθος ἡ συνάθροισις γέγονε. καὶ ἀναγορεύουσι στρατηγὸν αὐτοκράτορα τὸν ἀρχισύμβουλον Ἰσαάκιον τὸν Κομνηνόν. μετατίθενται δὲ πρὸς τὸν ἐν τῇ Βύζαντος βασιλέα συχνοὶ τῶν ἐκ τῆς ἑῴας στρατιωτῶν. καὶ ὃ μέν, ὁ Κομνηνός, τοὺς ἐκ ταύτης εἶχε μόνους συντιθεμένους αὐτῷ, ὃ δὲ καὶ τοὺς προσρυέντας ἐκεῖθεν καὶ πᾶσαν τὴν ἑσπερίαν δύναμιν. εὐτρεπίσας δὲ διὰ πάντων στρατιὰν ἱκανήν, ἐκ τῆς Εὐρώπης εἰς Ἀσίαν τοὺς στρατιώτας διαπεραιωθῆναι πεποίηκε. καὶ μέχρι τῆς Νικομηδείας γενόμενοι, καὶ τὰς σκηνὰς ἐκεῖσε πηξάμενοι, τὴν τῶν ἐναντίων ὑπέμενον ἔφοδον· ὡς δ' ἔμελλεν αὕτη, ἐκ προστάγματος βασιλικοῦ τοῖς τῆς Νικαίας ὁρίοις προσεμπελάζουσι. προκαταλαβὼν δὲ ὁ

7. τῶν πηρωθέντων C. 22. ἐκ om C.

Cappadocum factus vincens sive potius fallens eum, qui a rege missus erat ad administrationem militarium stipendiorum, cepit hunc et in vincula iecit. cum autem surrexissent ad ultionem ceteri milites, vinculis liberatus est hic et eum, qui se vinxerat, captum oculis privavit. metus igitur occupans eos, qui eiusdem cum expunctis oculos participes fuerant meditationis, coëgit rapere arma et antea pugnam experiri celeriter, et cavere, ne dispersi caperentur et intolerabilia paterentur. facta igitur conspiratione circa veris tempus solstitiale, coniuncti sunt cum his multi, et cum quotidie acciperet defectio accessionem, ad magnam multitudinem congregatio crevit: et creant ducem et dominum principem Isaakium Comnenum; transgrediuntur autem ad regem Byzantii versantem multi orientalium militum; atque Comnenus quidem ex hac terra solos coniunctos sibi habebat, hic autem etiam qui illinc adfluxerant et omnem occidentalem vim. comparans autem omnino exercitum aptum ex Europa in Asiam milites traduxit: atque cum usque ad Nicomediam venissent et castra ibi fixissent, hostium exspectabant impetum: qui cum instaret iussu regis,

Ἰσαάκιος τὴν Νίκαιαν πόλιν ἐφ' ἑαυτὸν ἐπεισάγει, καὶ τῆς ἑαυτοῦ μερίδος ἀποδείξας τὸν ὄχλον κατὰ νώτου ταύτην ἀφίησι, καὶ κατὰ τῶν ἐναντίων προσωτέρω χωρεῖ. συμβαλόντες δὲ μάχην οἱ ἀντιτεταγμένοι πρὸ δέκα σταδίων τῆς πόλεως, ἐν τόπῳ διττὴν ἔκπαλαι προσηγορίαν φέροντι τήν τε τοῦ Πολέμωνος καὶ τοῦ Ἅιδου, ἀγῶνα καρτερὸν συνεστήσαντο. καὶ τὸ μὲν δεξιὸν κέρας ἔκαμνε τοῖς ἀμφὶ τὸν Κομνηνόν, ἐπὶ δὲ τοῦ ἀριστεροῦ πυκνώσας τὴν φάλαγγα διὰ τῶν εὖ γεγονότων ἀνδρῶν ὁμόσε τοῖς ἐναντίοις χωρεῖ. καὶ παλιντρόπου γενομένης τῆς νίκης φεύγουσιν οἱ ἐκ τῆς Βυζαντίδος πεμφθέντες. καὶ τοῦ δεξιοῦ κέρατος αἰσθομένου τὴν ἧτταν τῶν ἐναντίων καὶ πάλιν ἀναθαρρήσαντος, παντελὴς φυγὴ τοῦ βασιλικοῦ στρατεύματος γίνεται. καὶ πίπτουσιν ἐξ ἑκατέρου μέρους συχνοί, τὸ δὲ πλεῖστον οἱ τὴν φυγὴν ἑλόμενοι κατεκόπησαν. τότε τοίνυν πατὴρ μὲν καὶ υἱός, τῆς φύσεως ὥσπερ ἐπιλαθόμενοι, πρὸς σφαγὴν ὀργᾶν ἀλλήλων οὐκ εὐλαβοῦντο, καὶ δεξιὰν παῖς πατρικῷ χραίνει φόνῳ, καὶ ἀδελφὸς ἀδελφῷ καιρίαν ἐλαύνει, καὶ συγγενείας ἢ συμφυΐας εἴτε τῶν ὁμοφύλων ἔλεος οὐδὲ διάκρισις ἦν, ἕως τοῦ θυμοῦ καὶ τῆς βακχικῆς μανίας ληξάντων τῆς συμφορᾶς ᾔσθοντο καὶ κωκυτὸν αἰθέριον ἤγειραν. ἀλλὰ καὶ ὣς νικητὴς ἀναδειχθεὶς οὗτος ὁ Κομνηνὸς τὴν ἐπινίκιον εὐφημίαν κατήνεγκε, καὶ σεβαστὸς παρὰ πάντων ἀναγορευόμενος καὶ περίβλεπτος πάντας ἐλπίσιν ἐπτέ-

3. ἐφίησι C: correxit interpres.

finibus Nicaeae appropinquant: praeoccupans autem Isaakius Nicaeam urbem ad se transducit et a sua parte stantem reddens populum, a tergo hanc relinquit et contra hostes longius progreditur: conserentes autem pugnam oppositi urbi decem stadiis in loco qui duplex antiquitus cognomen habebat Polemonis et Tartari, certamen vehemens instituerunt. atque dextrum quidem cornu laborabat Comneno, in sinistro autem densens phalangem per nobiles viros, una contra hostes proficiscitur: et conversa victoria fugiunt qui Byzantio missi erant: et cum dextrum cornu sentiret cladem hostium et rursus se recolligeret, omnino fuga regii exercitus oritur, et cadunt ex utraque parte multi: plurimum autem ii, qui fugam elegerant, trucidati sunt. tum igitur pater et filius, naturae quasi obliti, ad caedem fervere inter se non desistebant, et dextram filius patris contaminat sanguine: et frater fratri vulnus letale immittit: et affinitatis aut consanguinitatis sive ex eodem genere ortorum misericordia neque discrimen erat, donec, cum ira et bacchicus furor desinerent, casum sentirent, et gemitum usque ad coelum excitarent. sed sic quoque victor declaratus hic Comnenus victricem laudem reportavit, et augustus ab omnibus

ρου ὡς τῶν κατὰ σκοπὸν μὴ διαμαρτήσοντας. ἠρίστευσε δὲ πλέον τῶν ἄλλων καὶ κραταιὸς ἐν τούτῳ τῷ πολέμῳ ἐδείχθη καὶ περιβόητος Νικηφόρος μάγιστρος ὁ Βοτανειάτης, ἐκ γένους ἔχων ἐπιφανοῦς τὸ ἐν ταῖς στρατηγίαις καὶ τοῖς ἀνδραγαθήμασιν ἐκδηλότατον καὶ ἐπίδοξον.

Τῇ δ' ἐπιούσῃ τὰς δυνάμεις ἀνειληφὼς τῆς πρὸς τὴν βασιλίδα φερούσης ἥπτετο. καὶ πρὸ τοῦ τοῖς προποντίοις προσεγγίσαι τῆς πόλεως, βουλὴ παρά τινων τῶν ἐν τέλει κατὰ τοῦ βασιλεύοντος ἐν Κωνσταντινουπόλει ἠρτύετο. εἴτε δὲ καὶ ὁ τῆς ἀρχιερωσύνης ἔξαρχος καὶ πατριάρχης, ὁ Κηρουλάριος κεκοινώνηκε τούτοις τῆς σκέψεως, εἴτε καὶ μή, ἄδηλον καὶ προφανὲς οὐδέν. ὅμως δ' ἐκ προλήψεων καὶ τῶν μετὰ ταῦτα συνενεχθέντων τὰ τῆς ὑπονοίας εἰς ἀληθείας ἀμυδρὰν προκεχωρήκασι ἔμφασιν· καὶ γὰρ τῷ Κομνηνῷ τὰ πάντα συνδιαφέρων ἦν καὶ συμπράττων καὶ τῆς πρώτης βουλῆς γινωσκόμενος, ὡς καὶ τῆς φιλίας καὶ τῆς ἀξίας καὶ τῆς ἀγχιστείας ἐγγύτατος, ὁ βεστάρχης Κωνσταντῖνος ὁ Δούκας, ἀδελφιδῆς τοῦ πατριάρχου σύνευνος καθιστάμεος, καὶ πολ-
f. 178 r. λὴν εὔνοιαν διδοὺς καὶ λαμβάνων ἐκεῖθεν. εἶτα τῆς τυρευομένης βουλῆς ἐκραγείσης εἰσῆλθον ἅπαντες οἱ ταύτης ἐξάρχοντες, ὡς δὲ καὶ οἱ συμμετέχοντες, . . . καὶ μέγιστον τέμενος τῆς τοῦ θεοῦ μεγάλης σοφίας, σκηπτόμενοι τὸν βασιλέα τὰς συνθήκας σφῶν προδιδόναι, διομοσαμένων τὸν Κομνηνὸν

20. margo κατασκευαζομένης. 21. . . .] εἰς τὰ περιώνυμον?

vocatus et illustris omnes exspectationibus extollebat, quasi a fine non aberraturos. exsplendebat autem magis ceteris et fortis in hoc bello apparuit et clarus Nicephorus magister Botaniates e genere habens illustri splendorem et gloriam imperii et virtutis.

Postero autem die vires recipiens in via, quae ad regiam ferebat, ire coepit: et antequam finibus appropinquaret urbis, consilium a quibusdam magistratibus contra regem Constantinopoli iungebatur: utrum autem etiam pontifex maximus et patriarcha Kerularius cum his particeps fuerit consilii, necne, incertum nihilque clarum: tamen ex opinionibus et ex iis quae post haec acciderunt, suspicio ad veritatis quandam obscuram progressa est significationem: etenim cum Comneno omnia tolerabat et particeps etiam primi consilii cognoscebatur, ut etiam amicitiae et dignitati et affinitati proximus vestiarius Constantinus Ducas neptis patriarchae coniux factus, et multam benevolentiam reddens et accipiens inde: deinde cum institutum consilium dissolutum esset, ingressi sunt omnes eius auctores, ut etiam participes eius in . . . et maximum fanum magnae dei sapientiae, causam afferentes, quod rex pacta sua proderet, cum polliciti es-

μὴ προήσεσθαι, καὶ αὐτὸν σπονδὰς μετ' ἐκείνου συντίθεσθαι καὶ τῆς βασιλικῆς ἐξουσίας μεταδιδόναι. καὶ αὐτίκα εὐφημίαις τὸν Κομνηνὸν κατεγέραιρον, κατήγοροι ἐν ταὐτῷ καὶ συνήγοροι καὶ προασπισταὶ δεικνύμενοι τοῦ ἀνδρός· ὃν γὰρ ἐξομόσασθαι ἔλεγον καὶ οὗ τὴν φιλίαν μετὰ τοῦ βασιλέως καθάπαξ ἀπαγορεύειν, τούτῳ παρεμβεβλημένως βασιλικῆς ἀξίας περιετίθουν τιμήν. συνεκρότησε δὲ τούτοις καὶ ἡ πρὸς αὐτοὺς κάθοδος τῶν τοῦ πατριάρχου ἀνεψιῶν. ἐκεῖνοι γὰρ ὡς πευσόμενοι τὴν αἰτίαν τῆς στάσεως καταπάντες ἐξ ἀποστολῆς τοῦ ἀρχιερέως συλληφθεῖσι παρὰ τῶν στασιαζόντων ἐῴκεσαν, καὶ ἄρτι διαχειρισθῆναι, εἰ μὴ ὁ πατριάρχης κατελθὼν συμπνεύσει τούτοις πρὸς τὸ ζητούμενον. νυγεὶς οὖν τοῖς σπλάγχνοις τῆς φύσεως, ἐπεὶ καὶ πατράδελφος ἦν πατρὸς μικρὸν ἀποδέων, καί τι καὶ ἀναγκαῖον ὑπολογισάμενος, ἵνα μὴ διχονοοῦντος τοῦ πλήθους ἔτι τὰ τῆς ὀργῆς ἐκκαυθῇ καὶ πόλεμος ἐμφύλιος εἰς τὴν καταστέλλουσαν πόλιν τὰς στάσεις ἐγγένηται, πρόεισιν εἰς τὸ ἱερόν, καὶ τοῖς ἀδύτοις προσκαθίσας οὕτω κριτὴς τῶν λεγομένων καὶ διαιτητὴς ἐχρημάτισε, καὶ τὴν ῥοπὴν τοῖς καθαιρεθῆναι τὸν βασιλέα καὶ ἀντεισαχθῆναι τὸν Κομνηνὸν ἐθέλουσι δοὺς διὰ τὴν τῶν πλειόνων ἀρέσκειαν, ἵνα μὴ τὰ τῆς ἐνστάσεως εἰς ἐμφύλιον, ὡς εἴπομεν, ἐναποσκήψειε πόλεμον, οὕτω τὴν εὐφημίαν τοῦ Κομνηνοῦ μεῖζον ἐξῆρε, τοῖς ἱερεῦσιν αὐτοῦ ταύτην καθολικὴν ἐπι-

1. προσήσασθαι C. 7. περιετίθει C: correxit interpres.
8. τοῦ om C.

sent, Comnenum non concessisse et ipsum pacta cum illo pangere, et regiae potestatis participem facere: atque statim laudibus Comnenum honorabant, accusatores simul et defensores et propugnatores se reddentes viri: quem enim se abiurasse et cuius amicitiam cum rege omnino negare dicebant, huic mutato modo regiae dignitatis induebant honorem. convenit his etiam reditus affinium patriarchae. illi enim quasi cognituri causam turbae occurrentes missu summi pontificis captis a seditiosis comprehensi erant: et necati essent, nisi patriarcha degressus assensus esset iis de re quaesita. ictus igitur intestina naturae, cum et avunculus esset patre non multum inferior, et reputans aliquid necessarii, ne dissentiente multitudine iam ira augeretur, et bellum internum in urbe dissidias deprimente oriretur, progreditur ad templum in intimo eius loco assidens ita iudex sermonum et arbiter factus est, et principatum iis qui tolli regem et pro eo induci Comnenum vellent, tribuens propter plurium assensionem, ne dissidia in internum, ut diximus, incideret bellum, ita laudem Comneni magis efferebat sacerdotibus suis hanc generalem sententiam concedens:

τρέφας. ταῦτα τοίνυν ἀμφίβολον τοῦ πατριάρχου παρεισάγει προβούλευμα πρὸς τὸ εἶ καὶ ἑκατέρωθεν μελετώμενον.

Ἤρξαντο οὖν πάντες μιᾶς μερίδος τῆς Κομνηνοῦ γίνεσθαι, καὶ κατηρείπωτο τὸ κράτος τοῦ γέροντος· οὕτω γὰρ αὐτὸν ἐκάλεσεν ἡ τῶν συμπνευσάντων κατ' αὐτοῦ συμμορία, καὶ ὁ λόγος οὗτος ἄχρι καὶ τήμερον ἐπεκράτησε. καὶ μικρὸν ἄποθεν τῆς ἀντιπέραν κώμης τῆς Χρυσοπόλεως φήμη τὸν Κομνηνὸν περὶ τούτων κατέλαβε, θαρρεῖν παρεγγυωμένη ὅτι προηνέῳκται αὐτῷ τὰ ἀνάκτορα, καὶ ὁ δῆμος ἅπας τῆς πόλεως αὐτὸν εὐφημεῖ. ἐπέσχε δὲ τὴν ὁρμήν, ἕως ἐντελές τι καὶ περὶ τῆς τοῦ γέροντος καθαιρέσεως πύθοιτο. καὶ δῆτα τοῦ πατριάρχου πάντας τοὺς ἐν τέλει μετακαλεσαμένου πρὸς ἑαυτόν, οὓς μὲν ἑκουσίως, οὓς δὲ ἀκουσίως ἐκβιασθέντας, τυχὸν οἰκονομικῶς, στρατιωτικὰ δὲ καὶ δημοτικὰ συντάγματα ἐκεῖσε τὴν βασίλειον ἐξουσίαν ἀφνῶς μετεστήσατο, καὶ ἀρχὰς τοῖς πράγμασιν, ὁπόσαι τούτῳ ἐδόκουν τῷ καιρῷ πρόσφοροι, προεστήσατο. καὶ τῷ γέροντι τὴν τρίχα καταθεῖναι αὐτίκα μάλα, εἰ προαιροῖτο τὸ ζῆν, μήνυμα σφοδρὸν ἐξαποστέλλει, τοῦ πλήθους τοῦτο κελεύοντος. ὁ δέ, καίτοι τῶν τῆς αὐλῆς ὁπλιτῶν, καὶ ὅσοι τούτῳ προσήκοντες ἦσαν, εἰς ἄμυναν ἐξελθεῖν τῶν ἀντιπάλων διατεινομένων καὶ τούτους ἑτοίμως παραστήσασθαι καὶ τὸ κράτος αὐτῷ βεβαιῶσαι, οὐκ ἠνέσχετο, μισανθρωπίας καὶ φιλαυτίας ὁμοῦ πρᾶγμα λέγων εἶναι τὸ δι'

14. δὲ] an τε? 16. ἐδόκει C.

haec igitur ancipitem patriarchae inducunt legem in re licet ab utrisque excogitata.

Coeperunt igitur omnes ab una parte Comneni stare, et destruebatur potentia senis: sic enim eum nominavit coniuratorum contra eum classis. atque sermo hic etiam usque ad hodie valuit: neque multum a vico verso ad Chrysopolin fama Comnenum de his rebus assecuta est, ut tranquillo esset animo monens, cum iam aperta esset ei regia et populus omnis urbis eum celebraret. retinuit autem impetum donec totum quid etiam de fine senis audiret. atque postquam patriarcha omnes magistratus ad se accersivisset alios volentes, alios invitos coactos: prudenter fortasse, militum et populi collegia ibi regiam potestatem omnino mutarunt; et magistratus rebus, quotquot huic videbantur tempori apti, praeposuit. et seni, ut comam statim poneret si mallet vivere, indixit, multitudine hoc iubente. ille autem, quamquam milites aulici, et quotquot huic adhaerebant, egredi studebant, quo adversarios arcerent et subiicerent potentiamque ei firmarent, non sustinuit, cum odii hominum et amoris sui simul esse diceret, pro-

αὐτὸν συγχωρῆσαι φόνοις καὶ σφαγαῖς ἀνθρωπίναις μιανθῆναι τὴν μεγαλόπολιν. καὶ πρὸς τὰ ἐρυθρὰ πέδιλα κατιδὼν "διὰ ταῦτα" εἶπεν "ὁ Μιχαὴλ οὐ προδίδωσι τὴν εὐσέβειαν," καὶ πόρρω τῶν ἑαυτοῦ ποδῶν ταῦτα σφενδονησάμενος τὴν κεφαλὴν ἔκλινε τοῖς ἀποσταλεῖσιν εἰς τὴν κουράν. καὶ τῆς βασιλικῆς λαμπρότητος τὴν μοναχικὴν πολιτείαν εὐχαρίστως f. 178 v. ἀνταλλαξάμενος, καὶ τρύχινον ῥάκος, τῆς εὐδαίμονος ἀμπεχόνης καὶ πολυτίμου, παραπέμπεται αὐθημερὸν μελαμφορῶν καὶ τοῖς μοναχοῖς συνταττόμενος. δέχεται τοῦτον ὁ ἀρχιερεὺς συναντήσει δῆθεν φιλανθρώπῳ καὶ μειδιώσῃ, καὶ "χαῖρε" πρὸς αὐτὸν ἐπειπὼν φιλήματι τοῦτον ἀσπάζεται. ὁ δὲ "θεός σε ἀξίως, ἀρχιερεῦ, ἀντασπάσαιτο" φήσας, μιᾷ τῶν πατριαρχικῶν οἰκιῶν, τῇ ἀνωτάτω ἀναχωρητικῇ, παραδίδοται, βασιλεύσας ἕνα μόνον ἐνιαυτόν.

Εἰσάγεται τοίνυν ὁ Κομνηνὸς διαπόντιος μετὰ τοῦ στόλου παντός, εὐφημίαις καὶ ἀλαλαγμοῖς καὶ σαλπίγγων καὶ a. 1057, 31. Aug. λοιπῶν ὀργάνων ἠχῇ σεμνυνόμενος. καὶ τοῦτον ὑποδέχονται τὰ βασίλεια περὶ δείλην ὀψίαν, σεπτεμβρίου μηνὸς τῆς ια' ἰνδικτιῶνος ἐνισταμένου. τῇ δ' ἐπαύριον προόδῳ λαμπρᾷ τῇ τοῦ θεοῦ μεγάλῃ ἐκκλησίᾳ μετὰ πολλῆς προσελθὼν τῆς δορυφορίας, τὸ στέφος ἐπ' ὀκρίβαντος διὰ χειρὸς τοῦ πατριάρχου κομίζεται. καὶ πρόεισι στεφανίτης ἐκεῖθεν, δόξαν παρεσχηκὼς ἀνδρίας καὶ ἀνδραγαθίας μεγίστης οὐ τοῖς ὑπηκόοις

pter se concedere, sanguine et caedibus hominum contaminari urbem regiam, et ad rubra sandala despiciens: propter haec, inquit, Michael non prodit pietatem, et longe a suis pedibus haec detorquens caput posuit missis tondendum, et regia magnificentia monachicam constitutionem leniter mutans et sordidam vestem beato et honorario amictu, dimittitur statim nigra veste et in monachorum numerum relatus. recipit hunc pontifex maximus conditione humama et arrisu, et vale ad eum dicens osculo hunc prosequitur. ille autem, deus te digne, pontifex maxime, econtra prosequatur, cum dixisset, uni patriarchicarum domorum, altissimae solitudini traditur postquam regnavit unum tantum annum.

Introducitur igitur Comnenus trans mare cum exercitu toto laudibus et clamoribus et tubarum et reliquorum instrumentorum clangore celebratis. atque hunc excipit regia circa vesperum, initio septembris indictionis XI. postero autem die pompa illustri ad dei magnam ecclesiam cum multa aggressus satellitum prosecutione, coronam in suggestu per manum patriarchae accipit, et progreditur coronatus inde, gloria comparata virtutis et fortitudinis maximae, non solum apud subiectos, sed iam etiam apud barbaros, quippe qui pugna devicisset

μόνον ἀλλ' ἤδη καὶ τοῖς βαρβάροις, ὡς μάχῃ κεκρατηκὼς τοῦ κρατοῦντος καὶ φασγάνῳ τοσαύτην ἀρχὴν δυνηθεὶς περιζώσασθαι. στηλογραφεῖται δὲ καὶ ἐσπασμένον ἔχων τὸν ἀκινάκην τῷ κήνσῳ, καὶ οὕτω τῆς βασιλείας καὶ τῶν ταύτης ἀπάρχεται πράξεων. φιλοτίμοις οὖν τοὺς συναραμένους καὶ συναγωνισαμένους πρὸς τὸ κατόρθωμα κοσμήσας τιμαῖς καὶ φροντιστὰς πολλοὺς τῶν δημοσίων ἀποδείξας συλλόγων, οὕτω καὶ τὸ δημοτικὸν τῆς προσηκούσης τιμῆς ἀξιοῖ. πρὸ δὲ τῶν ἄλλων πολύ τι νέμων αἰδοῦς τῷ πατριάρχῃ, ἴσα καὶ πατέρα ἐτίμα, καὶ τοὺς τούτου ἀνεψιοὺς ταῖς πρώταις ἀξίαις καὶ πράξεσι περιβλέπτους ἀποδεδειχώς. καὶ τὰ τοῖς βασιλικοῖς δικαίοις προσόντα παρὰ τῶν ἱερατικῶν δίκαια τῇ μεγάλῃ ἐκκλησίᾳ καθιεροῖ, καὶ τούτων ἀλλοτριοῖ παντάπασι τὸ παλάτιον, ὥστε μήτ' ἐπὶ τῆς οἰκονομίας μήτε τῆς τῶν ἱερῶν κειμηλίων προνοίας καὶ προστασίας παρὰ βασιλέως τινὰ προχειρίζεσθαι, ἀλλὰ τῆς τοῦ πατριάρχου ἐξουσίας ἠρτῆσθαι καὶ τὴν προχείρισιν τῶν προσώπων καὶ τὴν τῶν πραγμάτων διοίκησιν.

Καὶ καταστησάμενος τὴν ἀρχὴν ἀποβλέπει καὶ πρὸς τὸ τῶν ἀναλωμάτων τῆς βασιλείας καὶ τοῦ ὀψωνισμοῦ τῶν στρατιωτῶν μέγεθος, καὶ ὡς πόλεμοι τούτῳ πρόκεινται πολλὴν δαπάνην ἐφέλκοντες διὰ τὸ τοὺς ἐναντίους κατισχῦσαι καὶ πανταχόθεν κατεπαίρεσθαι τῶν Ῥωμαίων. καὶ χρημάτων δεῖσθαι σκοπήσας, καὶ τὴν τούτων εὐπορίαν πλείστην ὅσην

16. *προχείρησιν* C.

imperatorem, et gladio tantum imperium potuisset sibi accingere: in columna inscribitur etiam nudatum habens gladium a censu, et ita imperium et eius res incipit: amplis igitur eos, qui ei auxiliati erant et cum eo certaverant ad rem bene gerendam ornans honoribus, et procuratores multos publicorum instituens conventuum, ita etiam rem publicam apto honore dignatur: ante ceteros autem multum quid tribuens reverentiae patriarchae, aeque ac patrem honorabat eum, et eius affines summis dignitatibus et rebus illustres reddens, et quae regi iusta essent ex sacris iusta magnae ecclesiae dedicat, atque his alienat palatium ita ut neque in administratione neque providentia sacrorum thesaurorum et gubernatione ex regiis quisquam hoc tractaret, sed ex patriarchae potestate penderet et creatio personarum et administratio rerum.

Et postquam constituit imperium spectat etiam sumtus regni et stipendiorum militum magnitudinem, et bella huic instare multum sumtum moventia, quod hostes validi essent et undique assurgerent contra Graecos, eosque facultatibus carere animadvertens et horum inopiam maximam inevitabilem reputans, gravis factus est vectigalium

ἀπαραίτητον λογισάμενος, βαρὺς ἐχρημάτισε φορολόγος τοῖς χρεωστοῦσι δημόσια. εἶτα καὶ τὰς τῶν ὀφφικίων δόσεις αὐτὸς περιέτεμε πρῶτος, καὶ πανταχόθεν οἷά τις ἄπληστος θηρευτὴς εἰσεποιεῖτο τὰ χρήματα. ἐμέλησε δ' αὐτῷ μετὰ ταῦτα καὶ φειδωλίας καὶ τοῦ προσθήκην ἀγρῶν τῇ βασιλείᾳ περιποιήσασθαι. διὸ καὶ πολλὰ μὲν ἰδιωτικὰ πρόσωπα πολλῶν ἀπεστέρησε κτήσεων, παριδὼν τὰς χρυσοβούλλους τούτων γραφάς, δι' ὧν αὐτοῖς τὰ τῆς δεσποτείας ἡδραίωντο· ἐνέσκηψε δὲ καί τισι τῶν φροντιστηρίων, μεγάλας καὶ πλουσίας κτήσεις ἐχόντων καὶ τῶν τοῖς βασιλικοῖς θησαυροῖς ἀνακειμένων ἀποδεούσας οὐδ' ὅλως· καὶ πολλὰς αὐτῶν ἀφελόμενος, καὶ διὰ λογοποιΐας τὸ ἀρκοῦν ἐγκαταλιπὼν μοναῖς καὶ μονάζουσι, τοῖς βασιλικοῖς τὸ περισσὸν προσαφώρισε, πρᾶγμα παρανομίας μὲν δόξαν ἢ ἀσεβείας εἰσάγον, καὶ πρὸς ἱεροσυλίαν τοῖς εὐλαβεστέροις ἐκ τοῦ προχείρου ἀναφερόμενον, ἀποτέλεσμα δὲ μηδὲν ἄτοπον ἀποφέρον πρός γε τοὺς ἐμβριθῶς τὰ πράγματα διακρίνοντας. ἑκατέρωθεν γὰρ ὀνήσιμον εἶναι διεγινώσκετο, f. 179 r.
τούς τε μοναχοὺς φροντίδων ἀπαλλάττον ἀπροσφόρων τῇ κατ' αὐτοὺς πολιτείᾳ, καὶ χρηματισμοῦ τοὺς ἀκτημοσύνην πεπαιδευμένους ἀπανιστῶν, καὶ οὐδὲν τῶν πρὸς τὴν χρείαν ἐπιτηδείων ἀποστεροῦν, καὶ τοὺς ἀγρογείτονας ἐλευθεροῦν τῆς τούτων βαρύτητος, ὅτι τῷ πολυτελεῖ καὶ πολυταλάντῳ τῶν κτήσεων τὰ σφέτερα καταλιπεῖν αὐτοὺς οἱ μοναχοὶ κατηνάγκαζον, ἀπληστίαν ἤδη νοσήσαντες καὶ εἰς ἕξιν τοῦ πάθους γινόμενοι, καὶ περι-

7. κτίσεων C. 21. ἀποστερῆ C.

exactor debitoribus publicis, deinde etiam officiorum dotes ipse circumsecuit primus, et undique quasi insatiabilis venator adduxit facultates, curae autem ei fuit post haec etiam parsimonia et ut accessionem agrorum regno faceret: propterea etiam multos privatos homines multis privavit possessionibus, negligens aureas bullas et harum scripta quibus iis dominium firmaretur. incidit autem etiam in quaedam tribunalium iuridicorum, magnas et divites possessiones habentium et iis quae in regiis thesauris depositae essent, nullo modo inferiores, et multas earum eripiens et fictione quod satis esset relinquens monasteriis et monachis, regiis thesauris superfluum definivit, quae res iniustitiae speciem aut impietatis afferret, et ad sacrilegium a cautioribus in promptu referretur, sed eventum non ineptum redderet apud eos qui prudenter res diiudicarent: ab utraque enim parte utilis esse cognoscebatur, cum et monachos curis liberaret et a quaestu eos, qui ad inopiam instituti erant, abduceret, et nihil eorum, quae ad usum necessaria sunt, eriperet, et agrorum vicinos liberaret horum impor-

γινόμενοι τῶν ἀντιθέτων, εἴ ποτε πρὸς δίκην αὐτοῖς συνεπλάκησαν, διὰ τῆς τῶν κτημάτων καὶ χρημάτων ἐπιρροῆς καὶ τοῦ ἐπὶ τούτοις ἀλογοθετήτους καθίστασθαι καὶ ἀποδοχῆς ἀξιοῦσθαι νικῶντας τοὺς ἀντιβαίνοντας. καὶ ὁ δημόσιος πολλαῖς χερσὶν ἐπαφιέναι τὰ ἑαυτοῦ πολυμερῶς συνωθούμενος προσθήκην ἐδέξατο καὶ παραψυχὴν οὐ μετρίαν, ἐν οἷς ἑτέρους ποσῶς οὐδ' ἐλωβήσατο.

Εἶχε μὲν οὕτω τὰ πρακτέα τῷ βασιλεῖ, καὶ συνεῖχε τοῦτον τῇ βασιλίδι τῶν πόλεων διὰ τὴν τῶν ἀγχιθύρων κατάστασιν. κατὰ δὲ τὸν αὐτὸν καιρὸν ἐπαρθεὶς ὁ πατριάρχης οἷς πεπροτερηκέναι ὑπέλαβε, καὶ μεῖζον ἢ κατὰ τὴν αὐτοῦ ἀξίαν ἐπὶ τῶν ὅλων γενέσθαι οἰόμενος, καὶ θαρρήσας τῇ τοῦ κρατοῦντος εὐνοίᾳ, πολλάκις τοῦτον τινῶν ἐπιχειρημάτων μὴ δοκούντων αὐτῷ ἀνεχαίτιζε, ποτὲ μὲν πατρικὴν εἰσάγων διάθεσιν καὶ παραίνεσιν, ποτὲ δ' ἐπιτιμητικὴν παραγγελίαν καὶ ἀπειλητικὴν ἀκοαῖς ἐκδεδιῃτημέναις ἐπαίνοις καὶ προσηνέσι λόγοις καὶ ὑποπτώσεσιν, ὡς καὶ τὸν βασιλέα κατὰ μικρὸν ἐκπεπολεμῶσθαι καὶ παροινίαν ἡγεῖσθαι τὴν τέως παραίνεσιν. οὐ πολὺν δὲ χρόνον τούσδε τοὺς λόγους ὑπενεγκών, ἔγνω τοῦτον ὡς κατεπαιρόμενον τούτου καταβαλεῖν ὁ βασιλεύς, καὶ τῶν ἱερατικῶν ὡς ὑπεροπτικὴν ἐκ μέσου καθάπαξ περιελεῖν, καὶ τοῦτον τὸν τρόπον διαδρᾶναι

21. an ὑπερόπτην?

tunitate, cum pretiosis et multorum talentorum possessionibus ut sua relinquerent illos monachi cogerent, insatiabilitate iam aegrotantes et in habitum perturbationis facti et superiores contrariis, si quando lite iis impliciti essent, possessionum et divitiarum confluxu et quia in his a rationibus reddendis immunes erant et accepto dignabant vincentes contrarios. atque fiscus publicus multis manibus emittere sua in multis partibus coactus accessionem accepit et lenimen non modicum, in quibus aliis ne minimo quidem modo noeuit.

Habebat ita quae a rege acta erant, et continebat hunc in regina urbium propter finitimorum positionem: circa idem autem tempus elatus patriarcha quibus superior factus esse sibi videbatur, et magis quam pro sua dignitate summis se praeesse putans et animosus imperatoris benevolentia saepe hunc ab inceptis, quae sibi non placerent, retinebat, interdum paternam adhibens dispositionem et exhortationem, interdum reprehensionis nuntium et minarum auribus corruptis laudationibus et verbis blandis atque humilibus, ita ut etiam rex paene bellum pateretur et exhortationem sempiternam haberet turpitudinem: non multum autem tempus has orationes ferens, statuit rex hunc ut supra se erectum deiicere, et sacerdotum quasi superbiam e medio omnino

τὸν ἔλεγχον. διὸ καὶ τῆς ἀρχαγγελικῆς ἑορτῆς ἀμφὶ μῆνα νοέμβριον ἐγγιζούσης παρεγένετο πρὸς τὴν ἐκ βάθρων ἐγερθεῖσαν παρ' αὐτοῦ μονὴν ὁ πατριάρχης οὑτοσὶ Μιχαὴλ, καὶ τῶν περιβόλων τοῦ μεγάλου καὶ ἀπορθήτου καὶ θεοτεύκτου πολίσματος ἔξω γενόμενος τῶν τῆς ἑορτῆς φιλοτίμως ἐφρόντιζε κατὰ τὰ ἑσπέρια μέρη τῆς πόλεως. ὁ δὲ βασιλεὺς ἠκόνα τὴν σκαιωρίαν καὶ τὴν ῥομφαίαν ἐστίλβου καὶ τὸν ἐνδομυχοῦντα θυμὸν τοῖς ἐγγίζουσι παρεγύμνου· καὶ προπέμπει τῶν τινὰ οἰκείων ὡς ἱερατικὸν συνομιλήσοντα τῷ ἀρχιερεῖ περὶ τινῶν τυχὸν ἀπορρήτων, καὶ τὸν καιρὸν τῆς κατ' αὐτὸν σκέψεως καὶ τῆς φήμης τούτῳ ἀποτειχίσοντα. καὶ τῆς διαλέξεως γινομένης ἐπικατέλαβε πλῆθος στρατιωτῶν ὅπλοις κατάφρακτον, καὶ περιχυθέντες πανταχόθεν αὐτῷ ἀνάρπαστον ἐκ τοῦ θρόνου τοῦτον ἀτίμως ἐπαίρουσι. καὶ ἡμιόνῳ καθίσαντες συνήλαυνον ἄχρι τῆς ἐν Βλαχέρναις ἀκτῆς· καὶ προστάγματος καταπτάντος βασιλικοῦ ἑνὶ τῶν λέμβων σπουδαίως ἐντίθεται, καὶ ὑπερόριος τῶν ἀδικούντων τάχα ὑπερλαλῶν ὁ ποιμενάρχης γίνεται. ὡσαύτως δὲ καὶ αὐτὰ τοῦ γένους τὰ φίλτατα τῆς ὁμοίας ἀπογεύονται τύχης.

Φέρει δὲ τοσοῦτον τὸ πάθος ὁ ἀνὴρ μικροψύχως ἢ ἀγεννῶς, καὶ κατέσεισε τὴν πίστιν αὐτοῦ τὸ τῆς ἀπιστίας πρὸς αὐτὸν τοῦ βασιλεύοντος τόλμημα; οὐ μὲν οὖν, ἀλλ' εὐψύχως μάλα καὶ εὐγενῶς, καὶ τῇ καρτερίᾳ τὸν Ἰὼβ πολλῷ τῷ πε-

5. πυλίσματος C.

tollere, et hoc modo effugere inquisitionem. quamobrem etiam archiangeli die festo circa mensem novembrem instante, accessit ad monasterium a se e fundamentis erectum patriarcha hic Michael, et moenibus magnae et indelebilis et a deo factae urbis egressus, res festas studiose curabat in occidentalibus urbis partibus. rex autem acuebat dolum et gladium splendidum faciebat, et internum animum proximis denudabat, et emittit quendam familiarium qui ut sacerdos prosequeretur pontificem maximum propter quaedam mysteria et occasionem cogitationis et famae huic occluderet; et colloquio facto sibi adiunxit multitudinem militum armis cinctam, et circumfusi undique ei correptum e throno hunc turpiter tollunt, et mulo imponentes ducebant eum usque ad litus Blachernarum, et ex iussu regio uni lintrum studiose imponitur et exsul pro iniuste facientibus loquens pastorum summus fit: eodem autem modo etiam ipsa generis maxime amata aequalem degustant fortunam.

Fert autem tantum malum vir parvo animo et ignobili, et concussit eius fidem infidelitatis in eum regis inceptum? immo vero fortiter valde et nobiliter et perseverantia eum Iobum multo maiore ra-

ριόντι νικῆσαι διαθρυλλούμενος, ὅτι καὶ τὸ ἄλγος οὐδὲν ἧττον αὐτῷ κατά τε τὴν ἔκπτωσιν τῆς ἀρχῆς καὶ τὴν τῆς πολιτείας καὶ τῆς παρρησίας καὶ αὐτῆς τῆς μεγίστης προεδρίας ἀφαιρέσει διεδείκνυτο, καὶ τὸ ἕλκος πρὸς ταῦτα συγκρινόμενον ἡττᾶτο, φέρον τῆς πατρίδος καὶ τῆς συζύγου τὴν ἀντισήκωσιν. εὐλογῶν γὰρ εὐλόγει τὸν κύριον, καὶ εὐχαριστῶν οὐκ ἀνίει, καὶ πάθος οὐκ ἀπεκάλει τὸ πάθος ἀλλὰ πύρωσιν ἀκριβῆ καὶ παίδευσιν πρὸς τελειότητα φέρουσαν καὶ ἀρετῆς ἐπίβασιν κρείτονος. μὴ ἀφιστάμενος δὲ καὶ τῆς ταπεινώσεως ἀντεγκαλῶν ἦν αὐτὸς ἑαυτῷ, καὶ ἄξια πεπονθέναι κατατιθέμενος καὶ πρὸς θεὸν ἅπαν αἰχμαλωτίζων νόημα, καὶ ἐπὶ πᾶσι τοῦ
f. 179 v. εὐγενοῦς πνέων ἔτι τῷ ὄντι φρονήματος. οὐ γὰρ κατέπεσεν ὅλως, οὐδὲ τοῦ ζήλου ἐνέδωκεν, οἷα πάσχειν οἶδε ψυχὴ τοῖς ὑλικοῖς διεπτοημένη καὶ κάτω φέρουσιν.

Ὧν ἐν γνώσει γινόμενος ὁ κρατῶν ἤσχαλλε καὶ μετάμελον ἔτρεφε καὶ τὴν ἐπανόρθωσιν ἐδίψα μέν, οὐκ εἶχε δ' ὅπως ἑαυτὸν στηλιτεύσοι κακῶς διανοησάμενον. βεβούλευται τοίνυν αἰτιάσεις προθεῖναι κατ' αὐτοῦ, καὶ ἀναξιότητος γράψασθαι τὸν χρόνοις ἤδη πολλοῖς τὴν ἀξίαν διακοσμήσαντα καὶ τὸν σωτήριον λόγον ὀρθοτομήσαντα. καὶ γεγόνασι μὲν τῆς τούτου βουλῆς τῶν ἐν τέλει τινές, μηδὲ τὸ τοῦ ἀνδρὸς ἀγνοοῦντες ἐπίδοξον· ὅμως δὲ γεγόνασι συμμεταβαλόμενοι τῷ καιρῷ, ὁποῖα τὰ τῶν

tione vicisse fama celebratus, cum etiam dolor nihil minor ei quod attinet ad iacturam imperii et administrationis et loquelae liberae et maximi principatus ademtione diiudicata inferior erat, afferens patriae et uxoris restitutionem. celebrans enim celebrabat dominum et gratias agere non desistebat, et malum non nominabat malum, sed exustionem accuratam et institutionem ad perfectionem ducentem, et virtutis accessionem melioris; non autem desistebat et humilitatis se incusabat ipse, et ut digna passum se reddens et deo omne vinciens cogitatum, et in omnibus nobilem spirans tum revera animum: neque enim decidit prorsus, neque ardorem remisit, qualia pati scit animus a corporeis deterritus et iis quae deorsum ferunt.

Quibus cognitis rex aegre ferebat et poenitentiam habebat, et restitutionem valde cupiebat, non autem sciebat, quomodo se fateretur male meditatum. persuasum igitur est ei, ut causas proferret contra eum et indignitatis accusaret eum, qui per multos iam annos dignitatem ornaverat et salutis verbum rectum reddiderat; et fuerunt huius consilii quidam primores, licet non ignorantes viri gloriam, tamen fuerunt mutati tempore, ut adulatorum nugae sunt. experiens autem suum propositum rex nonnullos urbis antistites, quos etiam pru-

κολάκων νεανιεύματα. ἀπόπειραν δὲ τῆς αὐτοῦ προαιρέσεως ποιούμενος ὁ βασιλεὺς τινας μητροπόλεως προεστῶτας, οὓς καὶ λογιωτέρους τῶν ἄλλων ἐγίνωσκεν, ὡς αὐτὸν ἀποστέλλει διαλεξομένους περὶ τοῦ τὴν τιμὴν καταθέσθαι καὶ μὴ συνόδῳ καὶ συλλόγῳ περιφανεῖ δημοσιευθῆναι τὰ κατ' αὐτοῦ. ἀνάλωτος δὲ τούτοις ὀφθεὶς καὶ ἀπερίτρεπτος ἐς τὰ μάλιστα, καὶ πυρίπνους τὴν γλῶσσαν καὶ τὴν ὁρμήν, καταιδεσθῆναι τούτους πεποίηκε καὶ ἱκέτας πρὸς τὸ συγγνώμες τυχεῖν. ἐπανελθόντες οὖν εἰπεῖν ἐκεῖνο πρὸς τὸν πέμψαντα συνεστάλησαν οὐδαμῶς "ἡττήμεθα, βασιλεῦ, ἡττήμεθα, κρείττων ἀπειλῶν ὁ ἀνήρ, παντὸς λόγου καὶ πειθοῦς ἰσχυρότερος, ἀλλὰ καὶ λαβῆς ἁπάσης πολλῷ τῷ περιόντι ἀνώτερος. εἰ οὖν τῷ ἀνεπιλήπτῳ καὶ ἀκαταγωνίστῳ προσβάλλειν ἐθέλεις, ἀναλογίζου τὴν ἧτταν καὶ τὸν ἐντεῦθεν μετάμελον." τούτων ἀκηκοὼς ὁ βασιλεὺς σύννους ἦν καὶ πεφροντικώς, πῶς καὶ τίνα τρόπον τοῖς πράγμασι χρήσαιτο. ἐν τῷ μέσῳ δὲ τοῦ θεοῦ κρεῖττόν τι προβλεψαμένου, ἐν εἰρήνῃ μεταλλάττει τὸ ζῆν ὁ ἀρχιερεύς, προθεωρήσας τὴν θείαν μετάκλησιν δι' ὁσίου καὶ μεγίστου τὴν ἀρετὴν ἁγίου ἀνδρός, καὶ ὅτι τοῖς ἐν ἀσκήσει καὶ ἁγνείᾳ εὐαρεστήσασιν ἐναρίθμιος ὤν, ἐν μέσῳ τῆς μνήμης αὐτῶν πρὸ τῆς τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ φιλανθρωπίαν ἐνανθρωπήσεως, τῶν φθαρτῶν καὶ ἐπικήρων τὴν ἄφθαρτον ζωὴν καὶ ἀνώλεθρον ἀνταλλάττεται. καὶ προέβη τὰ τῆς προρρήσεως τελειωθέντος κατ' ἐκείνας τὰς ἡμέρας τοῦ ἀρχι-

6. περίπνους C.

dentiores ceteris iudicabat, ad eum mittit, qui cum eo agerent de dignitate deponenda, neve conventu et concilio publico quae contra eum divulgarentur. invictus autem his apparens et immotus maxime et efflatus lingua et impetu ut puderet eos fecit, et orarent ut sibi ignosceret. reversi igitur quominus illud dicerent ad mittentem retinebantur nullo modo: victi sumus, rex, victi sumus, melior est minitans vir, omni oratione et suada validior, sed etiam infirmitate omni multo superior. quodsi probri expertem et invictum aggredi vis, reputa cladem et inde consecuturam poenitentiam. his auditis rex prudens fiebat et cogitavit, quomodo rebus uteretur. interea autem deo melius quid providente in pace relinquit vitam pontifex maximus antea sentiens divinam vocationem propter pii et maximi virtutem viri sancti, et quod inter spectatos exercitio et sanctitate numeratus in memoria eorum pro salvatoris nostri Iesu Christi humana corporis assumptione mortalibus et caducis immortalem vitam et indelebilem mutat, et evenit praedictum defuncto illis diebus pastore summo, et rex poe-

ποιήμενος. καὶ ὁ μὲν βασιλεὺς μετανοίᾳ βληθεὶς καὶ τὴν ἀρετὴν εὐλαβηθεὶς τοῦ ἀνδρός, μὴ ἔχων οἷς τρόποις τὴν ἁμαρτάδα ἐπανορθώσαιτο, ἐντίμως τὸν νεκρὸν αὐτοῦ εἰσαχθῆναι πρὸς τὴν βασιλεύουσαν διετάξατο. καὶ παραδίδοται τῇ σορῷ ἐν ᾧπερ ἐκεῖνος τόπῳ καὶ ζῶν μετετάξατο, κατὰ τὸ ἀνεγερθὲν παρ' αὐτοῦ φροντιστήριον, θαῦμα μέγιστον καὶ τοῦ ἀξίως τῆς ἀρχιερατικῆς τελειωθῆναι σημεῖον ἀπερίγραπτον δείξας τὴν ἐν χειρὶ τοῦ σταυρικοῦ σημείωσιν σχήματος. καὶ μεμένηκεν ἡ τιμία τῷ ὄντι χεὶρ τοῦτον τὸν τύπον τηροῦσα τῆς διὰ τοῦ σταυροῦ εἰρήνης καὶ εὐλογίας ἄχρι καὶ τήμερον, μὴ ἀλλοιωθεῖσα συνόλως τῇ νεκρώσει τοῦ σώματος.

Προεχειρίσθη δὲ πατριάρχης Κωνσταντῖνος πρόεδρος καὶ πρωτοβεστιάριος ὁ Λειχούδης, ἀνὴρ μέγιστον διαλάμψας τοῖς βασιλικοῖς καὶ πολιτικοῖς πράγμασιν ἀπό τε τῆς τοῦ Μονομάχου καὶ μέχρι τῆς τούτου ἀναρρήσεως, καὶ μεσάζων ἐν τοῖς βασιλείοις τὴν τῶν ὅλων διοίκησιν. καὶ γέγονε δωρηματικὸς τοσοῦτον καὶ προνοητικὸς τῶν τε ἱεροκηρύκων καὶ τῶν μιγάδων, ὡς καὶ πάντας τῆς τούτου ἀφθονίας σχεδὸν ἀπόνασθαι· καὶ θαυμάζειν τέλεον.

Τῶν δὲ πρὸς ἥλιον δύνοντα Σαυροματῶν ταραττομένων, σὺν αὐτοῖς δὲ καὶ τῶν περὶ τὸν Ἴστρον Σκυθῶν, οὓς f. 180 r. Πατζινάκους τὸ πλῆθος κικλήσκουσιν, ἔγνω λοιπὸν ὁ βασιλεὺς τὰς Ῥωμαϊκὰς δυνάμεις ἐπενεγκεῖν κατ' αὐτῶν. καὶ τὰ πρὸς τὸν πόλεμον ἐξαρτύσας, καὶ τὸν στρατιωτικὸν κατάλο-

nitentia ictus et virtutem verens viri, nesciens, quomodo delictum corrigeret, honorifice cadaver eius inferri regiae iussit, et traditur sepulcro, in quo loco ille etiam vivens imperaverat, in monasterio ab eo erecto: miraculum maximum et digne perductae dignitatis pontificalis signum sempiternum ostendens in manu cruciatae formae significationem, et mansit honorata revera manus hunc typum servans pacis crucis et benedictionis etiam adhuc, non mutata omnino morte corporis.

Creatur autem patriarcha Constantinus praeses et protovestiarius Lichudes, vir maxime illustris regiis et civilibus rebus inde a Monomachi usque ad huius declarationem et hoc tempus particeps in regia administrationis totius. et fuit ad donandum tum pronus et prospiciens sacrorum diaconis et mixtis, ut etiam omnes eius liberalitate fere fruerentur et prorsus eam admirarentur.

Cum autem qui versus occidentem habitant Sauromatae conturbarentur, cumque iis etiam Scythae circa Istrum habitantes (quos Patzinacos multitudo vocat), statuit iam rex Graecas vires ducere contra eos, et postquam quae ad bellum sunt necessaria praeparavit et

γον ποιησάμενος, πασίῤῥωμος ἔξεισι. καὶ μέχρι τῆς Σαρδικῆς γενόμενος καὶ καταπλήξας τοὺς Σαυρομάτας εἰς φιλίαν ἐλθεῖν συνηνάγκασε, καὶ συνθήκαις ἐπιῤῥώσας τὸ εἰρηναῖον μεταστρατοπεδεύει πρὸς τοὺς ἀλλογενεῖς, τοὺς Σκύθας φημί. καὶ διῃρημένων αὐτῶν ἐν ἀρχαῖς ὄντων, οἱ μὲν τῶν ἄλλων ἡγέμονες προσῆλθον αὐτῷ, καὶ τὰ πιστὰ φυλάττειν συνθέμενοι φόβου παντὸς ἀπηλλάγησαν· μόνος δὲ ὁ πρὸς τῷ τοῦ Ἴστρου χείλει περινοστῶν καὶ ἀπότομον πέτραν κεκτημένος κρησφύγετον (Σελτὲ τῷ βαρβάρῳ τὰ ὄνομα) οὐκ ἠθέλησε χεῖρας δοῦναι τῷ βασιλεῖ, ἀλλ' ὑπεροπτικῶς πρὸς τοῦτον διατεθεὶς ἐξῆλθεν εἰς τὸ πεδίον, τοῖς Ῥωμαίοις ἀντιταξόμενος. οὐκ εἰς μακρὰν δὲ τῆς ἰδίας κακονοίας ἀποίσατο τὰ ἐπίχειρα· κατὰ κράτος γὰρ ἡττηθεὶς βραχείας μερίδος ἀντιταχθείσης αὐτῷ φυγὰς ᾤχετο, βαθείᾳ τινὶ ὕλῃ ὥσπερ τις πτὼξ μετὰ τῶν ὑπ' αὐτὸν εἰσδύς. καὶ ὁ βασιλεὺς ἑλὼν τὸ κρησφύγετον, καὶ φρουρὰν καταλιπὼν καὶ στρατηγὸν ἐπιστήσας, τὴν ἐπάνοδον εὐθύμως ἐποιεῖτο.

Περὶ πρόποδας δέ τινος λόφου Λοβιτζοῦ λεγομένου τὴν παρεμβολὴν θέμενος, πρᾶγμά τι τῆς τοῦ τόπου ἐπωνυμίας ἀπηύρα. ῥαγδαῖος γὰρ ὄμβρος τῆς στρατιᾶς εὐθέως ἐπικαταῤῥαγεὶς καὶ νιφετὸς ἔξωρος, σεπτεμβρίου μηνὸς ἔτι τὸν δρόμον ἐλαύνοντος, πολλῆς κακώσεως τὸ στρατιωτικὸν καὶ λύμης ἐνέπλησεν. ἥ τε γὰρ ἵππος σχεδὸν πᾶσα καὶ πολλοὶ

20. ἀπήυρα C.

militum delectum fecit, omnino firmus egreditur, et usque ad Sardorum fines profectus et terrens Sauromatas in amicitiam venire coegit, et pactionibus obfirmata pace castra movit ad alienos, Scythas dico. et cum divisi essent hi in provinciis, duces quidem ceterorum ad eum venerunt, et postquam fidem servare statuerunt, omni timore liberati sunt. solus autem ad Istri litus ingrediens et praecipitem rupem nactus latebras, Selte barbaro erat nomen, noluit manus dare regi, sed contemtu in hunc affectus egressus est in campum ut Graecis se opponeret: non multo post sui consilii mali abstulit poenam, valde enim victus, parva parte ei apposita, fugiens contendit densam in silvam quasi lepus — — — —. atque rex postquam expugnavit latebras et praesidium reliquit et ducem imposuit ei, reditum fortiter instituit.

Circa pedes autem collis alicuius, qui Lobitzus vocatur castra ponens, loci cognomen expertus est: rapidus enim imber exercitui repente incidens et nivis impetus intempestivus, mense septembre etiam currente, multa calamitate exercitum et pernicie implevit. equitatus enim fere omnis et multi praesentium frigore et imbre assiduo

τῶν παρόντων, τῷ κρύει καὶ τῷ ὄμβρῳ συνεχεῖ καὶ ἀνυποίστῳ μήκιστον χρόνον ταλαιπωρούμενοι, τὸ ζῆν ἐναπέρρηξαν, καὶ τὰ ἐπιτήδεια παρ' ἐλπίδα τοῖς στρατευομένοις ἐπέλιπε, ποταμίου ῥεύματος καὶ χειμῶνος γενόμενα πάρεργον. ἀναστολῆς δὲ γενομένης ἐξῄει πρωΐας ὁ βασιλεύς, καὶ τὸν ποταμὸν ἀγχοῦ καταρρέοντα, τραφέντα τῇ ἐπομβρίᾳ, διαπεραιούμενος πολλοὺς τῶν σφετέρων ἀπέβαλε. λήξας δὲ πρὸς μικρὸν τῆς ὁδοιπορίας ὑπὸ σκιὰν ἔστη δένδρου τινὸς ἅμα τισὶ τῶν ὑπερεχόντων, καὶ μετ' ὀλίγον ἠχῆς γενομένης ἐκ τῆς δρυὸς προῄει μικρὸν ὁ βασιλεύς, ὅσον μὴ τῷ μήκει ταύτης καταλαμβάνεσθαι· ῥιζόθεν δ' αὕτη τμηθεῖσα σὺν πολλῇ τῇ βοῇ ὑπτία τῇ γῇ προσήρεισε. γέγονεν ὁ βασιλεὺς ἐνεὸς καταμαθὼν οἵας μικροῦ δεῖν τελευτῆς ἔμελλε τυχεῖν, καὶ ἦν προοίμιον οὐκ ἀγαθὸν τὸ συγκύρημα.

Προβιβάζων δὲ τὴν στρατιὰν ἐπεπορεύετο ταύτῃ. ἐπετάχυνε δ' αὐτὸν καί τις φήμη ψευδὴς καὶ οὐκ ἔμπρακτος, τυραννίδος ἀπάρχεσθαι λέγουσα τὸν πρὸς ἑῴαν ἀποσταλέντα παρ' αὐτοῦ πολιτικὸν ἄνδρα διὰ τὴν τῶν δημοσίων κτημάτων ἐξίσωσιν. καὶ μέχρι τῆς βασιλίδος γενόμενος καὶ πρὸς τὸ οἰκτρὸν τοῦ συμβάντος εἰκότως ἀνιαθείς, καὶ τὴν κατηγορίαν τοῦ ἄρχοντος ἐπίπλαστον ἐγνωκώς, ἀνελάμβανεν ὅμως τῆς ἀθυμίας ἑαυτόν, καὶ περὶ τὸν κατὰ πρόσωπον τῆς βασιλίδος προεκκείμενον πορθμὸν ἀνιὼν ἐνησχολεῖτο τῇ θήρᾳ,

et intolerabili per longissimum tempus confecti vitam deposuerunt: et necessaria contra exspectationem milites defecerunt, fluctuum et tempestatis facta additamentum. respiratione facta egreditur mane rex et fluvium prope defluentem, auctum imbre transgrediens multos suorum amisit. desistens autem paulum ab itinere in umbra stetit arboris alicuius cum quibusdam primoribus, et paulo post clangore ex quercu facto, progreditur paulum rex, in quantum non longitudine eius capi posset: radicitus autem haec scissa cum multo clamore resupina in terram decidit. factus est rex mutus, cum cognosceret, quali paene morti succubuisset: et erat proverbium non bonum esse casum.

Promovens autem exercitum ibi proficiscebatur: accelerabat autem eum etiam fama falsa neque effecta, tyrannidem instituisse dicens virum ad orientem a se missum, civilium rerum peritum, propter publicas possessiones aequandas, et usque ad regnum veniens et misera ratione congressi vexatus et accusationem principis simulatam cognoscens se recollegit tamen ex animi defectione, et circa vadum in fronte regia situm ascendens vacavit venationi se delectans assidua exercita-

ψυχαγωγῶν ἑαυτὸν τῇ συνεχεῖ γυμνασίᾳ. περὶ δὲ ὥραν ἀρίστου φῶς ἀστραπήβολον τοῖς τόποις ἐκείνοις ἐπέσκηψε· Νεάπολις τούτοις τὸ γνώρισμα. καὶ ὁ βασιλεὺς πληγείς, ὡς λόγος, ἐκεῖθεν ἀκατίοις ἐξαίφνης πρὸς τὰ βασίλεια ὥρμησε, καὶ νοσομαχήσας ἡμέραις τισὶ τὸν μόρον ἐκαραδόκει. καὶ διὰ τοῦτο πρὸς ἐξιλέωσιν τοῦ θείου ἀσπάζεται τὴν μετάνοιαν, καὶ τῆς βασιλικῆς ἐξουσίας τὸν μοναδικὸν καὶ ἀπέριττον ἀνταλλάττεται βίον, βασιλέα προχειρισάμενος οὐ τὸν ὁμαίμονα (f. 180 v.) Ἰωάννην, οὐ τὸν ἀδελφιδοῦν, οὐκ ἄνδρα προσζεύξας τῇ θυγατρί, ἀλλὰ τὸν πρόεδρον Κωνσταντῖνον τὸν Δούκαν, ὃς αὐτῷ συνίστωρ καὶ συναγωνιστὴς περὶ τὴν τῆς βασιλείας κατάκτησιν διὰ παντὸς ἐχρημάτισεν. αὐτὸς δ' ὁ Κομνηνὸς μοναχικοῖς ῥάκεσιν τὴν τοῦ Στουδίου καταλαμβάνει μονήν, ἔτι τῇ νόσῳ τρυχόμενος, ζήσας μὲν . . . . , βασιλεύσας δὲ ἔτη δύο καὶ μῆνας τρεῖς, ἐπιζήσας δὲ τούτων ἐλάττονα τῷ μοναχικῷ.

Μετὰ δὲ τὴν τελευτὴν ὑγρότητος μεστὴ θεαθεῖσα ἡ τούτου σορὸς πολὺν λόγον εἰς τὸν δῆμον ἐκίνησε, τῶν μὲν τιμωρίαν εἶναι λεγόντων καὶ κολάσεως ἔνδειγμα τὸ φανὲν διὰ τὸν πολὺν φόνον ἐκεῖνον τὸν ἐκ τοῦ κροτηθέντος ἐμφυλίου πολέμου γενόμενον περὶ Νίκαιαν. ἄλλοι διὰ τὴν τῶν πολλῶν κάκωσιν καὶ ὑστέρησιν μερικὴν καὶ καθόλως τῶν διδομένων τοῖς πλείστοις ἐπετείως ἐκ τῶν βασιλικῶν θησαυρῶν, ἄλλοι διὰ

20. τὸν] τὸ C.

tione: circa tempus autem prandii, lumen fulguratum in loca illa incidit, novum his signum: et rex ictus, ut sermo est, inde lintribus repente ad regiam contendit, et aegrotans nonnullos dies sortem suam exspectabat, et propterea ad placandum numen divinum amplectitur poenitentiam et regia potestate solitariam et simplicem mutat vitam, postquam regem creavit non cognatum Ioannem, neque nepotem, neque virum coniungens filiae, sed praesidem Constantinum Ducam, qui ei conscius et socius in regno obtinendo omnino fuerat. ipse autem Comnenus monachicis vestibus indutus Studii obtinet monasterium, etiam — tum morbo vexatus, postquam vixit — — —, et regnavit annos duos et menses tres, his pauciores praeterea vivens monachus.

Post obitum autem humoris plenum visum huius sepulcrum multum sermonem in populo movit, cum alii ultionem esse dicerent et poenae exemplum id quod visum fuerat, propter multam caedem illam ex infami interno bello ortam circa Nicaeam: alii propter multitudinis vexationem et deminutionem in parte et omnino eorum, quae ple-

τὴν τῶν ναϊκῶν καὶ ἰδιωτικῶν κτημάτων ἀφαίρεσιν, ἕτεροι διὰ πάντα. ἄλλοι διὰ σωφρονισμῶν τῶν μετέπειτα. μονονουχὶ τοῦ μεταλλάξαντος κόλασιν· συνέβαλον γὰρ τὴν μετάνοιαν ὅτι τὴν θείαν φιλανθρωπίαν ἐκκαλεῖται πρὸς ἔλεον. οἱ δὲ τούτων ἐναντίοι μετάμελον θρέψαι τὸν ἄνδρα μετὰ τὴν ἀναχώρησιν ἔλεγον, καὶ κατὰ τοῦτο τῆς μεταβιώσεως μὴ ἀπόνασθαι. οἱ δὲ τὸ ῥεῦσαν ἁγιωσύνης ἔργον ἐτίθεντο διὰ τὴν μετὰ ταῦτα μᾶλλον μετάνοιαν, καὶ τὸ δειχθῆναι πᾶσιν ὡς οὐκ ἔστιν ἁμάρτημα τὸ τὴν θείαν εὐμένειαν βιαζόμενον, εἰ τῶν κακῶν τις ἐκκλίνας τὸ ἀγαθὸν ἕλοιτο. ἐγὼ δὲ ἀμφοτέρων τὴν γνώμην ἐπαποδέχομαι τῷ τὴν μὲν κωλυτικὴν εἶναι μελλόντων κακῶν, τὴν δὲ προτρεπτικὴν ἀπὸ τοῦ χείρονος πρὸς τὸ βέλτιον· καὶ οὐδενὸς τὴν ἧττω καταψηφίζομαι.

Cod. Esc. f. 298. an. 1059. Ἀλλ' ὅ μοι λέγειν ὁ λόγος ὥρμητο, ἐπιλαβόμενος τῶν βασιλικῶν σκήπτρων Κωνσταντῖνος ὁ Δούκας συνήθροισε τὰ σωματεῖα τῆς πόλεως, καὶ λόγους ἐπιεικείας γέμοντας ἐδημηγόρησε πρὸς αὐτούς, "ἐμὲ" φήσας, "ὦ ἄνδρες, βασιλέα τεθεικὼς τῶν ἐπὶ γῆς ὁ βασιλεύων ἐν οὐρανοῖς τῆς ἁπασῶν μεγίστης τιμῆς πεποίηκε μέτοχον. ἐγὼ δὲ οὐκ ἂν ψευσαίμι τὰς πρὸς ἐκεῖνον συνθήκας, ἀλλ' εὐμενὴς καὶ φιλάνθρωπος ἔσομαι, πατήρ τε τοῖς νέοις, καὶ τοῖς ἥλιξιν ἀδελφός, καὶ

1. τὴν om C. 2. σωφρονισμὸν? mox hiat oratio. 11. ἐπαποδεχόμενος C.

risque quotannis e regiis thesauris darentur, alii propter templorum et privatarum possessionum abreptionem, alii propter omnia, alii propter castigationum futurarum paene defuncti poenam. intelligebant enim poenitentiam quod divinam benignitatem evocat ad misericordiam. horum autem contrarii poenitentiam habuisse virum post secessum dicebant, et hac in re vita sequente non frui: alii autem id quod fluebat, sanctitatis signum statuebant propter maiorem posthac poenitentiam et ad probandum omnibus, non esse peccatum, quod divinam clementiam urgeat, si quis malis se deflectens bonum eligeret. ego autem utrorumque sententiam reddidi hanc ob rem quod altera arcere possit a futuris malis, altera advertere possit a peiore ad melius, et neutram ut inferiorem damno.

Sed id quod mihi dicere oratio tendebat, receptis regiis sceptris Constantinus Ducas coegit collegia urbis et orationes clementia refertas habuit ad eos, cum diceret: me, viri, cum regem reddiderit terrenum ille qui in coelis regnat omnium maximi honoris fecit participem. ego autem non fallam datas illi promissiones, sed clemens et humanus ero, pater adolescentibus, et aequalibus frater, et scipio senibus et puer constitutione et aemulatione naturae. eveniet autem in

βακτηρία τοῖς γέρουσι, καὶ παῖς τῇ διαθέσει καὶ μιμήσει τῆς φύσεως. εὐθηνήσετε δὲ ἐν ἐμοί, καὶ τὸ προφητικὸν πληρωθήσεται· ἀλήθεια γὰρ ἐκ τῆς γῆς ἀνατελεῖ, καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διακύψει, καὶ οὐδεὶς ἔσται καθάπαξ ἐπὶ τῶν ἡμῶν ἡμερῶν ὁ στεναγμῷ καὶ κλαυθμῷ καὶ στερήσει ἀδίκῳ συγχυθησόμενος." ταῦτα εἰπών, καὶ συναποκρύψας ἑαυτόν, ὡς ἔθος τοῖς βασιλεῦσι, παραπετάσματι σὺν εὐφημίᾳ, μεγίσταις ἐλπίσι καὶ φιλανθρώποις μετέωρον εἰργάσατο τὸ ὑπήκοον. τὸ δ' ἀπὸ τοῦδε τῆς τῶν πραγμάτων ἐχόμενος ἀντιλήψεως ἀνθαμιλλωμένῳ ἐῴκει τοῖς ἑαυτοῦ καὶ προχαράττειν ἄλλ' ἄττα, τοῦ ἐπιεικοῦς καὶ μετρίου μὴ ἀφιστάμενος. πεποίηκε δὲ καὶ τιμήσεις, καὶ ἦσαν οἱ τιμηθέντες πολλοὶ τῶν τε τῆς ἀγορᾶς καὶ τῆς συγκλήτου βουλῆς. ἀνώρθωσε δὲ καὶ τοὺς ἤδη παρὰ τοῦ πρὸ αὐτοῦ βεβασιλευκότος τῶν οἰκείων ἐκπεπτωκότας τιμῶν· καὶ γὰρ ἐκεῖνος τοὺς τῷ καθαιρεθέντι παρ' αὐτοῦ βασιλεῖ προσῳκειωμένους πολλοὺς ὅσους παγανοὺς ἐξ ἐντίμων ἀπέδειξε, καὶ εἰς τὰς σφῶν αὐτῶν ἀξίας πάλιν ὁ Δούκας ἀνεκαλέσατο.

Ἔτι δὲ τοῦ κράτους αὐτῷ συναυξανομένου ἐπέστη τὰ τῆς ἐπετείου ἑορτῆς τοῦ ἐν μάρτυσι περιωνύμου ἁγίου Γεωργίου. μετὰ δὲ τὴν τοῦ θείου πάσχα σωτήριον ἐπιφοίτησιν καὶ ὁ βασιλεύς, ὡς ἦν ἀπὸ τοῦ Μονομάχου τεθεσπισμένον f. 181 r. τοὺς κατὰ τὴν ἡμέραν βασιλεῖς εἰς τὸ τοῦ ἁγίου φοιτᾶν

1. παῖς] πᾶσι πάντα? 2. εὐθηνήσεται C.

me et vaticinium confirmabitur: veritas enim e terra orietur et iustitia e coelo se deflectet, neque quisquam omnino erit nostris temporibus gemitu et fletu et raptu iniusto confusus. haec cum diceret et occultaret se ut mos est regibus tegmine cum benedictione, maximis exspectationibus et humanis elatos reddidit subiectos. deinde autem imperio recepto videbatur certare secum, et adumbrare invicem clementiam et modestiam non desistebat. fecit autem etiam honores: et erant honorati multi ex iis, qui in foro et senatu erant. restituit autem etiam eos qui iam a superiore rege patria eiecti erant honorans. etenim ille quam plurimos, qui regi a se sublato familiares fuerant, in paganos mutavit ex honoratis, atque hos in ipsas eorum dignitates rursus Ducas revocavit.

Iam vero robore ei aucto instabat festus dies, qui quotannis celebratur, illustris inter martyres sancti Georgii. post divini autem festi faustum adventum etiam rex ut erat inde a Monomacho imperatum, ut qui tum essent reges ad sancti irent martyrium, ubi ipse aedificia splendida et pretiosa et regibus apta constituerat, ut igitur ex-

μαρτύριον, ὅπου περ αὐτὸς οἰκοδομὰς λαμπρὰς καὶ πολυτελεῖς καὶ βασιλεῦσι προσηκούσας ἐπήξατο, πληρῶν ἐντολὴν αἰδοῖ τοῦ ἐντειλαμένου, μᾶλλον δὲ τῇ τοῦ μάρτυρος ἐπευφραινόμενος ἑορτῇ καὶ κομίσασθαι μέλλων τὸ προσωρισμένον τάλαντον ἐπὶ δεξιώσει τῆς παρουσίας, παρεγένετο θύσων αὐτῷ βασιλικῶς τὴν τιμήν. καὶ μέντοι καὶ τὴν ἑορτάσιμον ἡμέραν διηνεκῶς ἐπέμενεν ἐκεῖσε, τὴν διαγωγὴν οὐκ ἀηδῆ καθορῶν· τινὲς δὲ τῶν τῆς βασιλευούσης κακοήθως διατεθέντες, ὡς τοῦ βασιλέως χαρακτῆρας παραγυμνοῦντος οὐκ εὐγενεῖς καὶ ἀστατοῦντος τοῖς λόγοις καὶ πρὸς τὸ βασιλικὸν ὀλισθαίνοντος χάρισμα, τὸ δὲ καὶ μεταβολῆς ἐρῶντες ἐλπίδι λημμάτων καινῶν, βουλὴν πονηρὰν ἐξαρτύσαντες ἄρτι προβεβουλευμένην αὐτοῖς, μεταδιδόασι τῆς λύμης αὐτῆς οὐ μόνον στρατιωτῶν τισὶ τῶν περὶ τὴν ἤπειρον ἀλλὰ καὶ τοῖς ἀπὸ τοῦ βασιλικοῦ στόλου καὶ τῆς κατὰ θάλασσαν δορυφορίας τε καὶ δυνάμεως. καὶ ἦν αὐτοῖς διεγνωσμένον τε καὶ συγκείμενον ἵνα τοῦ βασιλέως ἔτι ταῖς μαρτυρικαῖς ἐμφιλοχωροῦντος σκηναῖς ὀρθριώτερον, πρὸ τοῦ διαγελᾶν ἀπάρξασθαι τὴν ἡμέραν, οἱ μὲν σὺν ἀλαλαγμῷ καὶ βοῇ καὶ θορύβῳ μεγίστῳ τὰς τῆς πόλεως πλατείας διαταράξωσι, καὶ ταῖς φρουραῖς προςβαλόντες ἀνάστατον ἅπαν τὸ ἔμφρουρον ἀπεργάσωνται, καὶ πολλοὺς τῶν ὁμοίων πρὸς ἀνταρσίαν διερεθίσωσιν, οἱ δὲ τῆς βουλῆς αὐτοῖς συμμετέχοντες ναυτικοὶ τοῖς ἀκατίοις πρὸ τῶν ἄλλων προσοκείλωσι τῇ χέρσῳ τῶν μαρτυρικῶν ἐκείνων σκηνῶν, καὶ

2. πλ. τὴν ἐντολήν?

pleret imperatum reverentia imperantis, magis etiam ut festo martyris delectaretur, et tradere volens definitum talentum ad salutationem praesentiae, adfuit, sacrificaturus ei regie honorem et festum diem assidue remansit ibi, victum non iniucundum spectans. quidam autem contra imperium male dispositi, quasi rex mores denudaret minime nobiles, et infirmus in orationibus, et regii favoris oblivisceretur, tum etiam mutationis cupidi spe commodorum novorum, consilium malum instruentes nuper excogitatum a se, communicant ignominiam non solum cum militum in continente quibusdam, sed etiam cum militibus regiae classis et navalis armaturae et exercitus: atque erat ab iis agnitum et statutum, ut rege adhuc in martyrii versante tentoriis antequam illucescere coepisset, alii bellico cantu et clamore et tumultu maximo urbis vias perturbarent et praesidia aggressi desertum omne praesidium facerent et multos similium ad seditionem excitarent, alii autem consilii iis participes navales milites lintribus ante ceteros appellerent martyrii illis tentoriis et regem appropinquantem belli tumultu exterritum et ad regiam aditurum seque confirmaturum contra

τὸν βασιλέα κατιόντα τῷ κυδοιμῷ κατεπτοημένον, καὶ πρὸς τὰ βασίλεια μέλλοντα παραγενέσθαι καὶ κατασφαλισθῆναι πρὸς τὴν ἐπιβουλήν, ὃ πάντως ἀναγκαίως ποιῆσαι τοῦτον προέκειτο, ὑποδέξωνταί τοῖς ἑαυτῶν ἀκατίοις καὶ πελάγιοι γενόμενοι τῷ βυθῷ παραδώσουσι. καὶ ἦν ἡ γνώμη δεινή τις καὶ ἄφυκτος, καὶ πανταχόθεν σοβοῦσα τὸ θήραμα καὶ πλεκτάναις κατά γε τὴν ἀνθρωπίνην ἀσθένειαν τοῦτον συγκατασχεθῆναι καὶ θηραθῆναι συνάγουσα. τοῦ δὲ διασκεδάζοντος βουλὰς ἐθνῶν καὶ λογισμοὺς ἀθετοῦντος ἀρχόντων Κυρίου ἀπερίτρεπτος μένουσα ἡ βουλὴ τὰς τῶν γηΐνων σκαιωρίας παρέσφαλε, καὶ παρ' ἐλπίδα τὴν σωτηρίαν τῷ ἀπεγνωσμένῳ παναρχικῶς ἐχαρίσατο. ὡς γὰρ ἡ στάσις ἀνῆψε καὶ θόρυβος ἀνερριπίσθη πολύς, αἵ τε ἀγγελίαι φθάνουσαι ἑτέρα τὴν ἑτέραν τῷ βασιλεῖ προσεφοίτησε, καὶ ὁ δῆμος ἅπας συνεκροτεῖτο καὶ συνηθροίζετο, καὶ ταραχῆς ὑπῆρχον τὰ κατὰ τὴν πόλιν ἀνάμεστα καὶ συγχύσεως συσκευασάμενος οὗτος ὁ βασιλεὺς ἅμα τῇ Αὐγούστῃ καὶ τοῖς ἐξ αὐτῶν γεννηθεῖσιν εἰς τὴν γείτονα κατῆλθον ἀκτήν, καὶ μὴ εὑρόντες τῶν βασιλικῶν πλοίων τινὰ εἰς τὸ προσορμίσαν νέον ἔκ τινος ἀπροόπτου καὶ δεξιᾶς τύχης, μᾶλλον δὲ προνοίας ἀρρήτου θελήματος, ἀρχοντικὸν πλοιάριον, ὡς εἶχον σπουδῆς, ἀνέβησαν. καὶ τῶν βασιλείων εὐθὺ τῆς εἰρεσίας ἀγούσης ἐπικατέλαβε τὸ τῆς ἀνοσίας βουλῆς μετεσχηκὸς ἀκάτιον, τὸν βασιλέα προκαλούμενον εἰσελθεῖν ἐν αὐτῷ ὡς σπουδαιότερον δῆθεν ἀχθη-

16. οὕτως? 22. ἐπικατέλαβον C.

insidias, id quod omnino necessario hunc facturum apparebat, exciperent suis lintribus et si in alto essent gurgiti traderent. atque erat sententia dira et inevitabilis et undique terrens feram, et plagis pro hominum infirmitate hunc ut contineretur et peteretur adducens. destruentis autem sententias gentium et rationes tollentis principum domini firma sententia mortalium impia consilia aberrantia reddidit et praeter spem salutem desperato omnipotenter donavit. cum enim seditio flagraret et tumultus magnus excitaretur, et nuntii alius alium anteveniens ad regem deferrentur, et populus omnis conveniret et cogeretur, et turbationis esset urbs plena et confusionis: se paravit hic rex simul cum Augusta et suis liberis et devenerunt ad vicinam ripam et cum non invenirent regiarum navium ullam navigium imperatorium quod nuper appulerat pro quadam improvisa et dextra fortuna, sive potius tacita providentiae voluntate, ut erant studio incitati, ascenderunt. atque cum regias remis peterent assecuti sunt participem impii consilii lintrem, provocantem regem, ut in eum ingrederetur, ut-

σόμενον δι' αὐτοῦ. ὡς δ' ἀπεπέμπετο καὶ κατὰ χώραν ὁ θηρευόμενος ἔμενε, καί τι προύργου πράξειν ἀπηναισχύντουν οἱ ἐν αὐτῷ, προσαράσσειν ταῖς κώπαις οὐκ ἐξ εὐπλοίας σχηματιζόμενοι. διασωθέντος τοίνυν τοῦ βασιλέως ἀθιγοῦς ἐν τοῖς ἀνακτόροις, ἐπεὶ καὶ ὁ τούτου αὐτάδελφος διὰ τῆς ἀγορᾶς προῄει προπορευομένων αὐτοῦ καὶ περικυκλούντων στρατιωτῶν ἐγχεσιμάχων, διάλυσιν ἐλάμβανε τὰ τῆς στάσεως·
f. 181 v. τοῦ γὰρ ἄλλου πλήθους τῆς πόλεως μὴ συναποστατῆσαι θελήσαντος καὶ συνδιαφθαρῆναι τῇ τῶν ἐπιβούλων σκαιότητι, φόβος κατέσχεν αὐτούς. καὶ οἱ μὲν ἐπισημότεροι καὶ τὰς ὡπλισμένας ἤδη παραγυμνώσαντες τῷ μεγάλῳ καὶ περιωνύμῳ ναῷ τῆς τοῦ θεοῦ σοφίας προσέδραμον, τὴν περὶ ψυχῆς σωτηρίαν τῶν ἄλλων ἁπάντων, χρημάτων τέ φαμεν καὶ κτημάτων, ἀνταλλαττόμενοι· οἱ δὲ λαθεῖν οἰηθέντες ἐπὶ τὰς ἑαυτῶν κατοικίας καὶ συναυλίας ἑτέρας διεσκεδάσθησαν. ἐξῆλθε δὲ καὶ ὁ τῆς πόλεως ἔπαρχος μετὰ τὸ τὴν πολλήν, τὸ τοῦ λόγου, τυφθεῖσαν θάλασσαν, τὸ φλεγμαῖνον καὶ αὐτὸς καταστέλλων, καὶ συνεμίγη τῷ τοῦ βασιλέως ὁμαίμονι κατὰ τὴν ἀγορὰν προοδεύοντι. ἦσαν γὰρ ἀναλαβόμενοι πάντες ἑαυτούς, καὶ τούτων συγκροτοῦντες τὰ νικητήρια, καὶ τοῖς βασιλεῦσι τὸ κράτος ἐπικροτοῦντες, καὶ σὺν εὐφημίαις καὶ θυμιάμασι πλείσταις τὴν προπομπὴν ἐργαζόμενοι.

Ὡς δὲ κατάστασις ἔσχε καὶ νηνεμία τουτὶ τὸ κλυδώνιον, καὶ παντελὴς πληροφορία τοῖς περὶ τὸν βασιλέα καὶ

pote qui studiosius eo ferretur. cum autem valere iuberet eos et in loco suo petitus maneret, etiam longius quid facere eos non puduit, remis infligere, quod non propter faustam navigationem signum faciebant. servato igitur rege intacto in regia, cum etiam huius frater per forum progrederetur anteeuntibus ei et stipantibus eum militibus armatis, dissolvebatur seditio. cum enim reliqua multitudo urbis nollet cum iis deficere et deleri insidiantium temeritate, metus eos tenuit. atque illustriores qnidem vel ordines armatos derelinquentes iam ad magnum et clarum sapientiae dei templum accurrerunt vitae salutem ceteris omnibus rebus, pecuniis scilicet et bonis, mutantes, alii autem latere se putantes in suas domos et deversoria alia dispersi sunt. egressus autem est etiam urbi praefectus post multum ictum mare ut est in proverbio flagrans et ipse compositurus et accessit ad regis fratrem in foro procedentem: recollegerant enim se omnes, et horum comparabant victoriae praemia, et regibus victoriam applaudebant et laudibus et thure multo pompam faciebant.

Postquam autem compositio tenuit et ventorum tranquillitas

αὐτῷ βασιλεῖ γέγονεν ὡς μερική τις δυσβουλία καὶ συνέλευσις συνετάραξε τὸ ὑπήκοον, οὐχὶ συνθήκη κοινὴ καὶ συγκίνησις ἐξεπολέμωσε τοῦτον, καὶ θάρσους ἐνεπλήσθησαν, εἰς ἔρευναν εὐθὺς διανέστη καὶ τῶν τετολμημένων ἐκδίκησιν ὁ κρατῶν. καὶ ἐπεὶ λαθεῖν οὐκ ἐνῆν τοὺς τοσούτου κακοῦ πρωτεργάτας καὶ στασιαστὰς καὶ συνίστορας, ἤγοντο τούτων συχνοί, καὶ καθοσιώσεως εἰς βασιλέα φερομένης ἐκρίνοντο. καὶ οἱ μὲν εἱρκταῖς δημοσίαις, οἱ δὲ ἀμειδέσιν οἰκίσκοις ἐδίδοντο. ἄλλοι δὲ τούτων τὸν θάνατον ἐκκλῖναι σπουδάζοντες, ὑποσχέσεσιν ἐλευθερίας σαινόμενοι, προεδίδουν ἑτέρους. καὶ καθ' ἑκάστην συνελαμβάνοντο συχνοί, καὶ φόβος εἶχε τοὺς πλείστους ἵνα μὴ συλληφθῶσι κατηγορούμενοι. τέως δὲ μαστιγώσας τούτων τινὰς ὁ κρατῶν, καὶ εἰς φῶς τοὺς ἐπιβούλους προαγαγὼν οὐδὲ πρὶν ἀγνοουμένους διὰ τὸ ἐκραγῆναι τὸ μελετώμενον, φυγῇ τούτους καὶ δημεύσει προσεζημίωσε, μηδένα δι' αἵματος τιμωρήσασθαι ἀνασχόμενος, ἀλλ' εὐψύχως τὴν παροινίαν καὶ μετριώτερον ἐνεγκών. πρὸ δὲ πάντων ὁ εἰρημένος ἔπαρχος, συνειδότος κατηγορηθεὶς καὶ κριθείς, ὑπερορίᾳ καὶ δημεύσει κατὰ τὴν αὐτὴν ἡμέραν τῆς ταραχῆς ὑπεβλήθη, εἰσιὼν μὲν εἰς τὰ βασίλεια ὥς τι τῶν δεόντων κατορθωκὼς καὶ τὸ στασιάζον κατευνακώς, ἀφαιρεθεὶς δὲ τὴν ζώνην καὶ τὰ παράσημα καὶ κατάκριτος ἀπροσδοκήτως γενόμενος.

3. τοῦτο? 5. τοσούτους C.

hunc aestum et omnino persuasum est regiis et regi ipsi, partis quandam malevolentiam et conspirationem turbasse subiectos, neque vero pactionem communem et coniurationem hunc bello induxisse, et animo impleti sunt, ad inquisitionem statim surrexit et inceptorum ultionem imperator. atque cum non latere possent tanti mali auctores et seditiosi et conscii, deprehendebantur horum multi et dedicatione ad regem lata iudicabantur, atque alii quidem vinculis publicis, alii tristibus aedificiis tradebantur, alii autem horum mortem evitare studentes promissis libertatis molliti prodebant alios, et quotidie capiebantur multi, et metus tenebat plurimos, ne caperentur accusati. postquam autem per tempus aliquod castigavit horum quosdam imperator et in lucem insidiantes produxit, quos ne antea quidem ignoraverat cum consilium prorupisset, exsilio hos et publicatione punivit, neminem sanguine se puniturum pollicitus, sed generose iniuriam et moderatius ferens. Ante omnes autem commemoratus praefectus conscientiae accusatus et damnatus exilii et publicationis eodem die turbae inductus est, ingressus in regiam, quasi aliquid necessariorum bene fecisset et seditionem composuisset, privatus autem cingulo et insignibus et damnatus praeter exspectationem factus.

Ἐπόθησε δὲ τῶν ἄλλων ἁπάντων ὁ βασιλεὺς ἐπέκεινα τήν τε τῶν δημοσίων χρημάτων ἐπαύξησιν καὶ τῶν ἰδιωτικῶν δικῶν τὴν ἀκρόασιν καὶ τούτοις τὴν μείζονα φροντίδα κατεκένου τῆς βασιλείας, τῶν ἄλλων ἧττον βασιλικῶν ἀντεχόμενος, στρατιωτικῶν φημὶ καὶ στρατηγικῶν πλεονεκτημάτων καὶ τῆς ἐντεῦθεν εὐδοξίας, τοῖς εἰρημένοις πολιτικοῖς εὐδοκιμεῖν προαιρούμενος. διὰ δὴ ταῦτα καὶ συκοφαντικαῖς ἐπηρείαις καὶ σοφιστικαῖς μεθόδοις καὶ δικανικῶν προβλημάτων ἑσμῷ καὶ σεκρετικῶν ζητημάτων ἐπιπλοκαῖς τὸ Ῥωμαϊκὸν ἐκλονεῖτο, καὶ κοινῇ μελέτη τοῖς ἅπασι τὸ κατορθῶσαι τὰ τοιαῦτα ἐγίνετο, ὡς καὶ αὐτοὺς στρατιώτας μεταβαλεῖν καὶ μεταμαθεῖν τὰ πρὸς τὴν τούτων γνῶσιν παράγοντα. καὶ τοῦ βασιλέως εὐπροσίτου καὶ μετριόφρονος ὄντος καὶ ἧττον περὶ τὸ σῶμα κολαστικοῦ καὶ τὰ περὶ τὸ
f. 182 r. θεῖον εὐσεβεῖν δοκοῦντος ὡς μάλιστα φιλοπτώχου τε πέρα τοῦ δέοντος καὶ φιλομονάχου καθισταμένου, καὶ διεπτοημένου περὶ τὰ ἱερά, ἡ πρὸς τὰ λεχθέντα ἕτερα κεφάλαια εὔνοια τὴν τῶν τοιούτων προτερημάτων ἤμβλυνεν ἐπιμέλειαν, καὶ κατὰ σφᾶς αὐτὰς ἀρετὴ καὶ κακία περὶ τὸ αὐτὸ ὑποκείμενον μονονουχὶ ἐστασίαζον. ἐνίκα δὲ παρὰ πολλὰς ψήφους τὸ δυσπαθές, ὅσῳ καὶ πλείονι μερίδι ἐφήπλωτο. τὸ γὰρ εὐσεβὲς καὶ τὸ φιλόπτωχον ἅμα καὶ φιλομόναχον καὶ τὸ μὴ πρὸς κόλασιν δι' αἵματος ἕτοιμον, καὶ αὐτὸ τὸ εὐπρόσιτον, ἐπαίνων μὲν οὐδεὶς ἦν ὁ μὴ ἀξιῶν, πλὴν ἀλλὰ τῷ ἔχοντι μόνῳ τὴν ὀνη-

4. ηττων· C.

Cupivit autem praeter cetera omnia rex et publicarum rerum accesionem et privatarum actionum auditionem: et his maiorem curam exhauriebat imperii, aliis negotiis regiis minus deditus, militaria dico et imperatoria commoda, et proinde capienda gloria commemoratis civilibus rebus ut nobilis fieret magis optans. propterea igitur sycophanticis minis et sophistarum instar factis artificiis et litium multitudine et secretorum quaestionum implicationibus Graecus populus agitabatur et commune studium omnibus corrigendi talia oriebatur, ut etiam ipsos milites ut mutarent et aliter discerent horum cognitionem adducunt. Et cum rex facilis esset et modestus et minus corpus castigans et erga divina pius videretur quam maxime et pauperum amans supra necessitatem et monachorum esset et timidus circa sacra, benevolentia in commemoratis aliis gravissimis rebus visa talium virtutum curam debilitabat, et in iis ipsis virtus et vitium circa idem subiectum paene seditiosa erant. reportabat autem victoriam multis sententiis indignatio, quo etiam maiore parte divulgata erat. quod enim pius erat et pauperum simul et monachorum amans neque ad castigandum sanguine promptus et affabilis esset, haec nemo erat, quin laudibus dignaret; sed haec ei soli, qui ea haberet, utilitatem afferre iudicabant, et

σιν ἐπιφέρειν ἐδοκιμάζοντο, καί τισιν ὀλίγοις τῶν προσιόντων ἢ ὁμαλῶς προσδεχθέντων αὐτῷ· τὸ δὲ φειδωλὸν καὶ ἄγαν ποριστικὸν τῶν δημοσίων χρημάτων, ἔστιν οἷς καὶ οὐκ ἐν εὐπροσώποις αἰτίαις, καὶ τὸ κατ' ἐξουσίαν δικαστικόν, καὶ τὸ καταφρονητικὸν τῆς στρατιωτικῆς εὐπραγίας καὶ στρατηγικῆς καὶ ἀκρητικῆς εὐπαθείας πολλῶν καὶ σχεδὸν ἁπάντων τῶν ὑπὸ Ῥωμαίοις τελούντων λυμαντικὸν ἐψηφίζοντο. ἠγείρετο γὰρ πολὺς γογγυσμὸς τῶν τε καταδικαζομένων οὐ νομικῶς καὶ τῶν κατηγορουμένων σοφιστικῶς, καὶ τῶν ἀπαιτουμένων εἰς τὸ δημόσιον ἐνίοτε ἀχρεώστητα, καὶ τῶν δεχομένων φορολογικὰς ἐπαυξήσεις ἐπαρχιῶν, καὶ τῶν καταδρομὰς ὑφισταμένων βαρβαρικὰς διὰ τὸ μὴ κατὰ λόγον τὸν στρατιωτικὸν κατάλογον γίνεσθαι. ἐλέγετο δὲ μὴ τῆς τοῦ βασιλέως φύσεως ἔργα ταῦτα (εἶναι γὰρ τοῦτον πρὸ τῆς ἀρχῆς ἄφθονον τὰ πάντα καὶ ἀπειρόκακον καὶ τῆς ἐλεημοσύνης ὁλοσχερῶς ἐφαπτόμενον), ὑποφθορᾶς δὲ τινῶν καὶ παραινέσεως φιλοπράγμονος, ὅσοι τῆς πρὸς τὰ βασίλεια οἰκειώσεως μεῖζον οὐδὲν οὐδ' ὑπέρτερον ἥγηνται, ἵνα τὸ εὐμενὲς τοῦ κρατοῦντος συλήσωσιν.

Ἀλλ' οὔτε τὸ τῆς ἀρετῆς τοῦ βασιλέως μέρος ἀγέραστον οὔτε τὸ ἄλλως ἔχον ἀνώλεθρον τῇ Ῥωμαϊκῇ ἐπικρατείᾳ διαμεμένηκε. περὶ μὲν γὰρ τῶν ἐντός, ὅπως καλῶς ἔσχε τῷ βασιλεῖ, καὶ ὡς ἦν αὐτῷ βουλητόν, τῶν παίδων ὧν μὲν ἰδιωτῶν

16. παραινέσεων C.

nonnullis paucis eorum, qui ad eum accederent et benigne ab eo exciperentur. quod autem parcus erat et nimis comparans publicarum rerum nonnunquam etiam non speciosis causis, et quod ex potestate iudicem agebat, et contemnebat militarem fortunam et imperatoriam et rei iudiciariae bonum statum multorum et fere omnium in Graecorum censum adhibitorum, perniciosum censebant. excitabatur enim multa indignatio eorum, qui damnati erant non ex lege, et qui accusati modo sophistarum et a quibus exigebantur in aerarium non debita et provinciarum, quae accipiebant vectigalium accessiones, et eorum, qui incursiones sustinebant barbarorum cum sine electione delectus militum fieret. dicebantur autem non regis naturae esse haec facta: esse enim hunc ante imperium liberalem omnino et vitiorum expertem et miserationi prorsus deditum, exitio tamen quorundam et adhortationibus multum agentibus, quotquot regia benevolentia maius nihil neque altius putant, ut clementiam imperatoris auferant.

Sed neque pars virtutis regis inhonorata neque aliter comparata exitii expers Graeco imperio mansit. nam de rebus domesticis, quomodo bene se haberent regi, et quomodo esset ab eo prospectum li-

συνανελθόντων τούτῳ εἰς τὰ ἀνάκτορα καὶ συμβασιλεύειν γεγενημένων, ὧν δὲ μετὰ τὴν βασιλείαν γεννηθέντων καὶ αὐτόχρημα βασιλέων ἀναδειχθέντων καὶ τῇ πορφυρίδι κατὰ τὸν τῶν Ῥωμαίων ἐθισμὸν συναναδοθέντων, καὶ τοῦ τῆς Αὐγούστης ἐν ἐαριζούσῃ τῇ ἡλικίᾳ ἄνθους, οὐ πολὺς λόγος οὐδὲ παράθεσις πρὸς τὴν τῶν ἀντικειμένων τουτωνὶ ἅμιλλαν. τὸ δὲ εἰς κοινὸν ἧκον ὄφελος ἐξεταστέον ὡς προδιείληπται. τῆς μὲν γὰρ κακίας ταῦτα ἐπίχειρα. κατὰ μὲν τὴν ἑῴαν ἐληίζοντο πάντα καὶ διεφθείροντο. τῇ δὲ τῶν Νεφθαλιτῶν Οὔννων ἤτοι τῶν Τούρκων ἐπιδρομῇ καὶ κατισχύσει, καὶ τῇ βιαίᾳ ὑποχωρήσει καὶ δείματι τῶν ἠμελημένων στρατιωτῶν ἐκ τοῦ Ῥωμαϊκοῦ καταλόγου, καὶ συνεχεῖς ὑπῆρχον αἱ ἐκδρομαί. καὶ ἡ εὐδαίμων χώρα τῆς Ἰβηρίας παντελῶς κατηρείπωτο, ἤδη προκατειργασμένη ὡς εἴπομεν. μετελάμβανον δὲ τοῦ δεινοῦ καὶ ὅσαι ταύτῃ παρέκειντο, Μεσοποταμία τε καὶ Χαλδία, Μελιτηνὴ καὶ Κολώνεια καὶ τὰ τῷ Εὐφράτῃ συγκείμενα ποταμῷ· καὶ εἰ μὴ στρατεύμασιν ἐνίοτε, μᾶλλον δὲ φήμαις δυνάμεων διείργοντο τὰ τῶν βαρβάρων, καί τις ἀρχηγὸς τούτων Χωροσάλαρις οὕτω λεγόμενος, ἕτερος δὲ Ζαμούχης, τὴν ἧττω συμβαλόντες τύχῃ τινὶ ἀγαθῇ ἐκληρώσαντο, κἂν καὶ μέχρι Γαλατίας καὶ Ὀνωριάδος καὶ αὐτῆς Φρυγίας τὸ ἀντίπαλον περιέδραμε. καὶ ὅτι μὲν ἀνάγκης κατεπειγούσης ἐστέλλετο στρατιωτικόν, οὐκ ἀπὸ τρόπου· ὅτι δὲ ψιλὸν καὶ

5. ἐνεβριζούσῃ C.

beris, quorum alii privati homines cum hoc in regiam ascenderant et principatus participes facti erant, alii imperio accepto nati et illico reges declarati et purpura ex Graecorum more donati erant, et flori Augustae iuventutis ver degentis, non multus erat sermo neque comparatio cum oppositorum horum certamine. in communem autem societatem quae redundaret utilitas investigandum ut antea diiudicatum sit. improbitatis enim haec est poena: in oriente quidem rapiebantur omnia et delebantur, Neuthalitarum autem Hunnorum sive Turcarum incursione et virtute et coacta fuga et timore neglectorum militum e graeco delectu etiam continui suppetebant impetus, et beata terra Iberiae omnino afflicta est, iam antea confecta ut diximus. participes autem periculi erant etiam quotquot huic adiacebant, Mesopotamia et Chaldaea, Melitene et Colonea, et quae Euphrati fluvio coniuncta erant. atque nisi exercitibus nonnunquam, magis autem fama virium arcerentur barbari et dux aliquis horum Chorosalaris sic dictus et alius Zamuches congressi bona fortuna inferiorem partem sortiti essent, profecto etiam usque ad Galatiam et Onariadem et ipsam Phrygiam hostes accurrissent. atque quod necessitate urgente instrueretur exer-

ἀπρόθυμον τῇ τοῦ ὀψωνιασμοῦ ὑστερήσει, εἰπεῖν δὲ καὶ τὸ κάκιστον μέρος, ὡς τῶν κρειττόνων ἀπελαυνομένων τῆς στρατείας διὰ τὸ μείζονος τυγχάνειν βαθμοῦ τε καὶ ὀψωνιασμοῦ, f. 182 v.
καταγνώσεως οὐκ ἀπῆν τὸ γενόμενον, μηδενὸς γενναίου κατορθουμένου, καὶ τῆς Ῥωμαϊκῆς ποτὲ μεγαλοπρεπείας καὶ ἰσχύος ἀνάλογον. ἐξ οὗ συνέβαινε τοὺς μὲν Ῥωμαίους δυσπαθεῖν καὶ καταπληκτικοὺς ἡγεῖσθαι τοὺς ἐναντίους καὶ μηδὲ φωνὴν ὑπομένειν αὐτῶν, ἐκείνους δὲ ἐναβρύνεσθαι καὶ ἀγερωχεῖν καὶ μετὰ πολλῆς προσρήγνυσθαι πεποιθήσεως, ὡς πρὸς ἡσσηθέντας πολλάκις ποιουμένους τὸν πόλεμον. ἐξ οὗ καί τι συνηνέχθη παραλογώτατον καὶ οὐκ ἀνίαν μόνον ἀφόρητον ἀλλὰ καὶ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐπιφέρον ἐλάττωσιν καὶ ἰσχύος μεγίστης ἀφαίρεσιν.

Τὸ Ἀννίον πόλις ἐστὶ μεγάλη καὶ πολυάνθρωπος, καὶ πανταχόθεν τάφροις οὐ χειροποιήτοις ἀλλὰ φυσικαῖς κοιλάσι καὶ ἀδιεξοδεύτοις καὶ πέτραις ἀποτόμοις συμπεριειλημμένη, καὶ ποταμῷ βαθυδίνῃ καὶ ἀβάτῳ περιεζωσμένη τὸ μέρος καθ' ὅπερ ἀπορρῶγες καὶ φάραγγες ἐπιλείπουσι· καὶ βραχύς ἐστι τόπος ὁ τὰς ἀμφόδους ἔχων τῆς πόλεως, καὶ οὗτος μετεώροις καὶ ἰσχυροῖς κατωχύρωται τείχεσι. ταύτην ὁ τῆς ἀοιδίμου λήξεως βασιλεὺς ὁ Μονομάχος ἀξιομάχῳ πρότερον στρατιᾷ παραστήσασθαι διαγωνισάμενος οὐκ ἠδυνήθη· συνθήκαις δὲ καὶ με-

6. ἀνεύλογον C.

citus non erat extra rationem, quod autem nudus et invitus propter commeatus defectum, possis etiam dicere, quod pessima esset pars, cum fortiores discederent exercitu, quia maiorem adipiscebantur gradum et commeatum, vituperatione non carebat factum, nulla nobili re peracta, et a Graeca pristina magnificentia et robore absonum erat, qua ex re accidit, ut Graeci angerentur et terribiles putarent hostes atque ne vocem quidem eorum sustinerent, illi autem se iactarent et superbi essent et multa cum fiducia aggrederentur ut contra victos saepe gerentes bellum, qua ex re etiam aliquid contigit maxime inexspectatum, et quod non solum aegritudinem intolerabilem sed etiam Graeci principatus afferret deminutionem et roboris maximi privationem.

Annium urbs est magna et hominum abundans et undique fossis non manu factis sed naturalibus vallibus et exitu carentibus et rupibus praeruptis circumdata et fluvio profundo et inaccesso circumcincta in ea parte, ubi rupes et valles deficiunt, et brevis est locus circumsitam viam continens urbis, atque hic arduis et firmis firmatus est muris. hanc urbem celebratae mortis rex Monomachus pugnaci antea exercitu subiicere contendens non potuit, pactionibus autem et

γίσταις ἐπαγγελίαις τὸν ἄρχοντα ταύτης καταστησάμενος εὔελπιν, συνέπεισε μεταθέσθαι πρὸς τὰ ἡμέτερα καὶ τὴν πόλιν θέσθαι Ῥωμαίοις. καὶ ὁ μὲν μὴ διαψευσθεὶς τὰς ἐλπίδας ἐν εὐπαθείαις καὶ ἁβρότησι καὶ ἀντιδόσεσι κτήσεων καὶ ἀξιωμάτων μεγίστων τὸν βίον εἷλκεν ἐπέραστον· ἡ δὲ πόλις, χώραν τε πολλὴν ἔχουσα καὶ πολίχνια ὑπ' αὐτήν, δουκικῇ κατεκοσμήθη ἀρχῇ, πρὸς τοῖς Συριακοῖς τοῦ Τιβίου διακειμένη ὁρίοις, καὶ ἦν ἡμῖν χαράκωμα μέγιστον καὶ ἀποτροπὴ τῶν ἐκεῖθεν εἰσβάλλειν μελλόντων βαρβάρων εἰς τὴν Ἰβηρικήν. τὸ δὲ φειδωλὸν τοῦ κρατοῦντος καὶ ταύτης τοὺς Ῥωμαίους ἐστέρησεν· ἐπεὶ γὰρ σιτηρέσιον καὶ ὁ ἐν ταύτῃ σατράπης ἐλάμβανε, προσελθών τις Ἀρμένιος Παγκράτιος οὕτω καλούμενος τῷ βασιλεῖ, συντίθεται τούτῳ καὶ ὑπισχνεῖται χωρίς τινος ἀπολήψεως τὴν τοιαύτην ἀρχὴν μετελθεῖν καὶ κρειττόνως συντηρῆσαι τὸ ἄστυ, καὶ ὅση τούτῳ παραπέφυκε σύγκτησις. καὶ λαμβάνει τὸν βασιλέα τῇ ὑποσχέσει συνεπινεύοντα, καὶ δοὺξ ἀποδείκνυται, καὶ καταλαμβάνει τὴν ἐν τούτοις ἡγεμονίαν. ἀναξίως δὲ τὰ πράγματα διοικῶν, καὶ μήτε τῇ ἀκροπόλει σῖτον ὡς τὸ εἰκὸς προμηθούμενος μήτι ἄλλο τι ἢ πολεμικὸν ἢ πολιτικὸν ὀρθῶς καὶ βεβαίως ἐμπορευόμενος, εἰς μεγάλους κινδύνους τὴν θαυμασίαν παρενέβαλε πόλιν. παροδεύων γὰρ ὁ σουλτάνος ἐκεῖθεν πανστρατιᾷ (τοῦτο γὰρ ἦν ὄνομα τῷ τούτων ἐξάρχοντι) παρ'

maximis promissis ducem huius reddens spe elatum persuasit ei ut transiret ad nostros et urbem Graecis traderet, atque hic quidem non fallebatur exspectationibus et in luxuria et mollitie et donis possessionum et dignitatum maximarum vitam traducebat amabilem. urbs autem terram multam habens et oppida sub ea ducali instructa sunt imperio ad Syriacos Tibii constituta fines. atque erat nobis castellum maximum, et defensio contra ingredi inde volentes barbaros in Iberos. parsimonia autem imperatoris etiam hac Graecos privavit. cum enim commeatum etiam huius satrapa acciperet, adiens quidem Armenius Pancratius sic vocatus regem paciscitur cum hoc et promittit sine ullo impedimento tale imperium aditurum se et melius servaturum urbem et quanta ei esset communis possessio et capit regem promisso adnuentem, et dux declaratur et occupat in his imperium, indigne autem res curans neque arci frumentum ut par erat comparans neque aliud quid bellicum aut civile recte et fortiter agens, in magna pericula admirabilem deiecit urbem. praeterveniens enim sultanus inde toto exercitu (hoc enim erat nomen horum principi) ab eo et praeterea misso regio servo nulla necessitate contra talem urbem ad bel-

αὐτοῦ καὶ τοῦ ἐπαποσταλέντος βασιλικοῦ ἀνδράποδος εἰς οὐδὲν δέον κατὰ τῆς τοιαύτης ἐκπεπολέμωται πόλεως. τούτου γὰρ ἀθιγῆ τὴν ὑπὸ Ῥωμαίους παρερχομένου, οὗτοι τῆς οὐραγίας καὶ τῶν ὑστερούντων τῷ κόπῳ φιλοκερδῶς ἐξαπτόμενοι πολλοὺς ἀνῄρουν καὶ τούτους ἐσκύλευον, ἕως ἡ φήμη ταχύτατα πρὸς τὸν σουλτάνον διέδραμεν. ὁ δὲ τὴν ὕβριν μὴ ἐνεγκὼν (ἀνῆπτε γὰρ τὴν ὀργὴν καὶ τὸ τῶν συνόντων αὐτῷ στρατιωτῶν πλῆθος, μὴ ἀνεχομένων τὴν παροινίαν καταλιπεῖν ἀτιμώρητον) θυμοῦ πνέων καὶ ἰταμότητος εἰς τὸ Ἄννιον ἐπάνεισι, καὶ καταστρατοπεδεύει πρὸ τούτου, καὶ τῆς πολιορκίας μετὰ πολλῆς ἀπάρχεται τῆς παρασκευῆς. οἱ δ' ἔνδον φρουρὰν ἱκανὴν μὴ ἔχοντες (περιεῖλε γὰρ καὶ ταύτην χρηματισμὸς οὐκ ἀκίνδυνος ὑποσχομένου τοῦ ἀμίσθου τουτουὶ στρατηγοῦ καὶ ταύτης χωρὶς φυλάξαι καὶ κέρδος τῷ δημοσίῳ ποιῆσαι τὰ ἐν αὐτῇ δαπανώμενα) ἀντέσχον μὲν πρὸς καιρόν, οἷα δ' ἔμποροι καὶ πολεμικῶν μηχανημάτων καὶ προβλημάτων ἀπείρατοι, καὶ ἄρχοντος χηρεύοντες εὐγενοῦς, μᾶλλον δὲ τὴν ἀρχὴν ὁρῶντες διχοστατουμένην καὶ τεμνομένην τῷ τὸ μὲν βασιλικὸν ἀνδράποδον τὸ πᾶν μεθέλκειν εἰς ἑαυτό, τὸν δὲ Παγκράτειον εἰς ἑαυτὸν τὸ κράτος ἀντισφαιρίζειν, καὶ στασιάζον ὁρῶντες τὸ κρατοῦν, ἄλλως τε καὶ πληγέντες ζημίᾳ τὸ πρότερον ἐφ' ᾧ δώροις ἐκμειλίξασθαι τὴν τοῦ πολεμήτορος ἀγριότητα, ταῖς συχναῖς ἀπειρηκότες προσβολαῖς καὶ κατασει- f. 183 r.

15. τὰ δ' ἐν C.

lum excitatus est. hic enim cum praeteriret Graecam terram intactam, hi ultimos et propter fatigationem relictos avare aggressi multos interficiebant et hos spoliabant, donec fama celerrime ad sultanum accurreret. hic autem superbiam non ferens — accendebat enim iram etiam congredientium ei militum multitudo, qui non sustinebant iniuriam relinquere non multatam — animi spirans et audaciae contra Annium ingreditur et castra ponit ante hoc et oppugnationem cum multo instituit apparatu. illi autem intus praesidium idoneum non habentes — abstulit enim etiam hoc administratio non tuta polliciti huius gratuiti ducis se etiam sine hoc eam servaturum — et lucrum aerario facturum — sumtus autem in ea sustinebant per tempus, sed ut mercatores et bellicarum machinationum et difficultatum ignari et duce orbati nobili, magis autem imperium videntes dissidens et dissectum, cum regius servus omne ad se traheret, Pancratius autem ad se potentiam eludere studeret, et dissidentem videntes dominationem, praecipue etiam icti poena antea, quia donis mulcere volebant bellatoris saevitiam frequentibus defatigati incursionibus et concussi destructionibus murorum, in fugam se dederunt, et cognoscentes horum propo-

σθέντες τοῖς σπαραγμοῖς τῶν τειχῶν εἰς φυγὴν ὥρμησαν. καὶ γνόντες τὴν τούτων προαίρεσιν οἱ πολέμιοι ὁμόσε ταῖς πύλαις σὺν ἀλαλαγμῷ πολλῷ καὶ βοῇ διωθήσαντο, καὶ ταύτας καὶ μέρη τοῦ τείχους ἐπιθετικῶς καταστρέψαντες αἱροῦσιν ἀνὰ κράτος τὴν πόλιν, καὶ γίνεται φόνος τῶν ἔνδον ἀμύθητος. οὔτε γὰρ ἡλικίας οὔτε φύσεως οὔθ' αἱρέσεως ἔλεος ἦν, ἀλλὰ πάντες ἥβηδὸν ἀνῃροῦντο, καὶ ποταμὸς αἵματος τὴν οἰκτρὰν ταύτην καὶ δύστηνον κατεδίαινε πόλιν. περιεσώθη δὲ τοῦ κρατίστου ταύτης πολλοστημόριον, σὺν τοῖς κακίστοις ἡγεμόσιν εἰς τὴν ἀκρόπολιν ἀνιόν. τῶν δ' ἐν χερσὶ γενομένων ὅσοι κατά τινα χρηστοτέραν συγκύρησιν τὸν ἐκ τοῦ σιδήρου διέφυγον ὄλεθρον, αἰχμαλωσίᾳ πικρᾷ παρεδόθησαν. ἀλλὰ καὶ οἱ τῆς ἀκροπόλεως μητ' ἐπισιτισμὸν ἔχοντες, καὶ τῇ σπάνει τῶν ἀναγκαίων τρυχόμενοι, ὁμολογίαις ὕστερον ὑποσπόνδοις καὶ μόνης τῆς ζωῆς ἐχούσαις τὴν ἔφεσιν καὶ αὐτοὶ παραδεδώκασι τὸ κρησφύγετον, καὶ γέγονεν ὑπὸ πολεμίοις τοιαύτη πόλις μετὰ τῶν πολιχνίων καὶ τῶν ὑπαίθρων αὐτῶν δι' ἀπληστίαν καὶ χρημάτων ἄκαιρον φυλακήν, μὴ εἰδότος τοῦ βασιλεύοντος ὅτι πολλάκις μὲν ὤνησε καὶ διαφόρως ἄφθονος χείρ, ἐν δὲ τοῖς ἀναγκαίοις διὰ παντός, ὀλιγάκις δὲ κἂν μὴ τοῖς ἀναγκαίοις κατέβλαψε, καὶ ὡς αὐτὸ τὸ ὄνομα τῶν χρημάτων χρῆσιν ἅμα παρυπεμφαίνει καὶ χρησιμότητα.

Καὶ τὰ μὲν κατὰ τὴν Ἀσίαν τοῦτον εἶχε τὸν τρόπον

2. πόλεσι C. 20. ἀναγκαίως C.

situm hostes, recta per portas multo cum clamore et tumultu irruperunt et hanc et partes muri prompta incursione destruentes capiunt vi urbem et oritur caedes eorum, qui intus erant, ingens: neque enim aetatis neque naturae neque benevolentiae misericordia erat, sed omnes vigentes interficiebantur et flumen sanguinis miserandam hanc et infelicem irrigavit urbem. aufugit autem fortissimorum huius minima pars cum pessimis ducibus in arcem ascendens: captorum autem, qui feliciore casu ferri mortem effugerent, captivitati acerbae traditi sunt, sed etiam qui in arce erant, neque commeatum habentes et inopia necessariorum confecti pactionibus postea per inducias factis et solius vitae habentibus concessionem et ipsi tradiderunt confugium et fuit sub hostibus haec urbs cum oppidis et campis ipsis propter insatiabilitatem et divitiarum intempestivam custodiam, nesciente rege, saepenumero profuisse et tempestive benignam manum, in necessitate autem omnino, raro autem etiam si non opus esset nocuisse, et nomen ipsum rerum utilium (divitiarum) usum simul significare et utilitatem.

Atque res Asiaticae hoc modo se habebant et ad tantam destru-

καὶ εἰς τοσοῦτον σκυλμὸν περιήγοντο, τῆς ἐπιδρομῆς καὶ τῆς ἐνέδρας μὴ ληγούσης τῶν ἐναντίων· τὰ δὲ τῆς Εὐρώπης ἐνόσουν μὲν καὶ αὐτὰ ταῖς τῶν Πατζινάκων ἐπιδρομαῖς, σχολαίως δὲ καὶ βραδέως καὶ μέρει τινὶ τῷ πρὸς αὐτοὺς πλησιάζοντι. προετέρουν δὲ ἔν τισι προσβολαῖς οἱ Ῥωμαῖοι καὶ ἧττα ἀνελαμβάνοντο. οὐ μὴν οὐδ᾽ ἐκεῖσε κατεπολεμήθη τὸ πολεμοῦν, σπονδαῖς δὲ μόνον εἰρηνικαῖς ἀναστολὴν ἐλάμβανεν ἡ τοῦ ἔθνους ἐπιδρομή. τὰ δὲ τῆς ἀρετῆς προτερήματα ταῦτα.

Τῆς γ' ἰνδικτιῶνος ἐνστάσης, ἐπάρχοντος τῶν κατὰ τὸν Ἴστρον πόλεων τοῦτε μαγίστρου βασιλέως τοῦ Ἀποκάπη καὶ τοῦ μαγίστρου Νικηφόρου τοῦ περιβοήτου Βοτανειάτου, παγγενεὶ τὸ τῶν Οὔζων ἔθνος μετὰ τῆς ἰδίας ἀποσκευῆς τὸν Ἴστρον διαπεραιωθὲν ξύλοις μακροῖς καὶ λέμβοις αὐτοπρέμνοις καὶ βύρσαις, τοὺς διακωλύοντας τὴν τούτων περαίωσιν Βουλγάρους καὶ λοιποὺς στρατιώτας κατηγωνίσαντο, καὶ τοὺς ἡγεμόνας αὐτῶν καίτοι διαγωνισαμένους ἐκθύμως, καὶ μᾶλλον τοῦ Βοτανειάτου, αἰχμαλώτους παρέλαβον, καὶ τὴν ἐκεῖσε πᾶσαν ἐπλήρωσαν ὕπαιθρον· συνεψηφίζετο γὰρ τὸ ἔθνος εἰς ἑξήκοντα μυριάδας ἀνδρῶν. μοῖρα δέ τις οὐκ ἐλαχίστη τῶν ἐκεῖ σπουδαίως ἀπάρασα τὸ Ἰλλυρικὸν ἅπαν ἄχρι Θεσσαλονίκης καὶ αὐτῆς Ἑλλάδος κατέδραμε καὶ κατεληίσατο, καὶ λείαν ἤλασεν οὐκ ἀριθμητήν. χειμῶνι δὲ πολλῷ πε-

10. τῶν] τοῦ C. correxit interpres.

ctionem (planctum) adducebantur, incursione et insidiis non desinentibus hostium. quod autem Europam attinet, aegrotabant etiam ipsae res Patzinacorum incursionibus, lente autem et pigre et parte quadam iis coniuncta superiores erant in quibusdam impetibus Graeci, et cladem resarciebant, verumenimvero non ibi debellatum est bellum, pactionibus tantum pacificis finem capiebat populi incursio: virtutis autem facta haec erant.

Tertia autem indictione ineunte principibus urbium ad Istrum sitarum magistro regis Apocape et magistro Nicephoro illustri Botaniate tota gente Uzorum populus proprio cum apparatu Istrum traiiciens lignis longis et lembis radicitus factis et pellibus Bulgaros, qui horum transitum arcere vellent, et reliquos milites debellarunt et duces eorum licet pugnantes fortiter et magis Botaniate, captivos ceperunt, et ibi omnem impleverunt campum: numerabatur enim populus circa sexaginta myriades hominum. Pars autem quaedam non minima eorum, qui ibi erant, studiose profecta Illyriam totam usque ad Thessalonicam et ipsam Graeciam incurrit et spoliavit et raptum exigebat innumerabilem. tempestati autem multae obnoxii cum ad suos

ῥιπεπτωκότες, ὅτε πρὸς τὰ σφέτερα ἤλαυνον, οἱ τὴν τοιαύ-
f. 183 v. την μοῖραν πληροῦντες οὐ μόνον τὰ ἀλλότρια ἀλλὰ καὶ τὰ ἑαυτῶν σχεδὸν ἀπέβαλον ἅπαντες, καὶ δυστυχῶς εἰς τὴν παρεμβολὴν ἐπανέζευξαν. ὁ δὲ βασιλεὺς περὶ τοῦ πληθυσμοῦ πυνθανόμενος ἤσχαλλε μὲν καὶ ἠδημόνει, στρατιὰν δ' ἀξιόμαχον συναθροῖσαι καὶ δυνάμεις ἀφεῖναι τούτοις ὀκνηρότερος ἦν, ὡς μέν τινες, φειδοῖ τῶν ἀναλωμάτων (ἦν γάρ, ὡς προέφαμεν, φιλοχρήματος ὁ ἀνήρ), ὡς δ' ἔνιοι, μὴ ἀποθαρρῶν πρὸς τοιαύτην ἰσχὺν ἀντιπαρατάξασθαι· καὶ γὰρ ἅπαντες ἀπρόσμαχον εἶναι τὸ τῶν ἐναντίων πλῆθος καὶ ὅλως ἀκαταγώνιστον συνετίθεντο. μηδὲ γὰρ εἶναι τῶν ἐνδεχομένων ἢ δυνατῶν ὑπενόουν τοσαύτας μυριάδας, πολέμῳ καὶ μάχαις συντεθραμμένας καὶ προχείρους ἐχούσας τὰς δεξιὰς καὶ γεγυμνασμένας πρὸς ἀντικατάστασιν καὶ ἀναίρεσιν, παρατάξει κατατροπώσασθαι, καὶ ἀμήχανος ἐδόκει πᾶσιν ἡ λύτρωσις, καὶ μετοικίαν ἤδη τὸ τὴν Εὐρώπην ἅπαν οἰκοῦν ἐβουλεύετο. ὁ δὲ βασιλεὺς πρεσβείαν ἀπεσταλκὼς πρὸς τοὺς ἐθνάρχας αὐτῶν ἐπειρᾶτο, καθ' ὅσον οἷόν τε, τούτους παρενεγκεῖν καὶ πρὸς καιρὸν καταστεῖλαι καὶ πάλιν εἰς τὴν ὑστεραίαν βουλεύεσθαι, πολλὰ τούτοις ἐπιστείλας ἐπαγωγά. καὶ μεταπεμψάμενος ἐνίους χαρίσμασι τούτους ἐδεξιώσατο. τὸ δ' ἔθνος μέγιστον ὄν, καὶ πρὸς πορισμὸν τῶν ἀναγκαίων ἐπιρρηγνύμενον, ἐν πολλοῖς μέρεσι τὴν Εὐρώπην συνέθλιβε. μὴ φέ-

3. an ἅπαντα? 6. ἐφεῖναι?

proficiscerentur qui hanc partem implebant, non solum aliena sed etiam sua fere amiserunt omnes, et misere ad castra redierunt. rex autem de multitudine audiens iratus quidem erat et stupebat, sed ad exercitum pugnacem cogendum et vires contra hos emittendas lentior erat, ut quidam dicebant parsimonia sumtuum, erat enim ut antea diximus divitiarum amans homo, ut autem nonnulli, non audens tali exercitui se opponere: etenim omnes impugnabilem esse hostium multitudinem et omnino invictam censebant: neque enim fieri posse opinabantur, ut tantas myriades bello et pugnis eductas et promptas habentes dextras et exercitatas ad oppositionem et trucidationem acie in fugam verterent, et inevitabilis videbatur omnibus redemtio et de colonia deducenda iam omnes Europae incolae cogitabant. rex autem legatione missa ad ethnarchas eorum conabatur in quantum fieri posset hos abducere et in tempore delenire et rursus in futurum prospicere, multas hic mittens illecebras, et arcessens nonnullos, muneribus hos excepit. populus autem qui maximus erat et ad comparanda necessaria irrumpebat, multis in partibus Europam comprimebat. neque vero ferens rex indignationem multitudinis et famam dicentem, parsimonia res

ρων δ' ὁ βασιλεὺς τὸν γογγυσμὸν τῶν πολλῶν καὶ τὴν λέγουσαν φήμην ὅτι φειδωλίας τὰ Ῥωμαίων ἀπεμπολοῦντό τε καὶ καταπροΐεντο, ἔξεισι τῆς βασιλευούσης, καὶ κατάντικρυ τοῦ Ἀθύρος, περὶ τόπον οὕτω καλούμενον Χοιροβάκχους, ἐν ᾧ καὶ βασιλικὰς παραπεπήχασι κτήσεις, σκηνὰς ἰδίας ἐπήξατο καὶ τῶν σὺν αὐτῷ. καὶ ἦσαν πλείους τῶν ρν', οὐ ποσότητι μείζονι. ὅθεν καὶ πολλοῖς θαυμάζειν ἐπῆλθεν ὅπως τηλικαύτην ἰσχὺν μετὰ τοσούτων ὁ βασιλεὺς ἀνδραρίων τῆς βασιλευούσης ὑπανεχώρησε, δέον πρότερον τὰς ἑῴας δυνάμεις συναγαγεῖν καὶ οὕτως ἐξορμῆσαι πρὸς τὰ ἑσπέρια. καὶ ἐῴκει τῇ μυθευομένῃ τοῦ Διονύσου στρατιᾷ, ὅτε μετὰ τῶν μαινάδων ἐκεῖνος καὶ τῶν Σειληνῶν ταύτην ἐπ' Ἰνδοὺς ἤλαυνεν. ἐν τοιαύτῃ δὲ τούτου παρασκευῇ καθεστῶτος, δρομαῖοί τινες ἐκ τῶν ἀπεσταλμένων εἰς τὸν Ἴστρον ἐπανελθόντες παντελῆ τοῦ ἔθνους ἀπήγγειλαν ὄλεθρον. προέφθασαν γὰρ οἱ αἰχμαλωτισθέντες ἡγεμόνες ῥυσθῆναι τῆς ἐκείνων χειρός, καὶ γνώμας εἰσενεγκόντες τῆς αὐτῶν καταλύσεως, φράζοντες ὡς οἱ μὲν λογάδες τῶν Οὔζων σκάφεσιν ἐμβάντες παραινέσει [καὶ] τῶν Ῥωμαϊκῶν ἀρχῶν τῶν ἐν τοῖς Ἰστρικοῖς χείλεσι πόλεων τὸν Ἴστρον διαβεβήκεσαν καὶ εἰς τὴν σφῶν αὐτῶν ἐπανέδραμον, οἱ δὲ περιλειφθέντες, πλῆθος καὶ οὕτως ἀμύθητον, τὸ μέν τι νόσῳ λοιμικῇ καὶ λιμῷ καταπονηθέντες καὶ ἡμιθνῆτες τυγχάνοντες, τὸ δὲ καὶ τοῖς παρακειμένοις Βουλγάροις καὶ τοῖς Πατζινάκοις καταπολεμηθέντες, ἄρδην ἀπώλοντο σιδήρῳ

Graecas prodi et proiectas esse, egreditur regia et adversus Athyrem circa locum, qui vocabatur Choerobacchus, in quo etiam regias firmarunt possessiones, tentoria propria fixit et suorum, et erant plures quam centum quinquaginta non maiore numero, quamobrem etiam multis admiratio obvenit, quomodo talem vim cum tantis rex homunculis regiae subiret, cum necesse esset, antea orientales vires conducere et ita egredi in occidentem. et similis erat fabuloso Bacchi exercitui, quando cum Bacchis ille et Silenis hoc contra Indos proficiscebatur iter. cum autem in tali esset hic apparatus, cursim nonnulli missorum ad Istrum revertentes absolutam populi nuntiarunt perniciem. antevenerant enim capti duces ut liberarentur illorum manu, qui quidem etiam sententias inferrent eorum dissipationis, narrantes quomodo delecti Uzorum lintres ascendentes hortatu etiam Graecorum imperiorum urbium in Istri ripis sitarum Istrum traiecerint et in suam ipsorum terram recurrerint, relicti autem, multitudo sic quoque ingens, partim morbo pestifero et fame confecti et semimortui, partim etiam per adiacentes Bulgaros et Patzinacos debellati funditus perierint ferro et ungulis brutorum animalium et ipsis

καὶ ὁπλαῖς ἀλόγων ζώων καὶ αὐταῖς ταῖς ἰδίαις ἁμάξαις συμπατηθέντες καὶ ἀναιρεθέντες παρὰ πᾶσαν ἀνθρωπίνην ἐλπίδα, καὶ εἰς οὐδὲν λογισθέντες οἱ πάντων κρατήσειν ποτὲ προσδοκώμενοι. καὶ ἦν ἡ φήμη τοῦ ἀληθοῦς μὴ ἀπᾴδουσα. ὁ δὲ βασιλεὺς παραδόξως διασωθεῖσαν τὴν ὑπ' αὐτὸν ἰδών, καὶ περιχαρὴς εἰκότως γενόμενος, καὶ τῷ θεῷ καὶ τῇ παναχ-
f. 184 r. *ράντῳ καὶ δεσποίνῃ θεοτόκῳ χαριστήρια θύσας, εὐθὺ τῆς βασιλίδος ἐπεπορεύετο. εὗρε δὲ ταύτην ἐκπλήξεως καὶ θαύματος γέμουσαν καὶ σῶστρα τῇ ζωαρχικῇ τριάδι καὶ τῇ μητρὶ τοῦ θεανθρώπου λόγου λαμπρῶς ἐπιθύουσαν. οἱ δ' ἐπὶ τῆς Εὐρώπης καὶ αὐτοὶ τὴν εὐχαριστίαν ὅσον εἰκὸς ἀπονέμοντες, ἀφήγημα μέγιστον καὶ θεῖον ἔργον τὸ ἔργον τοῦτο ἐτίθεσαν.*

Οὕτως ἐπὶ τοῦ αὐτοῦ βασιλέως καὶ πληγαὶ τῇ Ῥωμαίων προσετρίβησαν γῇ, καὶ ἀπαλλαγὴ πάλιν κινδύνου μεγίστου καὶ καταστροφὴ πολεμίων ἀπροσδόκητος ἐπιγέγονε, καὶ ὅσην οὐδεὶς οὐδέπω κατορθώσειν ἐπήλπισε. διὸ καὶ κακίᾳ καὶ ἀρετῇ βασιλικῇ τὰς δυσπραγίας καὶ αὖθις τὰς εὐπραγίας οἱ νουνεχῶς συμβάλλοντες τὰ πράγματα διεμέριζον. εἰ δὲ τὰ μὲν δύστηνα πάθη τῶν ἀνθρωπίνων ἁμαρτημάτων τυγχάνειν ἀντέκτισιν, τὸ δ' εὐπαθὲς τῆς θείας μόνης ἀντιλήψεως θείη τις καὶ μὴ βασιλικῆς ἔπαθλον ἀρετῆς, ὡς τῆς εὐπραγίας γενικῆς καὶ μὴ εἰδικῆς καθεστώσης, οὐκ ἂν διαμάρτοι τοῦ πρέποντος· πάντα

propriis curribus calcati et interfecti praeter omnem hominum exspectationem, atque pro nihilo habiti qui omnibus superiores fore quondam putabantur: atque erat fama non absona: rex autem praeter spem servatam suam terram videns et laetissimus merito factus et deo et omnino incontaminatae et dominae dei parenti grata sacra faciens statim ad capitalem urbem proficiscebatur. invenit autem hanc stuporis et admirationis plenam et sacra grata trinitati vitam [creanti et matri rationis hominis divini splendide sacrificantem: Europae autem incolae et ipsi gratiam quantum par erat reddentes gloriam maximam et factum divinum hoc factum statuebant.

Ita sub eodem rege et ictus Graecorum terrae iniecti sunt, et liberatio rursus periculi maximi et eiectio hostium inexspectata evenit et quantam nemo umquam se perfecturum speraverat. quare et vitio et virtuti regiae infelicia et rursus fausta facta qui prudenter componebant res, distinguebant, quodsi quis tristia mala hominum peccatorum esse poenam fortunam autem divini solius auxilii statuit neque regiae praemium virtutis; cum fortuna generalis sit neque vero singulorum, non aberrabit is a recto: omnia enim meliora e coelo: sed etiam clementia rursus flectitur prece effecta

γὰρ ἄνωθεν τὰ βελτίονα. ἀλλὰ καὶ τὸ εὐμενὲς πάλιν ἐπικάμπτεται δι' εὐχῆς ἐνεργουμένης καὶ συγκροτουμένης εὐαρεστήσεσιν. ἐπιγράφονται δὲ τοῖς βασιλεῦσι τὰ παρεμπίπτοντα διὰ τὸ καὶ τὴν πλείονα μέμψιν καὶ ἀνίαν τῶν δρωμένων οὐ συνετῶς, καὶ τὴν εὐφροσύνην ὡσαύτως τῶν κατορθουμένων ἐπιεικῶς, εἰς αὐτοὺς παραγίνεσθαι, ὥσπερ εἰς τοὺς τῶν ἁρμάτων ἰθυντῆρας καὶ μὴ τοὺς ἵππους τὰ ἐντεῦθεν ἀποτελέσματα.

Τούτου δὲ τοῦ ἔθνους τοῦ Σκυθικοῦ οἱ μὲν τὸν Ἴστρον ἀντιπεραιωθέντες λιμῷ δυσθεραπεύτῳ διαφθειρόμενοι, διὰ τὸ καὶ σιτίων ἀπορεῖν καὶ μηδὲ καρπῶν προσδοκίαν ἔχειν ἀσπάρτου καὶ ἀνηρότου τῆς γῆς αὐτῶν ἐαθείσης, εἰς ὀλίγους ἀπετελεύτησαν. καὶ τούτους φασὶ τῷ τῶν Μυρμιδόνων ἄρχοντι προσρυῆναι καὶ παρ' αὐτοῦ διασπαρῆναι ταῖς ἀμφ' αὐτὸν πόλεσι, καὶ τὴν ἰδίαν γῆν ἔρημον ἀνθρώπων καταλειφθῆναι παντάπασιν. ὅσοι δὲ προσῆλθον τῷ τῶν Ῥωμαίων βασιλεῖ (καὶ γὰρ προσῆλθόν τινες), χώραν λαβόντες δημοσίαν ἀπὸ τῆς Μακεδονικῆς τὰ Ῥωμαίων ἐφρόνησαν, καὶ σύμμαχοι τούτων ἐξ ἐκείνου μέχρι τῆς δεῦρο γεγόνασι, καθὰ δὴ καὶ τῶν Πατζινάκων τινές, ὅσοι τούτοις παρωμοιωμένως μετέθεντο, καὶ ἀξιωμάτων συγκλητικῶν καὶ λαμπρῶν ἠξιώθησαν.

Πρὸ δὲ τούτου τοῦ ἔτους, κατὰ τὸν σεπτέμβριον μῆνα

ως
20. παρωμυωμένοι C.

et applausa benevolentia. tribuuntur autem regibus quae accidunt, quoniam et maior vituperatio et aegritudo eorum, quae non prudenter aguntur, et hilaritas eodem modo eorum, quae bene fiunt, merito ad eos deferuntur: sicut ad curruum gubernatores neque vero ad equos qui inde eveniunt successus.

Huius autem populi Scythici alii Istrum transgressi fame insanabili confecti, cum et frumento carerent nec fructuum quidem exspectationem haberent, sine segete et inculta terra eorum relicta, paucis exceptis perierunt, atque hos dicunt Myrmidonum duci affluxisse et ab eo dispersos esse in urbibus circa eum sitis, et propriam terram orbatam hominibus relictam esse omnino, quotquot autem accesserunt ad Graecorum regem (etenim accesserunt nonnulli) terram accipientes publicam ex Macedonia, a Graecorum parte steterunt, et socii horum ex illo usque ad hoc tempus fuerunt, sicut etiam Patzinacorum nonnulli qui ad hos similiter transierunt: et honoribus senatoriis et splendidis dignati sunt.

Ante hunc autem annum septembre mense indictione vicesimam

δηλαδὴ τῆς δευτέρας ἐπινεμήσεως, εἰκοστὴν καὶ τρίτην ἄγοντος τοῦ αὐτοῦ μηνός, περὶ δευτέραν νυκτὸς φυλακὴν γέγονεν ἀθρόον σεισμὸς τῶν πώποτε γενομένων ἐκπληκτικώτερος, ἐκ τῶν ἑσπερίων μερῶν ἀρξάμενος. τοσοῦτος δὲ ἦν τὸ μέγεθος ὥς καὶ οἰκίας ἀνατρέψαι πολλάς, ὀλίγας δὲ ἀνυβρίστους καταλιπεῖν. οὐδὲ ναοὶ τῆς τούτου σφοδρότητος ἀθιγεῖς μεμενήκασιν ἀλλὰ καὶ αὐτοὶ κατά τινα μέρη, ἔστι δ' οἷς καὶ τὰ πλεῖστα περιερράγησαν· καὶ κίονες ὥσπερ τισὶ λαξευτηρίοις περιεδρύφθησαν. οὐ γὰρ ἅπαξ προσβαλών, ὥς τὰ πολλὰ εἰώθει, ἐλώφησεν, ἀλλὰ μετὰ σφοδρότητος κινήσεις τρεῖς προσεχῶς ἐτελέσθησαν. ἀφ' ὧν κωκυτὸς μέγιστος καὶ φόβος ὅσος οὐδέπω τοῖς ἀνθρώποις ἐπέπεσε, καὶ τῶν οἰκιῶν ἐξιόντες τὸ σύνηθες ἐπιφώνημα πρὸς θεὸν ἀνεβόων, καὶ γυναῖκες θαλαμευόμεναι, τῷ φόβῳ κατασεισθῆναι, τὴν αἰδῶ περιεῖλον καὶ τοῖς ὑπαίθροις ἐφίσταντο, τὴν αὐτὴν ἐπαφιεῖσαι φωνήν. εἶτα τῆς νυκτὸς ἐκείνης ἄχρι τῶν δέκα καὶ δώδεκα τρόμοι τῆς γῆς f. 184 v. *ἠκολούθησαν, τῶν προηγησαμένων πολλῷ τῷ περιόντι ἐλάττονες· ἢ γὰρ ἄν, εἰ τοῖς πρώην ἐξίσωνται, οὐδὲν ἦν τὸ κωλῦσον μὴ οὐχὶ πᾶσαν ὁμοῦ τὴν κτῆσιν δι' ἧς ἐπεπόλασε καὶ ἣν ἐπῆλθεν, ἐκ βάθρων αὐτῶν ἀνατραπῆναι καὶ εἰς οὐδὲν χρησιμεῦσαι, καὶ παγγενεὶ τοὺς οἰκήτορας πάντας οἰκτίστου θανάτου γεύσασθαι. καθ' ὃν δὴ λόγον καὶ τοῖς φυσιολογοῦσι περὶ σεισμῶν ὡς εἰκῇ καὶ ἀναισθήτως διὰ τῆς τοῦ ὕδατος ἐν*

tertiam agente eodem mense circa alteram noctis vigiliam factus est derepente terrae motus iis, qui unquam fuerunt, terribilior, ab occidentalibus partibus incipiens: tantus autem erat magnitudine, ut etiam domos everteret multas, paucas tantum illaesas relinqueret, neque templa huius impetu intacta manserunt, sed et ipsa in nonnullis partibus, in aliis autem plurima fracta sunt, et columnae quasi stilis lacerabantur: neque enim semel incidens ut plerumque fieri solebat desiit, sed magna vi motus tres continui absoluti sunt, ex quibus fletus maximus et timor quantus nunquam hominibus obvenit, et domibus egressi solitam invocationem ad deum clamabant, et mulieres in thalamis viventes, metu concussae, pudorem deposuerunt et in aperto stabant, eandem emittentes vocem: deinde illa nocte circiter decem et duodecim tremitus terrae secuti sunt, prioribus multo minores: profecto enim si prioribus fuissent pares, nihil impediisset, quominus omnis simul possessio, per quam curreret et cui obveniret, e fundamentis ipsis everteretur et ad nullam rem utilis esset et omnino incolae omnes miserrimam mortem gustarent: secundum quam rationem etiam iis qui philosophantur de terrae motibus, dicentes, temere et sine

τοῖς κοίλοις τῆς γῆς κινήσεως καὶ τῆς τῶν ἀνέμων ἐν τούτοις δινήσεως ὁ κλόνος προσγίνεται, ἀνατέτραπται τὸ ἐννόημα. εἰ γὰρ ἐκ μόνης τῆς βίας αὐτῶν, ὁπόταν ἐν τοῖς κοιλώμασι τῆς γῆς περιελιχθεῖεν καὶ διάπνοιαν συμπεπιλημένην λάβοιεν, καθὼς οὗτοι φασίν, ἡ συγκίνησις ἐκτελεῖτο, κἂν ἀταξίαν εἶχεν ὁ κλόνος καὶ οὐχὶ μέχρι πτώσεως ἀκαταπτώτου τὴν ἄπλετον ἔληγεν ὁρμήν, ἵνα μὴ τὸ πᾶν αὐτίκα καταποθῇ. νῦν δὲ διὰ τῆς τοσαύτης καὶ συμμέτρου παρακινήσεως δείκνυται θεοσημίας ἔργον ὁ κλόνος, εἰς ἀναστολὴν καὶ παίδευσιν τῶν ἀνθρωπίνων ὁρμῶν, καὶ τῆς θείας ἀνεξικακίας ἡ ἐπιτίμησις, ἐφ' ᾧ μὴ ἄρδην ἀπολέσθαι τὸ γένος, ἀλλ' ἐπιστρέψαι πρὸς τὰ βελτίονα. τὸ δ' ἐξ ἐπιπνοίας ἀνεμιαίας εἴτε μὴν ὑδάτων κινήσεως γίνεσθαι τὸν σεισμὸν οὐκ ἄκαιρον οὐδ' αὐτὸ πρὸς φυσικὴν συγκατασκευήν. ἐνδέχεται γὰρ τοῦτο καὶ πάνυ· ἀλλ' οὐκ αὐτομάτως ἡ ἐπισκίρτησις (τοῦτο γάρ ἐστι τὸ ἀνατρεπόμενον παρ' ἡμῶν), ἀλλ' ἐκ θείου βουλήματος, ὅτι μὴ ἀμέσως τὸ θεῖον τὰ περὶ τὴν γηίνην φύσιν οἰκονομεῖ. οὕτω γὰρ καὶ ὑετοῦ ἡ νεφῶν συμπίλησις καὶ βροντῆς ἡ τούτων σύγκρουσις καὶ ἀστραπῆς ἐπὶ ταύτῃ παραίτιοι καταφαίνονται· ἀλλὰ τὸ πᾶν τῆς θείας γνώμης κατὰ τοὺς εὐσεβοῦντας ἐξήρτηται.

Ἐν δὲ τοῖς Μακεδονικοῖς μέρεσιν αἱ παράλιοι πόλεις κατ' ἐκείνην τὴν νύκτα μᾶλλον τῶν ἄλλων πεπόνθασι, Ῥαι-

18. ἡ] καὶ C.

sensu aquae in terrae specubus motu et ventorum in his turbine eruptionem fieri, eversum est cogitatum. nam si sola vi eorum, cum in specubus terrae torquerentur et spiritum compressum caperent, ut hi dicunt, motus efficeretur, certe confusionem haberet eruptio, neque ad casum infallibilem ingentem finiret impetum, quin universum statim sorberetur. nunc autem tanto et aequali motu declaratur divinae significationis factum eruptio ad remissionem et educationem humanorum propositorum, et divinae indulgentiae poena, ne funditus pereat genus, sed ut id advertat melioribus. quod autem e spiritu ventorum, sive etiam aquarum motu oriatur terrae concussio, non est ineptum, neque ipsum quod attinet naturalem apparatum. fieri enim hoc potest omnino, sed non temere fit eruptio: hoc enim illud est, quod a nobis refutatur: sed divina voluntate, nisi sine medio numen divinum terrenam naturam administrat: ita enim etiam imbris et nubium compressio et tonitrus horum compulsio, et fulguris in hac re auctores apparent: sed totum divinae sententiae secundum pios coniunctum est.

In Macedonicis autem partibus maritimae urbes illa nocte plus ceteris passae sunt, Raidestum dico et Panium et ipsum Myriophytum,

δεστός τε φημὶ καὶ Πάνιον καὶ αὐτὸ Μυριόφυτον, ὡς καὶ μέρη τυχὸν ἐξ αὐτῆς ὑποβάθρας ἀνατραπῆναι καὶ πλείστας οἰκίας, καὶ φόνον ἐπιγενέσθαι πολλοῖς. ἐν δὲ τῷ Ἑλλησπόντῳ ἡ Κύζικος, ὁπότε καὶ τὸ ἐν αὐτῇ Ἑλληνικὸν ἱερὸν κατεσείσθη καὶ τῷ πλείστῳ μέρει κατέπεσε, μέγιστον ὂν χρῆμα πρὸς θέαν δι' ὀχυρότητα καὶ λίθου τοῦ καλλίστου τε καὶ μεγίστου τεχνικωτάτην ἁρμονίαν τε καὶ ἀνοικοδομὴν καὶ ὕψους καὶ μεγέθους διάρκειαν.

Ἀπὸ τότε δὲ καὶ μέχρις ἐνιαυτῶν δύο σποράδες ἐπεφοίτων σεισμοὶ κατὰ διαφοροὺς καιρούς. καὶ τὸ θάμβος μέγιστον ὅσον περιεγίνετο τοῖς βροτοῖς. ἦσαν γάρ τινες ἔξωροι, οἳ παρεοικότας σεισμοὺς τῷ μεγίστῳ δύο ἀνέφερον, οἱ μὲν τοῦτον οἱ δ' ἐκείνους κατὰ σύγκρισιν ὑπεραίροντες. καὶ παρηκολουθηκέναι τότε δι' ἡμερῶν τεσσαράκοντα καὶ μὴ πλείω βραχεῖς τινὰς προσεπέφερον· τὸ δὲ διὰ διετοῦς χρόνου κλονεῖσθαι τὴν γῆν πᾶσιν ἀμνημόνευτον ἦν καὶ μηδ' ἱστορίᾳ περιληπτόν. Ἀγαθίας γὰρ περὶ τοῦ ἐν ταῖς ἡμέραις τοῦ Ἰουστινιανοῦ συμβεβηκότος σεισμοῦ γεγραφώς, καὶ καταπληκτικὸν τοῦτον καὶ μέγιστον συγγραψάμενος ὡς καὶ κίονας ἀποσφενδονᾶσθαι τοῦδε τοῦ οἴκου πρὸς ἕτερον, τοὺς μετὰ ταῦτα τρόμους ἐλάττονας ἄχρι τεσσαρακονθημέρου καὶ μὴ περαιτέρω προβῆναι ἱστόρηκε. μετὰ δὲ τὴν διετίαν, σεισμοῦ γε-

3. πολύς C, πολὺν interpres. 6. ὀχυρότητος C. 12. ὅσοι C.

ut etiam partes ex ipsis fundamentis everterentur et plurimae domus, et caedes multa oriretur. in Hellesponto autem Cyzicus, quando etiam Graecum in ea templum concussum est et maximam artem decidit: maximum spectaculo propter firmitatem et lapidis pulcherrimi et maximi valde artificiosam constructionem et aedificationem et altitudinis magnitudinisque sufficientiam.

Inde autem et per annos duo passim incidebant terrae motus diversis temporibus: et stupor quam maximus obortus est mortalibus: erant enim quidam pergrandes natu qui similes maximo terrae motus duos referebant, alii hunc, alii illos comparatione efferentes, et secutos esse tum per dies quadraginta neque amplius breves quosdam adiiciebant: quod autem per biennium turbaretur terra, omnibus immemoratum erat, nec historia quidem comprehensum. Agathias enim qui de terrae motu temporibus Iustiniani facto scripsit et terribilem hunc et maximum fuisse tradidit, ut etiam columnae ab alia ad aliam domum disiicerentur, tremitus postea factos breviores usque ad quadraginta dies neque amplius progressos esse narravit. post biennium autem terrae motu facto maiore posteris frequentibus, minore autem

νομένου μείζονος μὲν τῶν μετὰ ταῦτα συχνῶν, ἐλάττονος δὲ τοῦ πρώην μεγίστου, πέπονθε πτῶσιν ἡ κατὰ Βιθυνίαν Νίκαια καὶ πανωλεθρίαν μικροῦ δεῖν καὶ καταστροφὴν παντελῆ. οἱ γὰρ ἐπισημότατοι ταύτης ναοὶ καὶ μέγιστοι, ὅ τ' ἐπ' ὀνόματι τῆς τοῦ θεοῦ λόγου σοφίας καθιδρυμένος καὶ καθιερωμένος τῇ μητροπόλει καὶ ὁ τῶν ἁγίων πατέρων, ἔνθαπερ ἡ κατὰ τοῦ Ἀρείου σύνοδος τοῖς ὁσιωτάτοις καὶ ὀρθοδόξοις ἐβεβαιώθη πατράσι, καὶ τὸ ὀρθότομον ἐπαρρησιάσθη καὶ τηλαυγέστερον ἡλίου διέλαμψε, συνταραχθέντες κατηδαφίσθησαν· καὶ τὰ τείχη τῆς ὁμοίας τύχης σὺν τοῖς πολιτικοῖς οἰκήμασι μετεσχήκασι. καὶ ἀπ' ἐκείνης τῆς ἡμέρας τὰ τοῦ τρόμου κατέληξεν. Ἦσαν δὲ ταῦτα καὶ εἴσπραξις ἁμαρτημάτων καὶ χόλος θεῖος ἐξ ἅπαντος, ἠνίττοντο δέ, ὡς ἔοικε, καὶ τὴν τοῦ εἰρημένου ἔθνους ἐπιφοίτησιν καὶ κατάλυσιν· ἐν γὰρ ταῖς θεοσημίαις πρὸς τοῖς εἰρημένοις καί τι μέλλον ἐπισκῆψαι προτεθεώρηται. f. 185 r.

Μαΐου δὲ μηνὸς τῆς δ' ἰνδικτιῶνος ἐνδιιππεύοντος ἐφάνη κομήτης ἀστήρ, κατόπιν τοῦ ἡλίου δύντος, τὸ μέγεθος σεληναῖον φέρων, ὅταν ἡ σελήνη πλησιφαὴς γένηται. καὶ ἐῴκει μὲν τηνικαῦτα καπνόν τινα καὶ ὁμίχλην ἐκπέμπειν, ἐν δὲ τῇ ἐπιούσῃ ἤρξατο παραδεικνύειν βοστρύχους τινάς· καὶ ὅσον οὗτοι προεπετάννυντο, τοσοῦτον το μέγεθος τοῦ ἀστέρος ὑπέληγεν. ἀπέτεινε δὲ τὰς ἀκτῖνας ὡς πρὸς ἑῴαν, καὶ ὡς πρὸς

priore maximo, casum passa est Bithyniae urbs Nicaea et interitum paene et eversionem absolutam. illustrissima enim huius templa et maxima et id, quod sub nomine sapientiae divinae rationis conditum est et sacratum urbi capitali, et templum sanctorum patrum, ubi consilium contra Arium a piissimis et orthodoxis confirmatum est patribus et vera fides libere deliberata est et clarius sole splenduit, conturbata deiecta sunt et moenia eiusdem fortunae cum civitatis aedificiis participia fuerunt et inde ab illo die tremitus desiit. erant autem haec et exactio peccatorum et ira divina omnino: et significabant, ut apparet, et populi commemorati adventum et dissipationem. in divinis enim signis praeter commemorata etiam futurum aliquid erumpere antea consideratum est.

Maio autem mense indictionem IV perequitante apparuit cometa post solem occidentem magnitudinem lunae habens, quando luna pleno lumine est, et videbatur tum fumum quendam et nebulam emittere, postero autem die coepit ostendere crinium caudas quasdam, et quantum hae extendebantur, tantum magnitudo stellae deficiebat: porrigebat

ἐκείνην προήρχετο. καὶ ἦν ἐπικρατῶν ἄχρις ἡμερῶν τεσσαράκοντα.

Ἀπὸ δὲ μηνὸς ὀκτωβρίου νόσος ἐνσκήψασα τῷ βασιλεῖ ἄχρι τοῦ ἐπιόντος μαΐου μηνὸς κατέτρυχεν· ἐν αὐτῷ δὲ κατειργάσατο τοῦτον καὶ τῆς ἐνταῦθα ζωῆς ἀπεστέρησεν. ἡ δὲ ὁσία τούτου οὐκ ἔνθαπερ προσεδόκησε γέγονεν, ἀλλὰ διαπόντιος ἀχθεὶς ἐπὶ τῶν ἀκατίων τῆς χρυσῆς πόρτης ἐκτός, περί τι φροντιστήριον ἐπ' ὀνόματι τοῦ ἁγίου Νικολάου καθιδρυμένον, εἴς τινα σορὸν προκατεσκευασμένην ἑτέρῳ ἐναπετέθη, ζήσας ἐν τῇ βασιλείᾳ χρόνους ἑπτὰ καὶ μῆνας ἕξ. a. 1067. 5. Iun.

Καὶ κατίσχον τὰ σκῆπτρα τῆς βασιλείας ἥ τε σύμβιος αὐτοῦ Εὐδοκία καὶ οἱ παῖδες. προκατησφαλίσθη γὰρ ἡ Αὐγούστα μὴ δευτέροις γάμοις προσομιλῆσαι ἀρχιερατικῇ καὶ συγκλητικῇ συνελεύσει. ἦν γὰρ τῆς συνόδου προεξάρχων καὶ τὴν πατριαρχίαν κοσμῶν Ἰωάννης ὁ ἐπικεκλημένος Ξιφιλῖνος, ἐκ Τραπεζοῦντος μὲν ὡρμημένος, ἀνὴρ δὲ σοφὸς καὶ παιδεύσεως εἰς ἄκρον ἐληλακὼς κἀν τοῖς πολιτικοῖς περίβλεπτος γεγονὼς καὶ ἀρετῆς εὐφρόνως ἐπιμελούμενος, ὥστε τοῖς βασιλείοις ἔτι ἐμφιλοχωρῶν καὶ πρῶτα φέρων παρὰ τῷ βασιλεῖ τὴν μοναχικὴν πολιτείαν ἐν ἀκμῇ τῆς εὐημερίας καὶ τῆς ἡλικίας ἀσπάσασθαι. καὶ τὸν ἀναχωρητικὸν βίον περὶ τὸ Ὀλύμπιον ὄρος ἑλόμενος, χρόνον ἐπὶ συχνὸν ἦν διαλάμπων ἐπ' ἀρετῇ καὶ φόβῳ θεοῦ. καὶ διὰ τοῦτο τοῦ πατριάρχου

autem radios ut ad orientem: et ut ad illum progrediebatur: et dominabatur per dies quadraginta.

Inde a mense octobre morbus incidens regi usque ad sequentem maium mensem eum cruciabat. hoc autem mense confecit hunc et terrena vita privavit. iusta autem eius non ubi exspectaverat facta sunt, sed trans mare latus lintribus extra auream portam, circa monasterium quoddam sub nomine sancti Nicolai conditum in sepulchro quod alii antea factum erat, depositus est, postquam vixit in imperio annos septem et menses sex.

Et obtinuerunt sceptrum regni uxor eius Eudocia et filii. confirmata enim erat augusta, ne altero matrimonio coniungeretur, pontificis maximi et consiliarii necessitudine. erat enim conventus princeps et patriarchatus decus Ioannes cognomine dictus Xiphilinus, Trapezunte oriundus, homo sapiens et institutionem summam adeptus: et in rebus civilibus illustris et virtutem prudenter curans, ita ut in regia etiamtum versans et primos honores reportans apud regem, monachicam vitam in flore fortunae et aetatis amplecteretur: et solitariam vitam circa Olympicum montem eligens per multum tempus

θανόντος καὶ πολλῶν ἀνερευνηθέντων οὐδεὶς ἄξιος πλὴν αὐτοῦ πρὸς τὸν τοιοῦτον ἐλογίσθη βαθμόν. καὶ ἀπαναινόμενος ἐδιώχθη πρὸς τῆς τιμῆς, καὶ λαμπτὴρ τῆς μεγάλης ἐκκλησίας καὶ πατριάρχης οἰκουμενικὸς ἐχρημάτισε.

Μετὰ δὲ τὸ τὸν βασιλέα τεθνάναι πάλιν οἱ τὴν ἑῴαν κατατρέχοντες Οὖννοι περὶ Μεσοποταμίαν γενόμενοι ἐφήδρευον τοῖς περὶ Μελιτηνὴν ἐστρατοπεδευμένοις Ῥωμαϊκοῖς τάγμασιν, οἷπερ τοῦ ὀψωνιασμοῦ ὑστερήσαντος ἐνδεῶς εἶχον καὶ ταπεινῶς καὶ ὀργίλως διὰ τὴν ἔνδειαν, καὶ οὐδὲ τοῖς ἐν Μεσοποταμίᾳ στρατιώταις Ῥωμαίοις ἴσχυσαν συνελθεῖν, μὴ βουληθέντες τὸν Εὐφράτην διαπεράσαι. ἐπερχομένων οὖν τῶν f. 185 v. βαρβάρων διὰ τοῦ ποταμοῦ ἀντέστησαν οὗτοι διασπαρέντες περὶ τὰς διεξόδους αὐτοῦ. καὶ οἱ βάρβαροι ἑκηβόλων τυγχάνοντες εὐμαρῶς αὐτοὺς ἄποθεν κατετίτρωσκον, ἀπαθεῖς αὐτοὶ διαμένοντες, ἕως ἠνάγκασαν τούτους εἰς τὸν ποταμὸν ἐμβαλεῖν καὶ τὴν μάχην συστήσασθαι. καὶ πάλιν οἱ τοῖς χείλεσιν ἐφιστάμενοι τοὺς Ῥωμαίους ἐπετοξάζοντο καὶ κακῶς ἄγαν διετίθουν καὶ νῶτα δοῦναι παρεβιάσαντο. καὶ τροπῆς γενομένης ἔπεσον συχνοὶ τῶν Ῥωμαίων, ἕτεροι δὲ ζωγρείᾳ ἐλήφθησαν, οἱ δὲ περισωθέντες τῷ ἄστει τῆς Μελιτηνῆς ἀνεσώθησαν. περιφρονήσαντες δὲ τούτων οἱ βάρβαροι ὡς ἤδη καταστραφέντων καὶ καταστρατηγηθέντων, ὁλοσχερῶς ἐκτρέ-

1. ἐνερευνηθέντων C. 17. καὶ ante κακως om c, addidit interpres.

splendebat propter virtutem et dei timorem. atque propterea patriarcha mortuo et multis exploratis nemo dignus praeter eum hoc habitus est gradu: et recusans petitus est ab honore et lumen magnae ecclesiae et patriarcha oecumenicus factus est.

Rege mortuo rursus Hunni orientem percursantes circa Mesopotamiam instabant Graecis ordinibus qui circa Melitenen castra tenebant: qui quidem commeatu deficiente egentes erant et tenues et irati propter inopiam, neque cum militibus in Mesopotamia constitutis Graecis congredi potuerunt, cum nollent Euphratem transire. advenientibus igitur barbaris per fluvium se opposuerunt hi dispersi in vadis eius. atque barbari quidem qui eminus iaculari poterant facile eos eminus vulnerabant, impatientes ipsi manentes, donec cogerent hos, ut fluvium ingrederentur et pugnam consererent. et rursus qui ripis instabant, Graecos petebant iaculis et valde male tractabant et terga verterent cogebant. et fuga facta ceciderunt multi Graecorum, alii autem vivi capti sunt, servati autem Melitenen urbem effugerunt. contemnentes autem hos barbari ut iam versos et artificiis belli devictos, prorsus excursionem faciunt usque ad Caesaream, spoliantes omnia et destruentes, et ignem

χουσιν ἄχρι Καισαρείας, καταληιζόμενοι πάντα καὶ καταστρέφοντες καὶ πῦρ αὐτοῖς ἐπανάπτοντες. καὶ τῷ μεγάλῳ σηκῷ τοῦ ἐν ἱεράρχαις περιωνύμου ἁγίου Βασιλείου ἐπεισπηδήσαντες δῃοῦσι μὲν ἅπαντα καὶ τὰ ἱερὰ διαρπάζουσι, προσραγέντες δὲ καὶ τῇ τοῦ ἁγίου σορῷ τῷ ἁγίῳ μὲν τούτῳ λειψάνῳ δρᾶσαί τι πονηρὸν οὐδαμῶς ἠδυνήθησαν (προκατησφάλιστο γὰρ καὶ περιεδεδόμητο κτίσμασιν ὀχυροῖς καὶ χρόνου πολλοῦ πρὸς καθαίρεσιν δεομένοις), τὰ δὲ τὴν ὀπὴν περιστέλλοντα θύρια, πολυτελῶς καὶ ἀφθόνως ἐξειργασμένα χρυσῷ καὶ μαργάροις καὶ λίθοις, ἐξαίρουσι. καὶ τὸν ὅλον κόσμον ὁμοῦ συμφορήσαντες αἴρουσιν ἐκεῖθεν, πολλοὺς ἐν τῇ Καισαρέων μητροπόλει σφαγῇ παραδόντες καὶ τὸν ναὸν καταχράναντες. καὶ μεταστραφέντες διήρχοντο τοὺς εἰς Κιλικίαν ἄγοντας στενωπούς, μηδενὸς προγνόντος τὴν τούτων ἔφοδον, καὶ τοῖς Κίλιξιν ἐπιφανέντες ἐκπλήκτως ἐμφόβους εἰργάσαντο, φόνον πολὺν ποιοῦντες τῶν παρεμπιπτόντων αὐτοῖς. χρονίσαντες δὲ τῇ χώρᾳ καὶ καταλυμηνάμενοι ταύτην, καὶ λαφύρων τὰς οἰκείας ἐπιθυμίας ἐμπλήσαντες, προαυτομολήσαντος ἐκεῖσε τοῦ κατ' αὐτοὺς ἐπιφανοῦς Ἀμερτικῆ λεγομένου, καὶ δυσμενοῦς ὄντος τοῖς Ῥωμαίοις καθόπερ τὰς ὁμολογίας τούτοις ἐψεύσατο. καὶ γὰρ προσελθὼν πρότερον τῷ τῶν Ῥωμαίων βασιλεῖ τῷ γέροντι, καὶ μεγάλων τυχὼν δεξιώσεων, παρῆν τῇ βασιλευούσῃ· κατηγορηθεὶς δέ παρὰ τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ ὡς μέλλοι τοῦτον μαχαίρᾳ διαχει-

23. δὲ om C.

iis accendentes, et magno templo clari in pontificibus summis sancti Basilii insilientes devastant omnia et loca sacra diripiunt. incidentes autem etiam sancti sepulchro, sancto quidem huic cineri afferre malum quid nullo modo potuerunt: confirmatum enim erat et circumdatum aedificiis firmis et multo tempore ad destructionem egentibus. foramen autem velantes ianuae splendide et plene elaboratae auro et gemmis et lapidibus tollunt: et totum decus conferentes tollunt inde multos in Caesarensium urbe caedi tradentes et templum contaminantes et versi perveniebant angustias in Ciliciam ferentes, nemine antea cognoscente horum adventum, et Cilicibus apparentes stupide timidos fecerunt, caedem multam patrantes in manus suas incidentium: versati autem in terra et devastantes hanc, et praeda suas cupiditates explentes, transeunte illuc illustri inter eos Amertike vocato, qui inimicus erat Graecis, cum pactiones his fefellisset. etenim accedens antea ad Graecorum regem senem et magnos honores adeptus aderat regiae, accusatus apud regem Constantinum Ducam, quasi vellet hunc gladio necare, damnatus est exsilii. deinde postquam contigit ei redi-

ρίσασθαι, κατεκρίθη φυγήν. εἶτα γενομένης αὐτῷ τῆς καθόδου ἀπεστάλη κατὰ τῶν Οὔννων, τῶν Ῥωμαίων ὑπερμαχήσων, καὶ τηνικαῦτα δι' αἰτίαν τῆς τῶν στρατιωτικῶν σιτηρεσίων ὑποκρατήσεως τῷ ἄρχοντι προσερρύη τοῦ Χάλεπ. εἰ δ' εὐφρόνως κατὰ τῆς οἰκείας ἀπεστάλη μερίδος καίτοι κακωθεὶς ὁ βάρβαρος, καὶ μηδὲ μέλλων τῶν ὑπεσχημένων τυγχάνειν σιτηρεσίων, τοῖς ἀναγινώσκουσιν ἐξετάζειν παρίημι. γενόμενοι τοίνυν κατὰ τὸ Χάλεπ οἱ Οὖννοι, καὶ προσαναμιχθέντες αὐτῷ τε τῷ συγκαλεσαμένῳ καὶ τοῖς παρακειμένοις Ἄραψι, τὴν ἐν Συρίᾳ Ἀντιόχειαν καὶ τὰς παρ' αὐτῇ πόλεις καὶ κώμας ἀπανθρώπως ἐμάστιζον. καὶ ἡ μάστιξ σφαγαὶ καὶ πυρπολήσεις καὶ ἀνδραποδισμοὶ καὶ λαφυραγωγίαι, καὶ ὅσα ταῖς βαρβαρικαῖς ἐπιδρομαῖς συμπαρέπονται. ἐπεὶ δ' ἔδει στρατιὰν ἐς αὐτοὺς πεμφθῆναι, συνήθροιστο μὲν ἀξιόλογον στράτευμα καὶ ἡγεμόνες τούτου προέστησαν, ἡ δὲ φειδωλία πάλιν ἄπρακτα καὶ ἀκλεῆ κατειργά- f. 186 r.
σατο. οὐ γὰρ ὁλοκληρίαν ἠθέλησαν οἱ κρατοῦντες τοῦ ὀψωνιασμοῦ παρασχεῖν ἀνθρώποις πολεμίοις καὶ μάχαις κακοπαθήσειν ὀφείλουσιν, ἀλλὰ μέρει τινὶ τούτους ἐλαχίστῳ πρὸς τὸν ὑπὲρ τῆς ψυχῆς ἀγῶνα παρακινῆσαι ἐσπούδασαν. ἀπέτυχον δὲ ὅλων ὁμοῦ. τὸ μὲν γὰρ ὀψώνιον οἱ στρατιῶται ἐδέξαντο, κατὰ δὲ τῶν ἐναντίων πορευθῆναι οὐ κατεδέξαντο, μέρος τι τῶν προϋστερησάντων αὐτοῖς λογισάμενοι τοῦτο. καὶ φωνὴν ἐγείραντες ἄσημον εἰς τὰ οἰκεῖα διε-

15. πάλιν ἄπρακτα πάλιν καὶ C. 21. δὲ ὁμοῦ ὅλων ὁμοῦ C.

tus, missus est contra Hunnos, Graecis propugnaturus: atque tum surreptorum militarium stipendiorum incusatus ducem convenit Chalepi. num autem consulto contra suam missus sit partem quamvis offensus barbarus, neque vero obiecta stipendia adepturus, peritis investigandum relinquo: congregati igitur contra Chalepum Hunni et commixti ipsi convocanti et adstantibus Arabibus Antiochiam Syriae urbem et vicinas urbes et pagos in solitudines flagellabantur; atque flagellum erat caedes et incendia et captivitates et praedationes et quaecunque barbaros incursiones sequuntur. cum autem necesse esset, ut acies ad eos mitteretur, coactus est memorabilis exercitus et duces ei praefuerunt, parsimonia autem rursus infectis rebus eum et ingloriose confecit: neque enim integrum voluerunt praefecti commeatum praebere hominibus bellantibus et pugnis laboraturis, sed parte quadam hos minima ad vitae certamen movere studuerunt: perdiderunt autem simul omnia, commeatum enim milites acceperunt, contra hostes autem proficisci non sustinuerunt; pars quaedam advenientium iis considerantes

σκεδάσθησαν. καὶ πάλιν ἦσαν οἱ βάρβαροι τὴν Ῥωμαϊκὴν χώραν ἀδεῶς κατατρέχοντες. εἶτα νεολαίαν τινὰ μικροῖς ἀναλώμασιν ἀθροίσαντες οἱ περὶ τοὺς βασιλεῖς τούτους ἐγχειρίζουσι τῷ ἐν Ἀντιοχείᾳ ἡγεμονεύοντι· οἳ δρᾶσαι μέν τι μὴ δυνηθέντες γενναῖον, ἀπειροπόλεμοί τινες καὶ δύσιπποι καὶ ἄνοπλοι σχεδὸν καθεστῶτες, πολλὰ δὲ παθόντες ἀνήκεστα εἰς τὴν σφῶν δυσκλεῶς ὑπέστρεψαν γῆν, τοῦ παραλαβόντος αὐτοὺς δουκὸς (ἦν δὲ ὁ μάγιστρος Νικηφόρος ὁ Βοτανειάτης) μετὰ τῶν ἐπιχωρίων καὶ τῶν ἰδίων ὑπασπιστῶν τὴν τῶν βαρβάρων δι' οἰκείας ἀρετῆς καὶ γενναιότητος καὶ φρονήσεως ἀνατρέποντος καὶ καταβάλλοντος ἔφοδον. κἀκείνου δὲ τῆς ἀρχῆς παραλυθέντος, ἔκτοτε τὰ τῶν βαρβάρων ἐθρασύνετο πλέον καὶ εἰς στενὸν κομιδῇ τὰ τῶν πόλεων περιΐστατο, σιτοδείας πιεζούσης αὐτὰς καὶ τῶν ἄλλων ἐπιτηδείων ἐνδείας.

Ἀλλ' ἐπείπερ ἔδει βασιλέως ἐπιστασίαν γενέσθαι δυναμένου ἐν τοιούτοις καιροῖς διεξάγειν τὰ πράγματα καὶ ἀντεπεξάγειν ἑαυτὸν τοῖς ἐναντίοις μετὰ καρτεροῦ τοῦ συντάγματος, ἐψηφίζετο μὲν ἀξιολογώτατος ὁ ῥηθεὶς Βοτανειάτης ὡς διαφέρων τῶν ἄλλων ὅσον ἀστέρων ἥλιος, ὁ δὲ φθόνος καὶ ἡ ἄδικος κρίσις ἀνεβάλετο μὲν τότε τὸ δέον, ἕτερον δὲ συγγενέα τούτου ἀντεψηφίσατο δι' αἰτίας ἴσως ἀπορρήτους ἀνθρώποις, οἷα τὰ τοῦ θεοῦ κρίματα. ἐδόκει μὲν γὰρ ἡ τοσαύτη τῶν ἐθνῶν ἔπαρσις καὶ κατακοπὴ τῶν ὑπὸ Ῥωμαίων τελούντων ὀργὴ κατὰ τῶν αἱρε-

23. Ῥωμαίους?

hoc et rumorem excitantes incertum ad sua dispersi sunt, et rursus barbari Graecam terram intrepide percursabant. deinde iuventutem parvis sumtibus cogentes regii hos tradunt duci Antiochensi, qui agere cum nobile quidquam non possent, belli imperiti et mali equites, et paene inermes, multa autem passi intolerabilia, ad suam ingloriose reversi sunt terram, quo facto dux eos accipiens (erat autem magister Nicephorus Botaniates) cum incolis et suis armatis propria virtute et strenuitate et prudentia barbarorum impetum evertit et deiecit. sed cum ille quoque imperio solutus esset, inde barbari audaciores magis fiebant, et in angustum prorsus urbes redigebantur, frumenti defectu premente eas et ceterorum, quae necesse sunt, inopia.

Sed quoniam opus erat regis dominatione qui posset talibus temporibus perducere res et se opponere hostibus valida cum acie, creabatur quidem dignissimus dictus ille Botaniates, ut qui excelleret ceteris, quantum stellis sol: invidia autem et iniustum iudicium distulit quidem tum necessarium, alium autem propinquum huius contra creavit propter causas adeo occultas hominibus, ut dei iudicia. videbatur enim tanta populorum congregatio et trucidatio Graecis sub-

τικῶν, οἳ τὴν Ἰβηρίαν καὶ Μεσοποταμίαν καὶ ἄχρι Λυκανδοῦ καὶ Μελιτηνῆς καὶ τῶν παρακειμένων οἰκοῦσιν Ἀρμένιοι, καὶ οἱ τὴν Ἰουδαϊκὴν τοῦ Νεστορίου καὶ τὴν τῶν ἀκεφάλων θρησκεύοντες αἵρεσιν· καὶ γὰρ πλήθουσιν αἱ χῶραι τῆς τοιαύτης κακοδοξίας. ἐπὰν δὲ καὶ τῶν ὀρθοδόξων ἥψατο τὸ δεινόν, εἰς ἀμηχανίαν ἦσαν πάντες οἱ τὰ Ῥωμαίων θρησκεύοντες.

Ὅμως δ' οὖν ἀνίσταταί τις τῶν εὐπατριδῶν, Ῥωμανὸς βεστάρχης; ᾧ τὸ ἐπίκλην Διογένης. οὗτος γὰρ καὶ πρότερον μὲν ὁρῶν ἐκ τῆς τῶν κρατούντων αἰτίας καὶ τῶν ἐκεῖθεν ὑστερημάτων ἀναπληρούμενα τῶν ἐχθρῶν τὰ θελήματα καὶ μεγάλους γινομένους ταῖς μικρολογίαις τῶν Ῥωμαίων, ἐποτνιᾶτο καὶ ἤσχαλλε, καὶ ἀποστασίαν μὲν ὤδινεν, οὐκ ἔρωτι μέν, ὡς διεβεβαιοῦτο ὕστερον, καὶ ἀπολαύσει τῶν ἐξαιρέτως αὐτῆς, ἀλλ' ὡς τὰς τύχας ἀνορθῶσαι τῶν ἤδη πεσόντων Ῥωμαίων, ὅτι μὴ κατὰ λόγον εἶχε τὰ πράγματα. ἐμπιστευθεὶς οὖν ἐπὶ τέλει τοῦ βασιλέως τοῦ Δούκα τὴν τῆς Σαρδικῆς ἀρχήν, ἐβουλεύσατο τοὺς Σαυρομάτας προσλαβέσθαι συνεργοὺς εἰς τὸ μελετώμενον καὶ εἰς προῦπτον αὐτὸ ἀγαγεῖν. ἐπείθοντο γὰρ ἐκεῖνοι τῷ ἀνδρὶ τούτῳ διὰ τὸ ἐκ τῆς ἀγχιθύρου στρατηγίας προεπιγινώσκεσθαι τοῦτον αὐτοῖς, ὁπότε τῶν περὶ τὸν Ἴστρον ἄρχων πόλεων τούτοις ἀντεπολέμησε καὶ πεσεῖν f. 186 v. *ἐκινδύνευσεν, εἰ μὴ ἐξείλετο τοῦτον ἀκαταγωνίστῳ ῥύμῃ καὶ ῥώμῃ Νικηφόρος μάγιστρος ὁ Βοτανειάτης· τοῦτο γὰρ ἐγὼ*

13. *μὲν*] *μὲν βασιλείας?* *ἐξαιρέτων* interpres.

iectorum ira contra haereticos, qui Iberiam et Mesopotamiam et usque ad Lycandum et Melitenem et adiacentia loca incolunt, Armenii et qui iudaicam Nestorii et capiti (patriarchae) inobedientium colentes haeresim. etenim plena sunt loca tali falsa fide. quando autem etiam orthodoxos tetigit periculum, in difficultate erant omnes Graecorum fidem colentes.

Tamen igitur surgit quidam nobilium Graecus protovestiarius, cui nomen Diogenis: hic enim etiam antea videns imperatorum culpa et inde effectis angustiis peracta hostium consilia et magnos eos factos parsimonia Graecorum, aegre ferebat et indignabatur et defectionem meditabatur non cupiditate quidem ut affirmabat postea, et fructu commodorum eius, sed ut fortunas restitueret cadentium iam Graecorum, cum non secundum rationem se haberent res. cum igitur credita esset ei imperio regis Ducae sardica satrapia, statuit Sauromatas accipere socios ad consilium et in manifestum id producere. parebant enim illi viro huic, quia vicino imperio hic iis antea spectatus erat, cum princeps urbium circa Istrum sitarum his bellum inferret, et cadere periclitaretur, nisi exemisset hunc impetu et robore Nice-

διὰ χειλέων τοῦ Διογένους ὁμολογούμενον ἐπυθόμην. γενομένων δὲ γραμμάτων πρὸς ἐκείνους ἐφ' ᾧ τελεσθῆναι καὶ τὰς συνθήκας δι' ὅρκου, τῶν συμβούλων αὐτοῦ τις, τὸ γένος Ἀρμένιος, ὃς καὶ πρὸς τὸ ἔργον αὐτὸν μειζόνως ἠρέθισεν, ἐπεβουλεύσατο τούτῳ, καὶ συμπείσας ἀποστεῖλαι τοὺς ἀμφ' αὐτὸν μηνυτὰς τῶν βεβουλευμένων, πρὸς σύμπνοιαν ἄξοντας τῶν τε στρατηγούντων καὶ τῶν ὑπηκόων τινάς, ὡς εἶδεν αὐτὸν ἐψιλωμένον χειρός, κατεῖπεν αὐτοῦ ἐν τοῖς ἐγχωρίοις ὡς εἴη μεμελετηκὼς ἀποστασίαν, μᾶλλον δὲ προδοσίαν αὐτῶν εἰς τοὺς Σαυρομάτας. καὶ πρὸς θυμὸν διερεθίσας αὐτοὺς ἐπιτίθεται τούτῳ ἀθρόον, καὶ μόνον εὑρηκὼς συλλαμβάνει καὶ εἰς τὴν βασιλεύουσαν ἄγει δεσμώτην, δίκας τοῦ τολμήματος δώσοντα. κριθεὶς τοίνυν παρὰ τῶν πρώτων τῆς συγκλήτου βουλῆς τῷ τῶν ἐπιβούλων νόμῳ ἑάλω καὶ κατεψηφίσθη θανεῖν, μὴ ἀντερίσας ἢ ἀντιθέσεις πλασάμενος ἢ τὴν κατηγορίαν ἀπαρνησάμενος, ἀλλ' αὐτέλεγκτος ἐκ τῆς ὁμολογίας γενόμενος. εἰ δὲ καὶ αὐτὸς τῶν δικασάντων μέρος ὑπῆρχον, ἴσασιν οἱ πολλοί. διὸ καὶ ὑπερορίᾳ ἀπεστάλη πρὸς νῆσον, πᾶσιν ἀνίαν ἐνθέμενος ὅσοι τῆς αὐτοῦ νεότητος ἢ καὶ γενναιότητος ἐν πείρᾳ καθίσταντο. οἱ δ' ἀγνοοῦντες αὐτὸν ἐκ τῶν εἰδότων παραλαμβάνοντες ὑπῆρχον ἐξ ἀκοῆς ἐρασταί· καὶ διὰ τοῦτο δι' εὐχῆς ἦν τοῖς ὅλοις ἀνώτερον γενέσθαι τὸν ἄνδρα κολαστηρίων καὶ χαρισθῆναι τῇ

6. ἄξοντες C. 13. κριθεὶς] καὶ θεὶς C.

phorus magister Botaniates: hoc enim ipsis labris (ipso ore) Diogenis confirmatum comperi. missis autem scriptis ad illos, ut componerentur etiam pactiones iureiurando, consiliariorum eius quidam, genere Armenius, qui etiam ad factum eum magis exitaverat, insidias huic struxit et persuadens ei, ut mitteret suos indices consiliorum ad societatem tradúcturos quosdam ducum et subiectorum, postquam vidit eum nudatum manu, accusavit eum apud incolas, quasi meditatus esset defectionem, sive potius proditionem eorum ad Sauromatas, et animo incitans eos insidiatur huic simul et solum inveniens comprehendit et ad regiam ducit captivum, poenas incepti daturum. iudicatus igitur a principibus convocati senatus lege insidiatorum deprehensus est et damnatus mortis, non contradicens aut oppositiones fingens aut accusationem negans, sed convictus ipse concessione. num autem et ipse iudicum pars fuerim, sciunt plerique, quamobrem etiam exilio missus est ad insulam, omnibus aegritudinem imponens, quicunque eius iuventutem aut etiam nobilitatem experti erant; qui autem ignorarent eum, a scientibus audientes fiebant audiendo eius amatores, et propterea omnibus voto erat, superiorem fieri virum poenis et donari Graecorum imperio. cum autem etiam consilium viri non amoris sui

Ῥωμαίων ἀρχῇ. ἐπεὶ δὲ καὶ ὁ σκοπὸς τοῦ ἀνδρὸς οὐ φιλαυτίας ἀλλὰ φιλαδελφίας καὶ φιλευσεβείας ὅλος ἦν, ὡς προέφαμεν, περιαλγοῦντος τῆς τῶν ὀρθοδόξων κακοπαθείας, ἐνηργήθη λοιπὸν τοῖς εὐχομένοις τὰ τῆς εὐχῆς, καὶ παραστάντος αὐτοῦ τῷ βασιλικῷ βήματι περιέσχεν ἔλεος ἄσχετον τὴν Αὐγοῦσταν, καὶ σταλαγμοὶ δακρύων τῶν βλεφάρων ταύτης ἐξέπεσον· ἦν γὰρ ὁ ἀνὴρ οὐ μόνον τοῖς ἄλλοις πλεονεκτήμασι προτερῶν, ἀλλὰ καὶ θεαθῆναι παντάπασιν ἥδιστος, ἐπιμήκης τε καὶ στέρνων καὶ νώτων ἐν καλῷ καθορώμενος, καὶ εὐγενές τι πνέων ὡς ἀληθῶς καὶ διογενές, εὐόφθαλμός τε εἴπερ τις ἄλλος, καὶ κάλλος ἀποστίλβων τοῖς ὀφθαλμοῖς, μήτ' ἀκριβὲς τὸ λευκὸν μήτε τὸ μέλαν ἀποσώζων ὡσαύτως ἀλλ' ὥσπερ συγκεκεραμένον . . . τῇ δημιουργίᾳ τῇ φύσει καὶ συγκεκραμένον τῷ ἐρυθήματι, κἂν τούτοις ἅπασι τὴν γλυκύτητα περιθέουσαν ἔχων, καὶ ἄξιον εἶδος κατὰ τὸν κωμικὸν τυραννίδος ἐπιδεικνύμενος· ὡς οὖν καὶ ἡ ἑστῶσα γερουσία συνέπαθεν, εὐθὺς ἐπηκολούθησεν ἡ συμπάθεια, καὶ περισωθεὶς τοῦ κινδύνου καὶ βασιλικῶν ἀξιώσεων ἔτυχε, καὶ ἀπολυθεὶς παρὰ πάντων ἠσπάζετό τε καὶ εὐφημεῖτο καὶ ἔργον εὐχῆς γενέσθαι κατήκουσε, καὶ τὴν αὐτοῦ σωτηρίαν ἰδίαν ἐνόμιζεν ἕκαστος. ἐξιὼν οὖν εἰς Καππαδοκῶν, ἐξ ἧς τὴν ἀρχὴν τῆς γενέσεως ἔσχηκε, πάλιν μεταπεμφθεὶς εἰς τὴν βασιλεύουσαν εἰσελήλυθε, κἂν τοῖς γενεθλίοις τοῦ Χριστοῦ μάγιστρος καὶ στρατηλάτης

1. μέλλον C: correxit Brunetus.

sed fratrum amoris et pietatis plenum esset ut antea diximus, dolente valde orthodoxorum aegritudine, effectum iam est precantibus votum et adstante eo regio suggestui, superavit misericordia irresistibilis augustam, et lacrimarum humores ex oculis cadebant: erat enim vir non solum ceteris virtutibus superior sed etiam ad spectandum omnino suavissimus, longus et pectore et tergo pulchre apparens, et nobile quid spirans revera et divinum: et pulcher oculis si quis alius, et pulchritudinem splendens oculis; neque accurate album neque nigrum servans eodem modo, sed quasi cuniunctum artificio a natura et mixtum rubori et in his omnibus suavitatem circumdatam habens, et dignum corpus secundum comicum poetam tyrannide ostendens. cum igitur etiam adstans senatus miserationem sentiret, statim secuta est misericordia et servatus e periculo et regia munera adeptus est et liberatus ab omnibus salutabatur et laudabatur et rem voti factam esse audivit et eius salutem suam quisque putabat. egressus igitur ad Cappadocum terram, ex qua initium generis habuit, rursus arcessitus ad regiam advenit et natali die Christi magister et dux renuntiatus

ἀνεδείχθη παρὰ τῆς βασιλίδος, προελθούσης βασιλικῶς μετὰ τῶν ἰδίων παίδων, ὡς ἔθος τοῖς βασιλεῦσιν, εἰς τὸν μέγιστον σηκὸν τῆς τοῦ θεοῦ σοφίας.

Ἀνάγκης δὲ πολλῆς καὶ συγχύσεως ἐκ τῆς τῶν ἀλλοφύ-
f. 187 r. λων ἐθνῶν ἀπηνεστάτης ἐπιδρομῆς τὴν Ῥωμαίων συμπιεζούσης (καὶ γὰρ τὰ μὲν ἐν τοῖς νοτίοις μέρεσιν, ὅσα πρὸς Ἀντιόχειαν καὶ Κιλικίαν, ταῖς προειρημέναις ἐκδρομαῖς ἀπειρηκότα ἐν ἐσχάτοις ἦσαν κινδύνοις· ἐν δὲ τοῖς βορειοτέροις αὐτὸς ὁ σουλτάνος πανστρατιᾷ ἐξελήλυθε, δυνάμεις ἄγων ἀνυποίστους, καὶ τοῖς ὁρίοις ἐν τῷ φθινοπώρῳ τῶν Ῥωμαίων προσήνωτο, βουλόμενος παραχειμάσαι ἐκεῖσε καὶ ἀρχομένου τοῦ ἔαρος προσεχῶς προσβαλεῖν καὶ ἄρδην ἀνατρέψαι τὰ Ῥωμαίων καὶ καθελεῖν) ἐσκέπτετο ἡ Αὔγουστα καὶ ὅσοι τῆς πρώτης ἦσαν βουλῆς, σὺν αὐτοῖς δὲ καὶ ὁ πατριάρχης, πῶς καὶ τίνα τρόπον τοσοῦτον δεινὸν ἀποτρέψαιεν. καὶ συνέδοξε τὴν ὑπὲρ τῶν ὅλων κρατῆσαι πρόνοιαν, καὶ τῆς εἰδικῆς καὶ ἐπιθανατίου παραγγελίας τὸ κοινῇ συμφέρον ἐπιεικῶς προτιμήσασθαι, ὅτι τὰ εἰδικὰ σύμφωνα τὰ πρὸς δημοσίαν συντέλειαν ἀφορῶντα περιτρέπειν δεδύνηνται· τὸ γὰρ μὴ γίνεσθαι βασιλέα διὰ τὸν τῆς μίξεως ζῆλον κοινὴ συμφορὰ καὶ καθαίρεσις τῆς Ῥωμαίων ἀρχῆς ἐγινώσκετο. δόξαν οὖν οὕτω κεκράτηκεν ἡ τοιαύτη γνώμη, καὶ βασιλέα μὲν ὁ καιρὸς ἐδεῖτο ἐξ ἅπαντος, εἰ μέλλοι τὰ Ῥωμαίων μὴ ἀπολέσθαι δι' ὅλου,

6. ἐν om. C. 8. τοῖς om. C.

est a regina accedente regie cum suis liberis ut mos est regibus ad maximum templum sapientiae dei.

Necessitate autem magna et confusione propter peregrinorum populorum durissimam incursionem Graecorum terram premente — etenim terrae in partibus australibus ad Antiochiam et Ciliciam commemoratis incursionibus defatigatae in extremis versabantur periculis: in septentrionalibus autem ipse sultanus cum toto exercitu exiit, vires ducens intolerabiles, et finibus auctumno Graecorum adhaerebat, volens hiemare ibi et incipiente vere assidue incidere et funditus evertere Graecorum terram et delere — considerabant augusta et quicunque in summo erant senatu, cumque iis patriarcha, quomodo tantum periculum averterent et visum est, ut providentia totius vinceret, et ut illa privatae et periculosae hortationi communem utilitatem merito anteferret, quia propriae inclinationes ea quae ad publicam communitatem spectant, perverterc potuerunt. quod enim non crearetur rex propter coniugii odium, commune malum et excidium imperii Graecorum iudicabatur. hoc igitur viso, superior fuit talis sententia, et regem tempus postulabat omnino, nisi res Graecae perire deberent

ὁ δὲ τοῦ καιροῦ καὶ τῆς ἀξίας ταύτης ἐπάξιος ἐζυγομαχεῖτο, τοῦ Βοτανειάτου ἀποδήμου τυγχάνοντος εἰς τὴν τῆς Ἀντιοχείας ἀρχήν, ἕως εἰς νοῦν τινὸς τῶν τοῦ βουλευτηρίου προϊσταμένων ὁ Διογένης ἀφίκετο. μᾶλλον δὲ πρὸ αὐτοῦ ἡ Αὐγοῦστα τοῦτον ὡς αὐτίκα παρόντα καὶ γυναικὸς ἀμοιροῦντα προέκρινεν. ἐπὰν δ' οὗτος ἐρρήθη, πάντες αὐτῷ τὴν ἀξίαν, φόβῳ τοῦ μὴ φανῆναι ἀλλότριοι, ὅσοι τῇ δεσποίνῃ προσήγγιζον, ἐχειροτόνουν. διὸ καὶ πρώτην ἄγοντος τοῦ ἰαννουαρίου 1068 Ian.
μηνὸς τῆς ς' ἰνδικτιῶνος, ὁπότε τῶν χειμερινῶν τροπῶν ὁ ind. VI.
ἥλιος μεθιστάμενος τὴν οἰκουμένην φρυκτωρεῖν καὶ θάλπειν ἐπείγεται καὶ ἀρχὴν εὔκαιρον τοῦ ἐνιαυτοῦ τὸ πλεῖστον μέρος τοῦ χειμῶνος ἐπεξεργάζεται, καὶ ἡνίκα ἡ μνήμη τοῦ μεγάλου ἀρχιερέως καὶ θύτου ἁγίου Βασιλείου, ὃν καὶ αὐτὸν ἡ Καππαδοκῶν ἤνεγκε φωστῆρα τῆς ἐκκλησίας διαφανέστατον, ἑορτάζεται, βασιλεὺς αὐτοκράτωρ ὀρθριώτερον οὗτος ἀναγορεύεται, νυκτὸς ἀνιὼν εἰς τὸ Καπιτώλιον διὰ τῆς δεσποίνης ἐν ὅπλοις, καὶ λαθὼν τοὺς τῆς βασιλίδος υἱεῖς.

Καὶ ὡς τὰ πράγματα ἔδειξαν, οὐ πάνυ μάτην ἠλπίκασιν οἱ πολλοί. τῶν γὰρ Ῥωμαϊκῶν σκήπτρων ἐπιλαβόμενος οὗτος, οὐκ ἔλαττον τῶν ἐν ποσὶ πολιτικῶν πραγμάτων, τῆς στρατιωτικῆς εὐταξίας ἐφρόντισε καὶ συστάσεως, κἂν ὅτι μάλιστα προγονοὺς εἶχε περὶ αὐτὸν καὶ συνέδρους, εἰπεῖν δὲ δεῖ καὶ ἐφέδρους, καὶ σὺν αὐτοῖς τὸν τούτων πατράδελφον

23. τούτων (ου) C.

prorsus. qui autem temporibus et dignitate hac dignus esset, de ea re certabatur, cum Botaniates peregre esset in Antiochiae imperio, donec in mentem alicuius praesidis senatorum Diogenes veniret: sive potius ante eum Augusta hunc, quippe qui statim adesset et uxoris expers esset, elegit. postquam autem hic dictus est, omnes ei dignitatem metuentes, ne viderentur alienati, quicunque dominae appropinquabant, adiudicabant. quamobrem etiam primum agente ianuario mense indict. VI, quando ex hiberno solstitio sol excedens mundum luce signare et fovere cogitur et initium opportunum anni maximam partem hiemis reddit, et quando memoria magni pontificis et sacrificuli sancti Basilii (quem eundem Cappadocum terra tulit quasi stellam ecclesiae lucidissimam) celebratur, rex et dominus mane hic renuntiatur, postquam nocte ascendit Capitolium reginae ope cum armis et clam filiis reginae.

Atque ut res probarunt non omnino frustra speraverant plurimi. sceptrum enim Graecum accipiens hic non minus quae ante pedes erant res publicas quam militarem ordinem curavit et compo-

Ἰωάννην, τὸν Καίσαρα. ἤρξατο γὰρ αὐτίκα ἐν αὐτοῖς τοῖς πολιτικοῖς διατάγμασι καὶ τῶν παρατυχόντων στρατιωτῶν τοῖς ἐπισημοτέροις συνομιλεῖν, καὶ περὶ πολεμικῶν ἀγώνων βουλεύεσθαι, καὶ πρεσβευτὰς ἑτοιμάζειν, καὶ πανταχόθεν τοῖς ἐναντίοις διακωλύειν τὰς προσβολάς. διὰ ταῦτά τοι καὶ χρόνος οὔτι συχνὸς κατέσχε τοῦτον εἰς τὰ βασίλεια, ἀλλὰ μετὰ διττὴν σεληναίαν περίοδον ἡ τῆς ἑώας τοῦτον ἐδέξατο Προποντίς, καὶ τὸ παράσημον τῆς βασιλικῆς σκηνῆς πᾶσιν ὁμοῦ παρεστήσατο τὴν βασιλίδα πρὸς τὴν ἑώαν ἐκστρατείαν καὶ ἀποφοίτησιν, καὶ ὁ ζῆλος τῆς ἐκδικίας νενίκηκε τὴν κατὰ τὴν βασιλίδα τρυφήν τε καὶ θυμηδίαν, καὶ τὸ κατὰ τὰς προόδους μέχρις οὐρανοῦ φθάζον κλέος καὶ πόνους τούτων ἀντικαταλλάξασθαι τὸν κρατοῦντα παρέπεισεν. ὃ καὶ πάντας κατέπληξε, συμβαλόντας ὅτι εἰς τὸ διατάξασθαι μόνον τὴν τῆς ἐκστρατείας παρασκευὴν καὶ ἀποσκευὴν οὐδὲ τριῶν ὅλων διάστημα μηνῶν ἐξαρκεῖ. ὁ δὲ νεοπαγὴς γεγονὼς τά τε ἄλλα καταστησάμενος ἦν, καὶ πρὸς τῇ ἀποσκευῇ καὶ στρατιωτικὸν ἐκ τῆς ἑσπέρας καὶ τῆς τῶν Καππαδοκῶν φθάσας προσσυνελέξατο, καὶ Σκύθας
f. 187 v. *συνεκαλέσατο, καὶ πρὸ τῆς τούτων ἐπιδημίας μετὰ τῶν ἐν τῇ βασιλείῳ μόνων αὐλῇ τῆς ὁδοῦ σπουδαίως ἐφήψατο. εἰ δὲ καὶ αὐτὸς ὁ ταῦτα συγγράφων τῶν ἐκ προκρίσεως αὐτῷ συνεπομένων ἐτύγχανεν, καὶ τὰς τοῦ στρατοῦ διευθετῶν ὑπο-*

sitionem, cum maxime privignos circum se haberet consiliorum participes vel, ut verius dicam, insidiarum auctores cumque iis avunculum Ioannem Caesarem. coepit enim statim in ipsis constitutionibus publicis etiam eorum qui aderant militum illustrioribus uti et de bellicis certaminibus deliberare et legatos instruere et undique hostibus impedire incursiones. propterea etiam tempus non diuturnum retinuit hunc in regia, sed post alterum lunae circuitum orientalis Propontis hunc excepit: et splendor regii tentorii omnibus simul ostendit regiam ad orientalem expeditionem et iter: atque studium ultionis vicit luxuriam et voluptatem, quae essent in regia: atque gloria, quae in expeditionibus usque ad coelum veniret imperatori persuasit ut etiam labores harum mutaret ea: quod quidem omnibus stuporem iniecit cogitantibus, ad instruendum solum expeditionis apparatum et impedimenta ne trium quidem totorum spatium mensium sufficere: ille autem modo firmatus et reliqua constituebat et ad impedimenta etiam exercitum ex occidente et terra Cappadocum celeriter delegit et Scythas convocavit atque ante horum adventum cum iis solis qui in regia aula erant iter studiose iniit. cum autem et ipse qui haec scribit sequentes se ex electione haberet, et proposita exercitus administraret in

θέσεις ἐν κρίσεσι, πάντως ἂν οὐκ ἐξ ἀκοῆς ἀλλ' ἐξ αὐτοπτίας τὰ καθεξῆς παραδώσει διὰ γραφῆς τοῖς μετέπειτα.

Εἶχε μὲν οὖν βασιλέα ἡ τῶν Βιθυνῶν ἐπαρχία, καὶ μετ' αὐτὴν Φρυγία, τὸ θέμα λέγω τῶν ἀνατολικῶν. καὶ συνήγοντο ἐκ διαταγμάτων προσφοιτησάντων οἱ τῶν ταγμάτων ἐξάρχοντες, καὶ ὅσοι τὴν τάξιν ἀνεπλήρουν ἑκάστου τάγματος. καὶ ἦν ἰδεῖν τοὺς διαβοήτους λόχους ἐξ ὀλίγων συγκειμένους ἀνδρῶν, καὶ τούτων συγκεκυφότων τῇ πενίᾳ καὶ πανοπλίας ἐστερημένων καὶ ἵππου πολεμικῆς· ἐκ πλείονος γὰρ παραμεληθέντες ἅτε μηδὲ βασιλέως στρατευσαμένου διὰ πολλῶν ἐνιαυτῶν περὶ τὴν ἑώαν, καὶ τὸν ἀφωρισμένον ὀψωνιασμὸν μὴ ἀπειληφότες, καὶ κατὰ μικρὸν τοῖς ἐναντίοις ἐκ τῆς ἀπαρασκευάστου προσβολῆς καὶ λυπρᾶς καταβαλλόμενοι καὶ τρεπόμενοι, οὕτως εἰς ἐσχάτην ταλαιπωρίαν συνελαθέντες δειλοὶ καὶ ἀνάλκιδες καὶ πρὸς οὐδὲν γενναῖον χρησιμεύοντες κατεφαίνοντο. ὡς δὲ καὶ αὐτὰς τὰς σημαίας μονονουχὶ σιωπηρῶς ἀποφθέγγεσθαι ταῦτα, πιναρὰς ὁρωμένας ὥσπερ ἀπὸ καπνοῦ καὶ ὀπαδοὺς ἐφεπομένους ἐχούσας εὐαριθμήτους καὶ πενιχρούς. πολλὴν ἀθυμίαν προσῆγον ἀναλογιζομένοις ὅθεν καὶ τίνα τρόπον εἰς τὸ ἀρχαῖον ἐπανελεύσονται καὶ τὴν προτέραν ἀξίαν τὸ στρατιωτικόν, καὶ διὰ πόσου τοῦ χρόνου ἀνακαλέσοιτο, τῶν μὲν ὑπολελειμμένων τοῖς τάγμασιν ὀλίγων ὄντων καὶ ἀπορουμένων τοῖς ὅπλοις καὶ τοῖς ἐκ τῶν ἵππων κι-

7. λόχους καὶ λοχαγοὺς ἐξ C. 16. an ὥστε?

iudiciis, omnino non e fando sed ex iis quae ipse vidit, deinceps facta tradet libro posteris.

Habebat igitur regem provincia Bithynorum et post eam Phrygia, provinciam (legionem) dico orientis, et cogebantur ex ordinibus advenientibus ordinum praefecti et quicunque aciem explebant cuiusque ordinis, et poterant spectari celebres centuriae et centuriones, ex paucis compositae viris iisque curuvatis egestate et armis privatis et equitatu belli: maximam enim partem neglecti, cum ne rex quidem profectus esset per multos annos circa orientem, neque definitum commeatum adepti et paene ab hostibus propter imparatam incursionem et miseram deiecti et versi, ita in extremam miseriam coacti ignavi et infirmi et ad nullam rem nobilem utiles apparebant, ita ut ipsa signa militaria paene tacite haec enarrarent, sordida apparentia quasi fumo, et comites habentia sequentes et paucos et pauperes, id quod multam ignaviam afferret reputantibus, unde et quomodo in antiquum redirent et priorem dignitatem exercitus et per quantum tempus revocaret, cum relicti ordinibus pauci essent et inexercitati armis

νήμασι, τῆς δὲ νεολαίας ἀπειροπολέμου καθεστηκυίας καὶ τοῦ πολέμου μαχιμώτατα καὶ τῶν πολεμικῶν κινδύνων ἐθάδας τοὺς ἀντιτεταγμένους καὶ ἀντιβαίνοντας ἐχούσης.

Ἀλλὰ τὸν βασιλέα τὸ τοιοῦτον συγκύρημα οὐ κατέπληξε. τοὐναντίον δὲ μᾶλλον τοὺς ἐναντίους ἡ ἀθρόα τούτου ὁρμή τε καὶ ἔφοδος, οἰηθέντας, ὥσπερ ὕστερον μεμαθήκαμεν, ὅτι κινδύνων οὗτος ὁ ἄνθρωπος οὐδένα λόγον πεποίηταί, ἀλλ' Ἄρεός ἐστι φοιτητής, καὶ καινοποιήσει τὰ Ῥωμαίων, καὶ ἀντισηκώσει τοῖς ἐχθροῖς τὰ ἐπίχειρα. διὰ ταῦτα καὶ ὁ μὲν σουλτάνος ὀπισθόρμητος γέγονε, μοῖραν δέ τινα μεγάλην ἀποτεμόμενος, καὶ ταύτην διχῇ διελών, εἰς τὴν ἄνω Ἀσίαν στρατοπεδεύειν πεποίηται, τὴν μὲν βορειοτέραν τὴν δὲ περὶ τὰ νότια θέμενος. ὁ δὲ βασιλεὺς κατάλογον στρατιωτικὸν ποιησάμενος, καὶ ἐκ πάσης χώρας καὶ πόλεως νεότητα συλλεξάμενος καὶ ἀξιώμασι καὶ δώροις ἀναθαρρῆσαι πεποιηκώς, καὶ δι' ὀλίγου τὸν ἀριθμὸν τῶν ταγμάτων ἀναπληρώσας, καὶ λοχαγοὺς τοὺς ἀρίστους ἑκάστῳ τούτων ἐπιμελῶς προστησάμενος, συμμίξας δὲ καὶ τοῖς ἀπὸ τῆς ἑσπέρας ἐλθοῦσιν, ἐν ὀλίγῳ χρόνῳ στρατιὰν ἀξιόμαχον κατεπράξατο, καὶ μετὰ τοσαύτης δυνάμεως ἐπὶ Πέρσας ἐπιστατικώτερον ἤλαυνεν. ὡς δὲ τὸ βορειότερον στρατόπεδον τῶν Περσῶν, ἐκδρομήν τινα πρότερον φαντάσαν, δόξαν ὑποχωρῆσαι ἐκ τῆς τοῦ βασιλέως προόδου

2. an μαχιμωτάτους?

et artificiosis ex equis motibus, iuventus autem belli ignara esset et bello et bellicis periculis assuetos et pugnacissimos haberet oppositos hostes.

Sed regem talis casus non terruit, contra magis hostes terruit assiduus huius impetus et incursio, cum putarent, ut postea accepimus, periculorum hunc hominem nullam habere rationem, sed bellicosum esse advenam et novaturum res Graecas et aequaturum hostibus poenas. propterea etiam sultanus quidem retro contendit, partem autem quandam magnam abscindens et hanc bifariam dividens in superiorem Asiam proficisci iussit, alteram in septentrionalibus, alteram in australibus constituens regionibus. rex autem delectum militum instituens et ex omni terra et urbe iuventutem convocans et muneribus et donis fortem reddens et brevi numerum ordinum explens et centuriones optimos unicuique horum studiose praeficiens, sed etiam admiscens venientibus ex occidente ordinibns, brevi tempore exercitum pugnacem confecit et cum tanta vi contra Persas firmius proficiscebatur. cum autem septentrionalis exercitus Persarum excursionem quandam antea monstrans exspectationem recedendi regis expeditioni praeberet, statuit iam Diogenes in australes incidere, qui terram circa

παρέσχετο, ἔγνω λοιπὸν ὁ Διογένης τοῖς νοτίοις ἐπεισπεσεῖν, οἳ τὰ περὶ τὴν κοίλην Συρίαν καὶ Κιλικίαν καὶ αὐτὴν Ἀντιόχειαν καταληΐζοντες ἦσαν. καὶ διὰ ταῦτα καταλιπὼν τὸ εὐθὺ Σεβαστείας καὶ Κολωνείας φέρεσθαι, τῷ τοῦ Λυκαν- f. 188 r.
δοῦ ἐπεχωρίασε θέματι, διατρῖψαι τὸν θερινὸν καιρὸν ἐν αὐτῇ διανοηθείς, κἂν τῷ φθινοπώρῳ τοῖς Συριακοῖς μέρεσι προσβαλεῖν, ὁπόταν τὸ πολὺ τῆς φλογὸς ἐκ τῆς ἀποστάσεως ὁ ἥλιος ἀποτίθεται, ἵνα μὴ τῷ ἀσυνήθει τοῦ καύσωνος διαλωβηθῇ τὸ στρατόπεδον καὶ νόσοις ἁλώσιμον γένηται.

Ἐν τοσούτῳ δὲ χρονίζοντος τούτου λάθρα προσβαλόντες οἱ Πέρσαι (Τούρκους δὲ τούτους νυνὶ ὁ λόγος οἶδε καλεῖν) τὴν Νεοκαισάρειαν ἐξ ἀπροόπτου τῆς ἐπιδρομῆς καταστρέφουσιν, καὶ πολλῶν σωμάτων καὶ χρημάτων ἐν τῷ ἀσφαλεῖ κυριεύσαντες παλινῳδίαν ᾖσαν, βάρος λαφυραγωγίας οὐκ ἐλάχιστον ἐπαγόμενοι. ἐλθὼν οὖν ὁ λόγος οὗτος εἰς τὸν βασιλέα πολλὴν αὐτῷ καὶ τοῖς ἀμφ' αὐτὸν ταραχὴν ἐνεποίησε, διασκοποῦσι τήν τε τῶν ἐναντίων μηχανήν, καὶ ἣν ὑπέστησαν ἀπάτην, καὶ τὸν ἐκ πολλῶν μῶμον, ὅτι τοῦ βασιλέως ἐκστρατευομένου τυγχάνοντος οὐδὲν ἧττον οἱ πολέμιοι τὰ ἑαυτῶν διεπράξαντο, μὴ δυνηθέντος τοῦ κρατοῦντος ἀμύνασθαι. ἀμέλει τοι καὶ ταχὺ τὰς δυνάμεις ἀνειληφὼς δι' ἀτραπῶν ἀβάτων καὶ δυσβάτων ἀπὸ ῥυτῆρος κατόπιν ἤλαυνε. καὶ πλησιάσας τῇ τῶν Σεβαστηνῶν μητροπόλει τὴν μὲν στρατιωτικὴν ἀποσκευὴν καὶ τὸ πεζὸν ἅπαν εὐθὺ τοῦ ἄστεος ἀπιέναι διεκελεύσατο

Coelesyriam et Ciliciam et ipsam Antiochiam diripiebant, et propterea relinquens loca adversus Sebastiam et Coloniam sita in Lycandi provincia versatus est, manere per aestivum tempus in ea volens et auctumno Syriacas partes ingredi. quando plurimum ignis propter spatium sol deponit ne insueto calore inficeretur exercitus et morbis caperetur.

Interea hoc cunctante clam incidentes Persae (Turcas autem hos nunc sermo scit vocare) Neocaesaream improvisa incursione devastant et multis corporibus et rebus tuto potiti reditum paraverunt, pondus praedae non minimum adducentes. veniens igitur nuntius hic ad regem multam ei et iis qui circa eum erant turbationem iniecit, reputantibus hostium machinationem et quem sustinuerant dolum et multorum irrisionem, quod rege egresso nihilominus hostes res suas perficerent rege non valente arcere eos. certo tamen et celeriter vires recipiens per clivos inaccessibiles et invios remissis quasi frenis post eos proficiscebatur. et appropinquans Sebastinorum urbi capitali militaria impedimenta et totum pedestrem exercitum urbem versus abire iussit

μετὰ τοῦ συνόντος αὐτοῦ προγονοῦ τοῦ Ἀνδρονίκου, ὃν αὐτος βασιλέα χειροτονήσας ὡς ἐνέχυρον ἢ συστράτηγον εἶχεν, ἢ τόπον ἀντισηκώσοντα τούτου, εἴ πῃ πολλάκις παρήκων καὶ ὁπλίτης ἐπιτιθέμενος τοῖς ἐχθροῖς καιρίαν ὡς ἄνθρωπος δέξοιτο. αὐτὸς δὲ μετὰ πάσης τῆς ἵππου κατεδίωκεν ὀπίσω τῶν ἐναντίων. καὶ διὰ πολλῶν ὑψηλοτάτων βουνῶν τῶν τῆς Τεφρικῆς διερχόμενος, καὶ τοῖς ἐχθροῖς ἐπιτεθῆναι κατὰ τὸ ἐγκάρσιον ἐπειγόμενος, οὕτω τὸν στρατὸν κατειργάσατο ὡς, καίτοι τῶν ἐχθρῶν ἔγγιστα τυγχανόντων καὶ θεαθέντων αὐτοῖς, μὴ δύνασθαι τοῖς περὶ αὐτὸν ταχυδρομῆσαι διὰ τῶν ἵππων καὶ μνήμης ἄξιον κατόρθωμα διαπράξασθαι. ὅμως μέντοι τῷ ἀδοκήτῳ τοῦ πράγματος κατασεισθέντων τῶν ἐναντίων, καὶ τῇ φήμῃ τῆς τοῦ βασιλέως ἐπιστασίας ἰσχυρῶς ἐπιναρκησάντων, πολὺς μὲν φόνος τούτων ἐγένετο αὐτίκα νῶτα δεδωκότων καὶ πρὸς φυγὴν ὁρμησάντων. ὅσοι δὲ καὶ ζωγρείᾳ ἑάλωσαν, οὐδὲν ἀπώναντο τῆς ἰδίας ζωῆς, μαχαίρας ἔργον γενόμενοι. ἡ μέντοι λεία πᾶσα, ἀπὸ ἀνθρώπου ἕως κτήνους, ἐλευθερωθεῖσα τὸν βασιλέα καὶ γλώσσῃ καὶ θαύματι ἐπευφήμησε. καὶ γὰρ θαυμαστὸν τῷ ὄντι καὶ ἀξιόλογον γέγονεν, ἵνα βασιλεὺς Ῥωμαίων ἀκρατῶς διώκῃ χωρὶς τῆς οἰκείας ἀποσκευῆς, μετὰ μόνου τοῦ ἰδίου ὁπλιτικοῦ, ἐπὶ ὅλας ἡμέρας ὀκτώ, διὰ τόπων ἀδήλων τε καὶ ἀβάτων, καὶ μὴ ἀποτύχῃ τῆς ἐπιβολῆς.

1. αὐτῷ?

cum eius privigno, qui aderat, Andronico, quem quidem ipse regem creans ut pignus aut imperii socium habebat aut aequaturum locum huius si qua saepe accedens et cum gravi armatura instans hostibus vulnus letiferum ut homo acciperet. ipse autem cum toto equitatu persequebatur hostes et per multos altissimos colles terrae Tephricae perveniens et hostibus instare ex obliquo contendens ita exercitum perfecit, ut quamquam hostes proximi essent et ab iis conspicerentur, tamen non possent eius militibus per equos celeriter currere et memoria dignum factum agere: attamen cum inexspectata re concussi essent hostes et fama impetus regis valde horrerent, magna caedes horum facta est, cum statim terga dedissent et in fugam se vertissent, non usum habuerunt suae vitae, gladii opus facti: praeda autem omnis ab homine usque ad pecudem liberata regem et lingua et admiratione celebravit: etenim admirabile profecto et memorabile fuit, quod rex Graecorum incontinenter persecutionem exsequitur sine propriis impedimentis cum sola sua gravis armuturae manu totos dies octo per loca ignota et invia neque excidit proposito.

Ὑποστρέψας οὖν ἐκεῖθεν εἰς τὴν Σεβαστηνῶν μητρόπολιν πρώτην ἄγοντος τοῦ ὀκτωβρίου μηνός, καὶ διαναπαύσας τὸν στρατὸν ἐν μόναις ἡμέραις τρισίν, ἄρας ἐκεῖθεν τῆς πρὸς Συρίαν ἀγούσης εἴχετο, καὶ διὰ τῶν τῆς Κουκουσοῦ αὐλώνων καὶ δυσδιεξοδεύτων ἀτραπῶν εἰς Γερμανίκειαν καταστὰς εἰς τὸ θέμα τὸ καλούμενον Τελοὺχ παρὰ τοῖς Ἀρμενίοις εἰσβάλλει, πρότερον οὐκ ὀλίγην ἀποτεμόμενος φάλαγγα στρατιωτικὴν μετὰ συνταγματάρχου, καὶ εἰς Μελιτηνὴν ἐκπέμψας ἐπὶ φυλακῇ τῶν τῆς ἑῴας θεμάτων καὶ ἀντιπτώσει τῶν ἐκεῖσε τότε προσεφεδρευόντων ἐχθρῶν, ὧν ἦρχεν ἀνὴρ πανοῦργος καὶ μάχιμος ὀνόματι Αὐσινάλιος, διὰ τοῦτο γὰρ ὁ βασιλεὺς f. 188 v.
μετὰ τῶν λόχων καὶ λοχαγῶν καὶ τοὺς ἅπαντας Φράγγους, ἄνδρας αἱμοχαρεῖς καὶ πολεμικούς, τῷ στρατηγῷ τουτωῒ παραδέδωκεν, ἐφ' ᾧ δι' ἁδρᾶς δυνάμεως περιγίνεσθαι τοῦ πολέμου ἀλλόφυλος ἐπιγένοιτο. ἀλλ' οὗτος οὐκ εὐθαρσῶς εἰς ἅπαξ καὶ ἀφιλοτίμως χρησάμενος τῷ καιρῷ καὶ τοῖς πράγμασι, μικροῦ τῷ βασιλεῖ διπλοῦν πόλεμον, ὑστερουμένῳ τοιαύτης στρατιᾶς μαχιμωτάτης, ἀνθ' ἁπλοῦ προεξένησε. πολλάκις γὰρ προκαλουμένων αὐτὸν τῶν ἐχθρῶν, καὶ μὴ ἐπαΐοντος ἐξιέναι τοῦ ἄστεος τῆς Μελιτηνῆς καίτοι τῶν στρατιωτῶν προθυμοποιουμένων αὐτοῖς ἀντεπεξελθεῖν, ὡς εἶδον ἐκεῖνοι τὸ γλίσχρον αὐτοῦ καὶ περιδεὲς καὶ ἀπόλεμον, διὰ τόπων ἀδήλων βαδίσαντες τῆς βασιλικῆς στρατιᾶς μοίρᾳ τινὶ δι'

14. παραγίνεσθαι C: correxit interpres.

Reversus igitur inde in Sebastenorum urbem capitalem primum agente mense octobre et quietem concedens exercitui solos tres dies, profectus inde viam iniit quae ad Syriam ducit, et per Cucusi valles et difficiles vias in Germanica se constituens in provinciam quae vocatur Teluch apud Armenios, incidit, postquam antea non parvam abscidit phalangem militum cum praefecto ordinis et ad Melitenem emisit ad praesidium provinciarum orientis et ad resistendum hostibus ibi tum insidias parantibus: quibus quidem imperavit vir callidus et pugnax, nomine Ausinalius. propterea enim rex cum centuriis et centurionibus etiam omnes Francos, homines sanguine gaudentes et bellicosos, huic duci tradidit, ut valida vi sustineret bellum in quibus locis illi quando bellum externum instaret: sed hic non fortiter uno ictu et sine honoris studio usus occasione et rebus, paene regi duplex bellum nudato tali pugnacissimo exercitu pro simplice excitavit. cum enim saepenumero provocarent eum hostes neque ille sequeretur ut excederet urbe Melitene, quanquam milites parati erant cum iis congredi, postquam illi viderunt tenuem constantiam (tenuitatem) eius et timiditatem et belli imperitiam, per loca ignota ingressi regii exercitus

ἀγορὰν σιτίων ἐξιούσῃ προσέβαλον· καὶ εἰ μὴ ταχὺ διαναστὰς ὁ βασιλεὺς ἐκ τῆς φήμης ὥρμησε κατ' αὐτῶν, κἀκεῖνοι μὴ ὑποστάντες διέφυγον, τάχα ἂν ἀπώλετο μέρος στρατιωτῶν οὐκ εὐκαταφρόνητον. ἀφ' ὧν εἴ τις τοῖς στρατηγοῖς ἐπιγράφειν ὡς ἐπίπαν ἔχοι τὰ τῶν ἐκβάσεων, εἴτ' ἐπὶ τὸ χεῖρον εἴτ' ἐπὶ τὸ κρεῖττον συνάγοιντο, οὐ διαμάρτοι πάντως τοῦ ὀρθοῦ καὶ τῆς ἀληθοῦς διαγνώσεως.

Ἀλλ' ὁ μὲν βασιλεύς, οὕτω διασωθεὶς καὶ διασώσας τὸ στρατόπεδον, πρὸ τῆς τοῦ Χάλεπ χώρας πανστρατιᾷ κατεσκήνωσε. πρὸ τοῦ καταβῆναι δὲ τοῦ ἵππου, τούς τε Σκύθας καὶ τῶν Ῥωμαίων οὐκ ὀλίγους εἰς προνομὴν ἀποστείλας τὴν πολεμίαν χώραν κατεληίσατο, ἀνδρῶν τε καὶ γυναικῶν καὶ βοσκημάτων δορυάλωτον πλῆθος οὐκ ἐλάχιστον ποιησάμενος. ἐκεῖθεν δὲ προβιβάσας τὴν στρατιὰν προῄει διὰ τῆς πολεμίας, καὶ διτταῖς ἡμέραις ὁμοῦ μεταβαίνων εἰς τοὔμπροσθεν τὰς προνομὰς οὐδὲν ἧττον ποιούμενος ἦν. τριταῖος δὲ πρὸς τὴν Ἱεράπολιν ἀφιγμένος ἑώρα τοὺς Ἄραβας περιρρέοντας κυκλόσε καὶ παραδεικνύντας ἐκ φαντασίας τὸν πόλεμον. ἀλλ' εἰς χεῖρας ἐλθεῖν καὶ συνάψαι Ῥωμαίοις εὐθαρσεῖς οὐ γεγόνασιν, εἰ μή πού τινες ἀκροβολισμοὶ προτρεχόντων τινῶν καὶ τῆς τάξεως προπηδώντων ἐπιγεγόνασι. καὶ προῄεσαν οἱ μὲν Ῥωμαῖοι συντεταγμένως κατὰ λόχους καὶ φάλαγγας, οἱ δ' Ἄραβες μετὰ καὶ τῶν συνόντων αὐτοῖς Τούρκων οὐκ ὀλίγων,

5. θέλοι interpres. 16. προσνομὰς C.

partem aliquam propter frumenti mercatum exeuntem aggressi sunt, atque nisi celeriter egressus rex propter famam proficiscebatur contra eos et illi non resistentes fugiebant, facile periisset pars militum non spernenda: quare si quis ducibus tribuere ut plerumque fit velit exitum, sive ad peius sive ad melius conducatur, non aberret omnino a recto et a vero iudicio.

Sed rex ita servatus et servans exercitum ante terram Chalep cum toto exercitu castra posuit. priusquam autem ex equo descenderet, Scythas et Graecorum non paucos ad commeatum parandum misit, hique hostium terram diripuerunt, virorum et mulierum et pecudis bello captam multitudinem non minimam facientes. inde autem producens exercitum progrediebatur per hostium terram et duobus diebus simul transgrediens in loca anteriora, commeatum nihilominus faciebat. tertio autem die postquam Hierapolin advenit videbat Arabes circum affluentes et monstrantes vultu bellum, sed ut ad manus venirent et congrederentur cum Graecis non fuerunt fortes, nisi quod nonnulla proelia quorundam excurrentium et acie exsilientium instabant: et procedebant Graeci quidem ordinibus secundum centurias et phalanges:

ὧν ἦρχεν ἀνὴρ δραστήριος καὶ γένος αὐχῶν βασιλικὸν ἐκ Περσίδος, ὀνόματι Ἀμερτικῆς, μακρόθεν ἑπόμενοι καὶ οἷον δορυφοροῦντες ἢ πρὸς ἐπίδειξιν περιτρέχοντες. περὶ δὲ δείλην ὀψίαν στρατοπεδευσάμενος ὁ βασιλεὺς πρὸ τοῦ Ἱεραπόλεως ἄστεος τάφρον ἐκεῖσε καὶ χάρακα κατὰ τὸ εἰθισμένον ἐπήξατο. οὔπω δὲ τὴν ἀποσκευὴν οἱ Ῥωμαῖοι βεβαίως ταῖς σκηναῖς ἀποθέμενοι, μηδ' ἐγχρονίσαντες ταύταις, ὅσοι τῆς ὑπηρεσίας ὑπῆρχον καὶ τῆς τῶν Ἀρμενίων συντάξεως, εὐθὺ τῆς πόλεως ὥρμησαν. καὶ ἐπείπερ εὗρον αὐτὴν οὐ πάνυ διὰ τῶν ἐντὸς ἀντιμαχομένην (ἔφθησαν γὰρ οἱ Σαρακηνοὶ τῷ φόβῳ τῆς βασιλικῆς ἐπιδημίας φυγαδείαν ἑλέσθαι πέραν τοῦ Εὐφράτου ποταμοῦ), ταχὺ βιασάμενοι τὰς πύλας ἐντὸς εἰσεπήδησαν. καὶ σιτίων μὲν καὶ τῆς ἄλλης διατροφῆς εἰς κόρον μετακομιδὴν ἐποιήσαντο (ἀφθονίαν γὰρ τούτων εὗρον ἐκεῖσε καὶ οἴνου τι μέρος καὶ τῶν εὐτελεστάτων εἰδῶν), τῶν δὲ τιμιωτέρων λαφύρων ἀπέτυχον, προλαβόντων τῶν πολεμίων καὶ συσκευασαμένων αὐτὰ μεθ' ἑαυτῶν ἐν τῷ ἀποδρᾶναι.

Καὶ ταῦτα μὲν ἐπὶ τῆς μεγαλοπόλεως ἐκείνης, ἥτις ἀμαχητὶ κρατηθεῖσα πολλὴν εὐμάρειαν δέδωκε τοῖς στρατιώταις πρὸς τὴν ἐκεῖσε διαγωγήν, πλὴν τινῶν πύργων ὑψηλοτάτων, τριῶν ἢ τεσσάρων, ἔνθα Σαρακηνοὶ ἀνιόντες, καὶ τὴν ἄνοδον ὡς στενόπορον κατασχόντες, ἐφιλονείκησαν

7. ὅσοι interpres: C. ὅσαι.

Arabes autem cum Turcis etiam, qui iis aderant, non paucis, quibus imperabat vir strenuus et genus iactans regium e Perside nomine Amertikes, ex longinquo sequentes et quasi satellites se gerentes aut iactantiae causa circum currentes. circa vesperum autem castra ponens rex ante Hierapolin urbem fossam ibi et vallum ex consuetudine fixit. ita autem impedimenta Graeci fortiter in tentoriis deponentes, neque vero versantes in his quicunque laboribus imperabant et ordini Armeniorum, adversus urbem profecti sunt: et quandoquidem invenerunt eam non omnino per eos qui intus erant defensam (antea enim Saraceni metu adventus regis fugam ceperant trans Euphratem fluvium), celeriter portas frangentes intus insilierunt: atque frumenti et reliqui victus ad satietatem commeatum inde fecerunt. copiam enim horum repererunt ibi et vini partem et vilissimorum generum, praeda autem magis aestimata exciderunt, cum hostes eam praeripuissent et secum portassent effugientes.

Atque haec quidem in illa urbe, quae sine pugna victa multam facilitatem praebuit militibus ad victum in ea terra, exceptis nonnullis turribus altissimis, tribus aut quattuor, ubi Saraceni ascendentes et iter ut angustum occupantes certarunt ex patrio suo more

κατὰ τὸ πάτριον αὐτῶν νόμιμον τῆς ἰδίας προκινδυνεῦσαι f. 189 r. *θρησκείας καὶ πόλεως. ἀλλ' οὐκ ἠδυνήθησαν μέχρι παντὸς ἀντισχεῖν· διὰ πολλῶν γὰρ μερῶν περισχόντες αὐτοὺς οἱ Ῥωμαῖοι, καὶ τόλμῃ πολλῇ καὶ ὅπλοις ἑκηβόλοις καὶ συνασπισμῷ καταπλήξαντες, δορυκτήτους αὐτοὺς πεποιήκασιν. ἐπὶ δέ γε τῆς ἀκροπόλεως (ἔστι γὰρ ἐπίπεδος μὲν καὶ αὐτὴ καὶ τῇ πόλει ὁμόστοιχος, τείχεσι δὲ ὑψηλοτάτοις ἄγαν καὶ πύργοις ἀερίοις πεπυκνωμένη καὶ οἷον ἀνάλωτος) οὐ τοιαύτην εὗρον οἱ Ῥωμαῖοι τὴν εὐκολίαν· ἐκεῖσε γὰρ εἰσιὸν Σαρακηνῶν οὐκ εὐαρίθμητον πλῆθος ἐρρωμένως ἠμύνατο. οὐ μὴν μέχρι πολλοῦ τὴν φυλακὴν τῆς ἄκρας τηρεῖν ἠδυνήθησαν· κυκλόσε γὰρ ὁ βασιλεὺς ὅπλοις καὶ μηχαναῖς αὐτοὺς κατατείνας, καὶ πετροβόλοις ὀργάνοις καὶ τόξοις ὡς νιφάσι κατακοντίσας, καὶ χώματι τὴν ἅλωσιν ἐκ πολιορκίας ἐπιδειξάμενος, ὑποσπόνδους πεποίηκε. πρεσβεύσαντες γὰρ καὶ συγγνώμης τυχεῖν αἰτησάμενοι, καὶ λύτρον τὴν ἱκετηρίαν αὐτῶν τε καὶ γυναικῶν καὶ παίδων καὶ τῆς λοιπῆς οὐσίας προθέμενοι, τὸν βασιλέα κατεδυσώπησαν καὶ τῶν κατὰ σκοπὸν οὐ διήμαρτον. κυριεύσαντες δὲ καὶ τῆς ἀκροπόλεως οἱ Ῥωμαῖοι, μεσιτεύοντος τοῖς πράγμασιν ἀνδρὸς Ἀσσυρίου μὲν τὸ γένος γέννημα τῆς μεγάλης Ἀντιοχείας τυγχάνοντος, ἄκρως δ' ἐξησκημένου τήν τε Ῥωμαϊκὴν σοφίαν καὶ παίδευσιν καὶ τὴν τῶν Σαρακηνῶν διὰ τὸ τῆς φύσεως εὐσταλὲς καὶ μετέωρον, καὶ προσιόντος εὐμηχάνως τῇ ἀκροπόλει, καὶ τὰς πύλας Ῥωσικοῖς ὅπλοις ἐν τῷ εἰ-*

cultum proprium defendere et urbem: sed non potuerunt per omnia durare. per multas enim partes circumdantes eos Graeci et audacia multa et armis eminus missis et scutorum certamine terrentes bello captos eos fecerunt: cum autem arcis (est enim aeque et ipsa et urbi vicina et muris altissimis valde et turribus aëreis firmata et quodammodo invicta) non talem invenirent Graeci facilitatem, — illuc enim ingrediens Saracenorum non parva multitudo fortiter arcebat — non diu praesidium arcis servare potuerunt. Gyro enim rex armis et machinis eos premens et catapultis et iaculis ut nivis multitudine iaculans, et vallo expugnationem ex oppugnatione minans, inducias petentes fecit. legatos enim mittentes et veniam petentes et piaculi causa preces auxilii suas et mulierum et liberorum et reliquae possessionis proponentes regem supplicati sunt et a proposito non aberrarunt: potiti autem etiam arce Graeci res conciliante homine Assyrio, originem e magna Antiochia ducente, et valde exercitato in Graecorum sapientia et institutione et Saracenorum propter naturam facilem et celsam, et accedente apte ad arcem et portas Rosicis armis ingrediendo obsti-

σιέναι κατεσχηκότος τῆς ἀκροπόλεως (Πέτρος ἡ προσηγορία τουτῳῒ τῷ ἀνδρί, τὸ ἐπίκλην Λιβελλίος, τῇ δὲ τῶν μαγίστρων ἀξίᾳ τῷ τότε τετιμημένος), οὕτως τῆς πολιορκίας ἀπέσχοντο, ἐπείπερ καὶ ἐκ παρόδου πολλὰς πόλεις, ἃς μὲν βραχείας ἃς δὲ καὶ μείζους, ἐκ πολέμου καὶ βίας ἀνήρπασαν.

Τὸ δ' ἐντεῦθεν ἀγῶνες ὁπλιτικοὶ τὸ βασιλικὸν στρατόπεδον ἐδέξαντο. ὁ γὰρ ἀμηρᾶς τοῦ Χάλεπ συνάψας τοῖς λοιποῖς τῶν Ἀραβιτῶν σὺν τῷ Οὐννικῷ, καὶ δύναμιν ἁδρὰν ποιησάμενος, εἰς χεῖρας ἐλθεῖν τῷ βασιλεῖ καὶ μάχεσθαι διεσκέπτετο. τοῦ δὲ βασιλέως ἔνδον ὄντος τῆς προαλωθείσης Ἱεραπόλεως καὶ πυργομαχοῦντος ἐν μέρει, καθὸ λείψανον ὑπολέλειπτο τῆς πυργοκρατείας, παρατάξεις ἀφωρίσθησαν δύο τὸν μεταξὺ τόπον τοῦ τε κάστρου καὶ τῆς παρεμβολῆς ἐκ τῶν ἐναντίων διατειχίζουσαι. διεφαίνοντο γάρ τινες τῶν Σαρακηνῶν κατὰ τὸ πεδίον ἐκ διαστήματος ἱππαζόμενοι. εἰσὶ γὰρ περὶ τὴν Ἱεράπολιν ἱππήλατα πεδία πρὸς μῆκος ἐπεκτεινόμενα μέγιστον, καὶ πλὴν γηλόφων οὐδέν ἐστι τὸ ὑπερανεστηκὸς εἰς ὄρος μέγα καὶ πρὸς ἀέρα διατεινόμενον. καυσώδης δὲ ὁ τόπος ἐστὶν ὡς ἂν τοῦ ἡλίου θερμότερον ἐκεῖσε προσβάλλοντος διὰ τὸ μεσημβρινόν. περὶ δὲ τὰ ἑσπέρια τοῦ κάστρου λειμῶνες πεφύκασιν ὑδραγωγίοις κατάρρυτοι· χλιαρὸν δὲ τὸ ὕδωρ ἐστί, μεταλαμβάνον πάντως τῆς ἐκ τοῦ ἀέρος καὶ τῆς γεώδους φλεγμονῆς ἐπιτάσεως. τότε μὲν οὖν κατὰ μικρὸν

14. διατειχίζουσι C. praestat διατειχιοῦσαι vel διατειχίζειν.

nente arcis (Petrus nomen huic viro, cognomen Libellius, erat autem magistrorum dignitate tum honoratus) sic oppugnatione abstinuerunt, quandoquidem etiam praetereundo multas urbes et parvas et maiores bello et vi rapuerunt.

Exinde certamina gravis armaturae regium exercitum exceperunt. ameras enim Chalepi congressus reliquis Arabitis cum Hunnica manu et vim plenam comparans, ad manus venire regi et pugnare statuebat. rege autem versante in Hierapoli antea capta et turrim aggrediente in parte ubi relictum erat aliquid turrium dominationis, ordines secernebantur duo, locum, qui inter castellum et castra erat, ab hostibus secernentes. apparebant enim nonnulli Saraceni in campo e spatio equitantes. sunt enim circa Hierapolin campi ad equitandum apti qui in longitudinem extenduntur maximam, et praeter colles nihil est quod assurgat ad montem magnum et in aëra extendatur. ardens locus, cum sol calidus ibi incidat propter meridiem. circa occidentalem autem partem castelli prata sunt aquaeductibus irrigata, tepida autem est aqua, particeps omnino accessionis, quae ex aëre et

οἱ πολέμιοι ταῖς κατὰ μέτωπον ἱσταμέναις δύο παρατάξεσι πλησιάσαντες (ἀπῆν δ' ἔτι ὁ τοῦ Χάλεπ ἀμηρᾶς· ὄνομα τούτῳ Μαχμούτιος), καὶ ἀκροβολισμοὺς ποιησάμενοι, παρελάσαι μέν τινας τῶν Ῥωμαίων πρὸς αὐτοὺς κατηνάγκασαν καὶ δὶς τοῦτο καὶ τρὶς πεποιήκασι, καὶ πάλιν διεγειρόμενοι τούτους ἀντέστρεφον ὄπισθεν. ἐν ἑτέρᾳ δὲ συμβολῇ τροπὴν ποιησάμενοι τῶν παρελασάντων οὐκέτι κατὰ τὰς προτέρας προσβολὰς γεγόνασιν ὀπισθόρμητοι, ἀλλ' ἀκρατῶς ἐλάσαντες μέχρι τῆς τῶν στρατηλατῶν φάλαγγος εἰς χεῖρας αὐτοῖς συνερράγησαν, καὶ τρεψάμενοι ταύτην, καὶ παρελθόντες τὸ τῶν σχολῶν σύν-
f. 189 v. ταγμα, πολλοὺς μὲν ἀνεῖλον, τοὺς δὲ λοιποὺς φυγεῖν αἰσχρῶς κατηνάγκασαν, ἐν δεξιᾷ καταλιπόντες τὸ τῶν σχολῶν σύνταγμα, ὅπερ τὴν τῶν ἑτέρων ὁρῶν ἧτταν οὔτε παραβοηθῆσαι οὔτε τι πρᾶξαι στρατιωτικὸν ἐμελέτησεν, ἀλλ' ἦν πεπαγωμένον, ὡς ἂν λάθῃ τοὺς ἐναντίους ἐκ τῆς ἐρημαίας διανοούμενον στάσεως. ἐπεὶ δ' ὑποστρέψαντες οἱ πολέμιοι τὸ τάγμα τοῦτο μόνον εὗρον ἀγεννῶς προϊστάμενον, ταχὺ καὶ τούτου τὴν ἧτταν εἰργάσαντο, πολλοὺς μὲν ἀνῃρηκότες, τοὺς δὲ λοιποὺς εἰς τὴν παρεμβολὴν κατακλείσαντες, καὶ τὰ σημεῖα τούτων στρατηγικῶς ἀφελόμενοι, ὥστε καί τινες τῶν Σαρακηνῶν καταβάντες τῶν ἵππων, καὶ πολλοὺς τῶν στρατιωτῶν τραχηλοκοπήσαντες, τὰς κεφαλὰς τούτων εἰς ἔνδειγμα τῆς νίκης πρὸς τὸ Χάλεπ ἀπέστειλαν. τότε τοίνυν κἀγὼ οὐ τοσοῦτον ἀπέ-

2. ὀνόματι C.

terreno aestu fit. tum igitur brevi hostes stantibus a fronte duobus ordinibus appropinquantes (aberat autem etiamtum Chalepi ameras, nomen huic Machmutius) et proelia facientes procedere quosdam Graecorum ad se coegerunt, et bis hoc et ter fecerunt et rursus excitati hos verterunt retro. in altero autem impetu postquam verterunt procedentes non iam ut in prioribus accursionibus discesserunt, sed impotenter profecti usque ad magistrorum militum phalangem ad manus iis irruperunt, et vertentes eam et profecti contra scholarum Palatinarum ordinem multos interfecerunt, reliquos autem fugere turpiter coegerunt, a dextra relinquentes scholarum ordinem, qui aliorum videns cladem neque auxilio venire neque agere quid militare studuit, sed rigebat reputans propter solitariam constitutionem quomodo lateret hostes. cum autem reversi hostes ordinem hunc solum invenirent turpiter prostantem, celeriter huius cladem perfecerunt, multis occisis, reliquis autem castris inclusis et signis horum militari modo ablatis, ita ut etiam quidam Saracenorum equis descendentes et multos milites occidentes capita horum signo victoriae ad Chalepum mitterent. tum

γνων τὴν ἐμαυτοῦ σωτηρίαν, ὅσον τὴν τῶν Ῥωμαίων κατέγνων δειλίαν ἢ ἀπειροκαλίαν ἢ ταπεινότητα· τοσαύτης γὰρ γενομένης καταφορᾶς καὶ ἥττης τῶν Ῥωμαίων πρὸ τῆς παρεμβολῆς, οὐδεὶς τῶν λοιπῶν λόχων καὶ λοχαγῶν εἰς ἄμυναν διηρέθιστο, ἀλλὰ πάντες ἔνδον καθήμενοι ἕκαστος τὸ οἰκεῖον ἔργον ὡς διὰ φιλίας γῆς ἐνσκηνούμενος διεπράττετο, καὶ κίνησις ψυχῆς οὐδ' ἀγωνία τούτους τὸ παράπαν ἐξώρμησεν.

Ὁ δὲ βασιλεὺς ἔνδον τοῦ κάστρου τούτου μεμαθηκώς, μετὰ πολλῆς τῆς ἀνίας ἐκεῖθεν ἐπανελθὼν πρὸς τὸν χάρακα μετὰ τῶν συνόντων αὐτῷ Καππαδοκῶν, πολλὴν καὶ αὐτὸς τὴν ἀβελτηρίαν κατέγνω τούτων καὶ τῶν Ῥωμαίων ὁμοῦ. διὸ καὶ ἡ νὺξ ἐκείνη πάντας εἶχεν ἐν ἐλπίσιν οὐκ ἀγαθαῖς, καθότι καὶ τὸ πεζὸν ἅπαν τῶν Ἀρμενίων, ἐπιταχθὲν διανυκτερεύειν περὶ τὴν τάφρον ἐν προτειχίσματι, ἀποστασίαν ἐσκόπησε, μὴ πειθαρχῆσαν τοῖς λέγουσι. καὶ ἡ μὲν νὺξ ἐκείνη δριμεῖά τις καὶ βαρεῖα τοῖς Ῥωμαίοις διατετέλεστο· οὔπω δ' ἡμέρα προῄει, καὶ οἱ πολέμιοι τὸν χάρακα πανστρατιᾷ περιέζωσαν. μεμαθηκὼς γὰρ ὁ τοῦ Χάλεπ ἄρχων τὸ προγεγονὸς προτέρημα παρὰ τῆς μοίρας αὐτοῦ, μεθ' ὅλης ἧκε τῆς ἑαυτοῦ δυνάμεως ὡς αὐτοβοεὶ αἱρήσων τὸν βασιλέα μετὰ τῆς συνούσης αὐτῷ στρατιᾶς. καὶ οἱ μὲν οὕτω περιιππεύοντες ἡμᾶς καὶ θηριωδῶς ἐκφοβοῦντες ταῖς βαρβαρικαῖς ὑλακαῖς οὐ διέλιπον· ὁ δὲ βασιλεὺς ἐντὸς τῆς σκηνῆς διαγράφων

15. τοῖς λοχαγοῖς?

igitur ego quoque non tantum desperabam de mea salute quantum Graecorum cognoscebam ignaviam vel ineptias vel tenuitatem. tanta enim facta ruina et clade Graecorum ante castra, nemo reliquarum centuriarum et centurionum ad arcendum excitatus erat: sed omnes intus sedentes suum quisque opus quasi in sociorum essent terra perficiebat et motus animi neque vero periculum hos omnino excitavit.

Rex autem in castello hoc videns cum multa aegritudine inde reversus ad vallum cum Cappadocibus qui ei aderant, multam et ipse stultitiam cognovit horum et Graecorum simul. quamobrem etiam nox illa omnes tenebat in exspectationibus non bonis, quia etiam pedestris exercitus omnis Armeniorum iussus noctem degere circa fossam, in munitionibus anterioribus defectionem meditatus est, non obediens imperantibus: atque nox quidem illa ut acerba aliqua et gravis Graecis peracta erat: nondum autem dies oriebatur, et hostes vallum toto cum exercitu cinxerunt. postquam enim audivit Chalepi princeps antea factam victoriam a parte sua, cum tota venit sua vi ut illico caperet regem cum exercitu qui ei aderat: atque illi quidem, ita equitare circa nos et ferarum instar nos terrere barbaris ululatibus non de-

τὸν πόλεμον, περὶ τρίτην ὥραν ἀθρόον ἐξελήλυθεν ἔφιππος
(ἐνίστατο δὲ εἰκοστὴ τοῦ νοεμβρίου μηνὸς ἰνδικτιῶνος ζ'),
βοῆς βυκίνων ἢ σαλπίγγων μὴ προσνηχησάσης αὐτοῦ τὴν
πρόοδον. ἀρθέντων δὲ τῶν σημείων, καὶ τῆς στρατιᾶς κατὰ
λόχους συντεταγμένως ἐξιούσης, ἤρξαντο οἱ πολέμιοι περὶ μέ-
ρος ἕν, καθ' ὃ τοὺς Ῥωμαίους εἶδον ἐλαύνοντας κατὰ φάλαγ-
γας, καὶ αὐτοὶ συναθροίζεσθαι. καὶ ὁ ἀγὼν ὅσος, καὶ ἡ τοῦ
μέλλοντος ἔκβασις οἵα, ταῖς ψυχαῖς ἐναπέστακτο. ὅμως δ' οὖν
ἐνυάλιον ἀλαλαξάντων τῶν κατὰ μέτωπον προασπιζόντων ἐν τῇ
συμβολῇ, πολλοὺς τῶν πολεμίων οἱ Ῥωμαῖοι κατηγωνίσαντο
διαχειρισάμενοι. τοῦ δὲ λοιποῦ πλήθους τῶν Ῥωμαίων ἐξορ-
μήσαντος κατ' αὐτῶν φυγὴ τούτων ἀνυπόστατος γίνεται. οἱ
δὲ κατόπιν τῶν φευγόντων ἐλαύνοντες πολλοὺς μὲν ἀνεῖλον,
οὐκ ὀλίγους δὲ ζωγρήσαντες ἔλαβον. τῆς δὲ διώξεως μέχρι
πολλοῦ μὲν γενομένης, μεγάλης οἱ Ῥωμαῖοι νίκης καὶ αὐχή-
ματος ἐξηστόχησαν. τῶν γὰρ Ἀραβικῶν ἵππων ταχυδρομεῖν
εἰδότων ἄχρι τινός, μηδ' εὐψυχούντων δ' ἐπὶ πολλοῦ διαστή-
ματος, ὅταν οἱ Ῥωμαῖοι τὴν ἀτονίαν ἐκείνων οἰκείαν εὐτο-
f. 190 r. νίαν ἢ εὐτυχίαν ποιήσασθαι ἔμελλον, τότε τοὺς ῥυτῆρας ἐξ
ἐπιτάγματος βασιλικοῦ ἐπιστρέψαντες τὴν νίκην ἀμβλεῖαν ἑαυ-
τοῖς ἀπειργάσαντο, κορεσθέντες μόνῃ τῇ τῶν ἐναντίων ἀπο-
τροπῇ.

Οὕτως εἶδεν ἐγὼ τοὺς νῦν Ῥωμαίους μήτε καιρὸν αρ-

---

sinebant: rex autem in tentorio describens bellum circa tertiam horam simul egressus est cum equo. — aderat autem vicesimus novembris mensis indict. VII — clamore buccinarum vel tubarum non antea sonante eius processum. sublatis autem signis et exercitu secundum centurias ordine egrediente, coeperunt hostes in partem aliquam ubi Graecos viderunt proficiscentes secundum phalanges et ipsi convenire et certamen tantum et futuri exitus tantus animis infusa sunt. tamen igitur bellicum clamorem tollentibus iis qui a fronte in impetu defenderent, multos hostium Graeci devicerunt interficientes: reliqua autem multitudine Graecorum profecta contra eos, fuga horum irresistibilis fit. illi autem fugientes persecuti multos interfecerunt, non paucos vivos ceperunt: persecutione autem diu facta, magna Graeci victoria et gloria exciderunt. Arabicis enim equis celeriter currentibus usque ad certum finem, neque vero fortibus in longo spatio, cum Graeci defatigationem illorum in vim et fortunam mutare vellent, tum frena imperio regio vertentes victoriam infirmam sibi reddiderunt, satiati sola hostium fuga.

Sic vidi equidem Graecos nostri aevi neque occasionem capere

πάσαι δεδυνημένους μήτε λόχους καθίσαι, μήτε πολέμῳ δριμεῖ κρῖναι τὸ πᾶν εὐθυφρονοῦντας, μήτε δυνάμεις τῶν ἐναντιουμένων αὐτοῖς διακρίναντας, ἀλλ' ἑνὶ κανόνι χρωμένους πρὸς ἅπαντας, τούς τε δυνατωτάτους τῶν ἐναντίων καὶ τοὺς γλίσχρως καὶ ἡγεμονικῶς εἴτ' οὖν τοπαρχικῶς ἔχοντας. τί γὰρ ἦν τότε δέος πρὸς τὸν τοῦ Χάλεπ ἡγεμόνα εἰς τὸ μὴ διώκειν αὐτὸν ἀκρατῶς μετὰ τὴν τροπήν, ὀπισθοφυλακοῦντος τοῦ βασιλέως μετὰ τῆς λοιπῆς τοῦ στρατοῦ μοίρας, καὶ κατόπιν ἐπιτρέπειν τὴν παρεμβολὴν ἕπεσθαι μέχρις ὅτου καὶ τῷ Χάλεπ ἐπέστησαν καὶ τοὺς ἔνδον τῷ φόβῳ κατέσεισαν καὶ τὴν πόλιν αὐτῶν παρεστήσαντο, τοὺς πλείους τῶν στρατιωτῶν ἐν τῇ φυγῇ κατακόψαντες. καθὼς γὰρ καὶ ὕστερον μεμαθήκαμεν, ὅτι καὶ αὐτοὶ οἱ τοῦ Χάλεπ καραδοκοῦντες ἦσαν ἐφ' ᾧ τὴν πόλιν αὐτῶν ὁμολογίᾳ καὶ συνθήκαις ἀφεσίμοις παραδοῦναι τῷ βασιλεῖ, ἐπείπερ καὶ ἡ νεότης τούτων παθεῖν ἔμελλε πᾶσα, εἰ προέβη τὰ τῆς διώξεως. ἤλαυνον γὰρ καὶ αὐτοὶ πεζικῇ παρατάξει διὰ τὴν ἐλπίδα τοῦ πρώην τῶν Σαρακηνῶν προτερήματος, ὥστε τὸν χάρακα τῶν Ῥωμαίων ἐξ ἐπιθέσεως αἱρήσειν πολεμικῆς. νῦν δὲ τῷ ἀδιακρίτῳ τῆς τῶν ἀρχόντων ἡγεμονίας καὶ τῆς αὐτῶν ἰσχύος τῶν Ῥωμαίων οἱ βασιλεῖς καὶ ἡγεμόνες ἰσχυρῶς συνεχόμενοι, τάς τε νίκας αὐτῶν εἰς ἀγενὲς περιστέλλουσι πέρας, καὶ τοὺς ἐχθροὺς εἰς αὔχημα μεῖζον ἐπαίρουσιν, οἳ καὶ κυριαρχὴν ἐν ταῖς νίκαις

23. κυριαρχεῖν?

valentes neque centurias constituere, neque bello acri decernere omnia animo contendentes, neque vires oppositorum sibi diiudicantes, sed una ad omnes utentes regula, et ad potentissimos hostium et ad eos, qui tenues et sub duce sive loci principe sunt. qui enim erat tum metus ne Chalepi ducem persequerentur sine remissione post fugam rege ultimos ducente cum reliqua exercitus parte, et adverterent e tergo castra ad sequendum donec vel Chalepo instarent et intus versantes metu percuterent et urbem eorum subiicerent maxima militum parte in fuga occisa. ut etiam postea audivimus, et ipsos Chalepi incolas insidiatos esse, ut urbem suam conventione et promissis librationis traderent regi, quoniam etiam iuventus horum pati debebat omnis si procederet persecutio. proficiscebantur enim et ipsi pedestri acie propter priorem Saracenorum victoriam sperantes, se vallum Graecorum impetu capturos esse bellico. nunc autem incertitudine imperii principum et fortitudinis ipsorum Graecorum reges et duces retenti et victorias suas in ignobilem vertunt finem et hostes ad maiorem tollunt iactantiam, qui etiam principatum in victoriis continua persecutione non spectantes

τῷ συνεχεῖ τῆς διώξεως μὴ διανοούμενοι, τὴν τῶν Ῥωμαίων γῆν ὑπόφορον αὐτῶν ἢ μηλόβοτον πεποιήκασιν, ὡς διὰ τῶν ἡμετέρων ὑστερημάτων ἀναπληροῦσθαι τὰ ἐκείνων θελήματα.

Ἀλλὰ τοῦτο μὲν οὕτως· ἐπανελθὼν δ' ὁ βασιλεὺς εἰς τὸν χάρακα μετὰ τὴν τῶν ἐχθρῶν ἀποσόβησιν, ἔγνω τὴν ἀκρόπολιν τῆς Ἱεραπόλεως ἐνοικίσαι καὶ στρατηγὸν ἀποδεῖξαι ταύτης, ἐφ' ᾧ κατὰ μικρὸν καὶ τὴν ἄλλην πόλιν Ῥωμαίων γενέσθαι καὶ Ἀρμενίων κατοικητήριον. καὶ διὰ τοῦτο χρονίσας ἐκεῖσε, καὶ φρουράν, ὅση τις ἐδόκει πρὸς φυλακὴν αὐτάρκης, καὶ στρατηγὸν ἐπιστήσας Φαρασμάτιον ἐκεῖνον βέστην τὸν Ἀποκάπην, ἐξ Ἀρμενίων τὸ γένος ἕλκοντα, χώραν δέδωκε τοῖς ἐναντίοις ἀνακαλέσασθαί τε τὴν ἧτταν καὶ ἀντίπαλα φέρεσθαι. καὶ ἕως μὲν ἐστρατοπεδευμένος ὁ τῶν Ῥωμαίων στρατὸς διεδείκνυτο, κατὰ χώραν ἐδόκουν μένειν οἱ Ἄραβες· ὡς δ' ἀναστρέψας τὴν στρατιὰν εὐθὺς τοῦ φρουρίου τοῦ Ἀζᾶς ἤλαυνεν, ἤρξαντο σποράδην ἐκ διαστήματος κατὰ τὸ εἰθισμένον αὐτοῖς ἐπιφαίνεσθαι, καὶ περὶ τὴν οὐραγίαν πολλάκις ἐπιτιθέμενοι, ἢ καὶ τοὺς τὰ σιτία μετακομίζοντας, ἐλύπουν τοὺς Ῥωμαίους, ὡς ἂν ἐξ ἐπιδρομῆς καὶ λόχου τὰς ἐπιθέσεις ἐν τῷ λεληθότι ποιούμενοι. ὅμως δ' οὖν καταφραξάμενος ἑκηβόλοις καὶ πελτασταῖς ὁ βασιλεὺς τὸ στρατόπεδον, οὕτω τεθωρακισμένον αὐτὸ διῆγε καὶ τὰς τῶν ἐχθρῶν προσβολὰς ῥαδίως ἀποκρουόμενον, ἕως ἐν τῷ φανερῷ καὶ μάχῃ νικήσας αὖθις τοὺς ἐναντίους τῷ φρουρίῳ τοῦ

17. οὐραίαν C.

Graecorum terram vectigalem sibi aut ovium pastum fecerunt, ita ut nostris peccatis compleatur illorum voluntas.

Sed hoc quidem tale. reversus autem rex ad vallum hostibus fugatis, statuit arci Hierapolis homines imponere et ducem declarare huius, ut brevi etiam altera fieret Graecorum urbs et Armeniorum sedes: et propterea versans ibi et praesidium, quantum videbatur ad custodiam sufficiens et ducem praeficiens Pharasmatium illum vestiarium Apocapen ab Armeniis genus ducentem, locum dedit hostibus ut corrigerent cladem et pares evenirent: atque donec in castris Graecorum exercitus appareret in loco remanere videbantur Arabes: cum autem retrahens exercitum ad castellum Azan proficisceretur coeperunt sparsim ex intervallo more suo apparere, et ultimos saepe aggredientes, aut etiam eos qui frumentum apportabant, vexabant Graecos, ut accursione et insidiis impetus ex occulto facientes. tamen igitur cingens per iaculatores et cetratos rex exercitum, ita firmatum eum perducebat et hostium impetus facile repellentem, donec in aperto et

Ἀζᾶς μεθ' ὅλης τῆς στρατιᾶς καὶ τῆς ἀποσκευῆς προσηνέχθη, μανθάνων παρά τινων ὅτι εὔυδρός ἐστιν ὁ τόπος ἐκεῖνος καὶ ἱκανὸς χορηγεῖν τοσούτῳ στρατοπέδῳ δαψίλειαν τοῦ ὑδρεύεσθαι. ὡς δὲ προσεγγίσας αὐτῷ οὐδὲ καθ' ἡμίσειαν τόξου βολὴν ἐρυμνότατόν τε εἶδεν, ἐπ' ἀκρωρείας τοῦ λόφου ἱστάμενον καὶ τείχεσι διπλοῖς περιεζωσμένον καὶ πέτραις f. 190 v.
ὥσπερ χειροποιήτοις γεγομφωμένον καὶ λιθίνην τὴν ἄνοδον πρὸς τὴν πύλην ἀποφερόμενον, μικρόν τε ὕδωρ ἀπορρέον ἐκεῖθεν καὶ μὴ δυνάμενον ὅσον πρὸς χιλιοστὸν μέρος τοῦ στρατοῦ ἐξαρκεῖν, ἀπέγνω τὴν ἐκεῖσε στρατοπεδείαν, καὶ ἀναζεύξας ἐκεῖθεν εἰς τόπον ἐπήξατο τὴν παρεμβολήν, ἔνθα τὸ ὕδωρ ἀφθονώτερον ἔρεε. διασκοπήσας οὖν ὡς οὐκ εὔθετόν ἐστιν ἐκ διαστήματος τοσούτου προσιέναι τῇ πόλει καὶ μηχανὰς ἐφιστάναι (φθάνειν γὰρ τὴν νύκτα, καὶ δεῖσθαι μετακομιδῆς αὐτῶν εἰς τὸν χάρακα, ἵνα μὴ πυρίκαυστα τοῖς πολεμίοις ἱστάμενα γίνοιντο), τόν τε χειμῶνα περὶ ἀκμὴν ἐρχόμενον καθορῶν καὶ τοὺς ἐναντίους περικεχυμένους ἀεὶ τῷ θάρρει τῆς τῶν ἵππων ἐν τῷ θεῖν ἀρετῆς, ἀναστὰς ἐκεῖθεν ὥρμησε πρὸς τὰ τῆς Αὐσονίτιδος ὅρια. καὶ πυρπολήσας χωρίον τι μέγιστον Κάτμα λεγόμενον, τῷ ἀμηρᾷ τοῦ Χάλεπ ἀφωσιωμένον ἐκ παλαιοῦ, εἰς ἕτερον χωρίον κατέλυσε Τερχαλᾶ κατονομαζόμενον, ἔνθα κοπτομένου τοῦ χάρακος, καὶ τοῦ βασιλέως ἐπ' ὄχθης ἱσταμένου κατὰ τὸ δεξιόν, καὶ προασπιζον-

pugna vincens rursus hostes, ad castellum Azan cum toto exercitu et impedimentis accessit, audiens a quibusdam, instructum aqua esse locum illum et sufficere ad conciliandam tanto exercitui copiam aquae: cum autem appropinquans ei ne ad dimidium quidem arcus iactum et firmissimum videret eum in collis vertice situm et muris duplicibus cinctum et saxis quasi manu factis iunctum, et ducentem lapideam viam ad portam, et parum aquae inde effluere neque posse sufficere vel millesimae exercitus parti, omisit ibi commorationem: et profectus inde ad locum posuit castra, ubi aqua copiosius fluebat. cognoscens igitur, non esse opportunum ex intervallo tanto accedere ad urbem et machinas opponere — supervenire enim noctem et opus esse adducere eos ad vallum, ne incenderentur hostibus expositae, et hiemem acerrimam advenientem videns et hostes cinctos semper fiducia virtutis in currendo equorum, surgens inde profectus est, ad Ausonitidis fines: et igne devastans locum quendam maximum, Catma dictum, qui Amerae Chalepi dedicatus erat ex antiquo tempore, ad alium locum secessit Terchala nominatum, ubi dum conditur vallum et rex in colle stat in dextro cornu et ad defensionem adsunt militum ordines — con-

σῶν στρατιωτικῶν παρατάξεων (ἣν δὲ καὶ τόπος ῥύακος τάξιν ἐπέχων, ἐξ ἑκατέρου μέρους βουνοῖς συνεχόμενος, ἀφ' ὧν ὁ ἀριστερὸς τοὺς πολεμίους εἶχεν ἐπ' ἀκρωρείας ἱσταμένους κατὰ τὸ ἀσφαλές), τοῦτε λοιποῦ πλήθους περὶ τὴν ἀπόθεσιν τῶν φορτηγῶν ζώων ἠσχολημένου, καὶ τῆς οὐραγίας ἐφετομένης καὶ ἀντιπολεμούσης τοῖς ἐπεμβαίνουσι τῶν Σαρακηνῶν, Ἄραβες δύο λαθόντες κατόπιν τῆς ἀκρωρείας, καὶ τοὺς ἵππους ἀπὸ ῥυτήρων ἐλάσαντες, ἐπ' ἄκρου τῆς παρεμβολῆς ἐφορμῶσι, καὶ δύο τῶν πεζῶν ταῖς λόγχαις ἀναιροῦσιν αὐτῶν. οὓς ὁ βασιλεὺς πρῶτος τῶν λοιπῶν θεασάμενος, καὶ φωνῇ καταμηνύσας τὴν ἔφοδον, διανέστησε μὲν τοὺς στρατιώτας εἰς δίωξιν, οἳ δὲ φθάσαντες ἐξαισίῳ δρόμῳ τῶν ἵππων εἰς τὸ οἰκεῖον στρατόπεδον ἀνεσώθησαν.

Τότε μὲν οὖν διανυκτερεύσαντες οὐκ ἀμαχητὶ (περιεβόμβουν γὰρ ἔξωθεν ὑλακαῖς ἀσήμοις οἱ Ἄραβες), τῇ ἐπαύριον ἄραντες εἰς τὴν Ῥωμαϊκὴν ἐπεβάλομεν γῆν, οὕτω μὲν τυπουμένην ἐκ τῶν ὁρίων, προκατειργασμένην δὲ καὶ ἀνάστατον οὖσαν, εἰ τάχα καὶ ἀγαθότης ἦν καὶ χρήματι καλλίστῳ καὶ μεγίστῳ τῶν τε ἄλλων καὶ αὐτῶν τῶν ἐλαιῶν βρίθουσα, πλὴν εἰ μήπου προϊόντες κρησφύγετά τινα εὑρίσκομεν, βραχύτατά τινα συντηροῦντα τῆς χώρας ἐκείνης ἐπίμονα λείψανα. διελθόντες οὖν τοιούτους τόπους πολλοὺς εὐθὺ τοῦ Ἀρτὰχ ἐβαδίζομεν. τὸ δὲ τοιοῦτον κάστρον ἐστὶ στρα-

5. ἐφεζομένης? interpres ἐφεπομένης. 20. εὑρισκόμενα C, εὑρίσκομεν καὶ interpres. 21. τινας C.

tinebat autem etiam locus torrentis spatium, ab utraque parte collibus circumdatus, a quibus sinistrum cornu hostes habebat in vertice stantes in tuto — et dum reliqua multitudo circa expedienda iumenta occupata est et ultimi et bellant contra incidentes Saracenos, Arabes duo post verticem latentes et equos remissis frenis incitantes ad summa castra contendunt: et duos pedites lanceis interficiunt eorum, quosquidem rex primus reliquorum videns et voce indicans impetum, dividit milites ad persecutionem. illi autem effugientes ingenti cursu equorum ad sua castra servati sunt.

Tum igitur noctem degentes non sine pugna, — circumsonabant enim extrinsecus latratibus incertis Arabes — mane profecti in Graecam incidimus terram ita formatam secundum fines, confectam autem antea et desertam, etiam si forte boni quid erat et re pulcherrima et maxima et ceterarum et ipsarum olearum plena, nisi quod, nullo loco procedentes latebras invenimus vel minimas servantes terrae illius remanentes reliquias. pervenientes igitur talia loca multa econtra ad Artach proficiscebamur. hoc

στηγῷ μὲν ἀρχόμενον, φρουρᾷ δὲ καὶ κόμῃ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν συντηρούμενον, καὶ στρατιωτῶν οὐκ ἀμοιροῦν ἐν ταῖς κατ᾽ ἐπιδρομὴν ἐπιθέσεσι. τὸ δὲ τοιοῦτον προαλωθὲν φρουρὰν εἶχε Σαρακηνῶν, ἀποταμιεύουσαν αὐτοῖς τὴν εἰς τὸ ἑξῆς αὐτοῦ καταδούλωσιν· ὅπερ ἔγγιστα τῆς μεγάλης Ἀντιοχείας τυγχάνον μεγάλην αὐτῇ βλάβην καὶ παντοδαπὴν ἐκ τῶν ἐναντίων ἐπιτρέφειν ἔμελλε, καὶ οἷον ἀντίπολις εἶναι καὶ ἀντίθετον καταγώγιον. ἄρτι δὲ τοῦ βασιλέως εὐτρεπιζομένου πρὸς τὴν αὐτοῦ πολιορκίαν, φόβῳ κατασεισθέντες οἱ τὴν φρουρὰν ἐμπεπιστευμένοι τούτου Σαρακηνοὶ νυκτὸς ἐκεῖθεν ἀπέδρασαν. ὁ δὲ βασιλεὺς ἀνακωχὴν τοῦτο τῆς ἐργολαβίας καλῶς ἡγησάμενος, τίθησι μὲν αὐτοῦ που τὸν χάρακα, διατίθησι δὲ τὰ κατ᾽ αὐτοὺς εὐπρεπῶς, στρατηγόντε καὶ φρουρὰν ἐπιστήσας καὶ σιτήσεις ἐναποθέμενος καὶ πάντα τὰ τῷ καιρῷ διαταξάμενος πρόσφορα. ἐπ᾽ αὐτοῦ τοίνυν τοῦ βασιλέως f. 191 r. ἤρξαντο Ῥωμαῖοι πολεμίοις ἀντοφθαλμίζειν καὶ πρὸς γενναιότερον ἀναφέρειν λόγον καὶ συνίστασθαι πρὸς ἀντίθεσιν, ἐπεὶ τάγε κατὰ τοὺς προβεβασιλευκότας, ἐξ οὗπερ ὁ Μονομάχος καὶ οἱ καθεξῆς ἐπεκράτησαν, πλὴν ἐπιδείξεως μόνης καὶ πλήθους συναγωγῆς οὐδενὶ καρτερὰν πρὸς μάχην συνέρραξαν· ὡς εἶναι δῆλον ὅτι τοῦ ἡγεμόνος ὡς ἐπίπαν ἐστὶ τὸ κατορθούμενον ἐν ὅλοις τοῖς πράγμασιν.

Ἐπεὶ δὲ ἡ Ἀντιόχεια προκατειργαστο ταῖς ἐπιδρομαῖς

autem castellum a duce administratur et praesidio et cura (ut de corona arborum sic hic de corona hominum intelligenda), multorum bonorumque virorum servatur, neque militibus caret in impetu accursionis. hoc autem ante captum praesidium habebat Saracenorum quod servabat iis in futurum eius servitutem: quod quidem proxime ad magnam Antiochiam situm magnum ei damnum et varium ex hostibus excitaturum erat, et quasi contraria urbs esset necesse erat et oppositum deversorium. nuper autem rege eius oppugnationem parante, metu perculsi quibus praesidium huius creditum fuit Saraceni, nocte inde fugerunt. rex autem indutias has incepti pulchre censens, ponit ibi aliquo loco vallum, et dividit omnia iis apte, ducem et praesidium praeficiens et alimenta imponens, et omnia occasioni opportuna imperans. sub ipso igitur rege coeperunt Graeci hostibus praesentes resistere et ad nobilitatem efferre rationem et consistere ad oppositionem, cum quod ad priores pertinet reges, ex quo Monomachus et deinceps secuti regnarunt, praeter iactantiam solam et multitudinis coactionem nulli ad constantem pugnam congressi essent, ita ut perspici possit, ducis omnino esse eventum in omnibus rebus.

Cum autem Antiochia confecta esset accessionibus et frumenti

καὶ σίτου σπάνιν ἐκέκτητο, δείσας ὁ βασιλεὺς μὴ παραγενόμενος ἐκεῖσε καινοτομήσῃ τῇ πόλει τὰς ἰδίας τροφάς, καταφρονήσας ἐπὶ συμφέροντι ταύτης τῆς ἰδίας τρυφῆς, διὰ τόπων ἐλάσας ἐρήμων ὑπερέβη τοὺς αὐλῶνας ἐκείνους καὶ τὰς κλεισούρας δι' ὧν ἡ Κοίλη Συρία τῆς Κιλικίας χωρίζεται. καὶ κατελθὼν ἐπιπόνως εἰς πόλιν τῆς Κιλικίας λεγομένην Ἀλέξανδρον (μεγίστη γὰρ ἔκθλιψις ἐν τοῖς τόποις ἐκείνοις τῷ στρατοπέδῳ γέγονε διὰ τὸ στενόπορον καὶ τὸ ἀπότομον τῶν πετρῶν καὶ τὸ συνεχὲς τῶν κρημνῶν), ἐκεῖσε τὴν παρεμβολὴν καὶ τὸν χάρακα πήγνυσι. καὶ οὕτω διελθὼν τὴν χώραν ἐκείνην, καὶ τὸν Ταῦρον τὸ ὄρος πανστρατιᾷ ὑπερβάς, εἰσβάλλει τῇ Ῥωμαίων. ἐντυχόντες δ' ἀθρόον οἱ στρατευόμενοι τῷ κρυμνῷ καὶ τῇ συστροφῇ τῆς ἄγαν ψυχρότητος, ἐκ τόπων θερμῶν ἀναγόμενοι (περὶ τὸ τέλος ἦν ὁ δεκέμβριος μήν), πολλῆς ᾔσθοντο τῆς δριμύτητος, ὁπότε συνέβη καὶ ἵππους καὶ ἡμιόνους καὶ ἀνθρώπους, ὅσοι μὴ εὐσαρκοῦντες ἦσαν ἢ μὴ εὐειματοῦντες, τῷ ἀθρόῳ τῆς ψύξεως ἀποψῦξαι καὶ τῆς ὁδοῦ προβεβλῆσθαι θέαμα οἴκιστον.

Τότε κἀγὼ περὶ στενωπὸν τοῦ Ταύρου ὄρους ἄφυκτον διέφυγον κίνδυνον. ὁ γὰρ ἵππος εἰς ὃν ἐπωχούμην, προεστενοχωρημένος ὢν ἐκ πάθους λυκοεντερικοῦ λεγομένου, ὀκλάσας τι μικρὸν τοὺς ἐμπροσθίους, ἔσχε με καταβάντα τούτου αὐτίκα διὰ τοῦ δεξιοῦ μέρους· ἐν ἀριστερῷ γὰρ οὐκ ἦν διὰ

13. κρυμῷ?

inopiam haberet metuens rex ne si adesset ibi novaret urbi proprium victum, contempta propter eius utilitatem sua mollitie, per loca profectus deserta transgressus est valles illas et clausuras, quibus Coelesyria a Cilicia dividitur et degressus laboriose ad urbem Ciliciae quae vocatur Alexandrus (maxima enim compressio in locis illis exercitui contigit propter angustias et praerupta saxa et continuas rupes) ibi castra et vallum ponit, et ita postquam pervenit terram illam et Taurum montem cum toto exercitu transgressus incidit in Graecorum terram: expositi autem simul milites gelu et compressioni frigoris, ex calidis locis adducti (circa finem erat december mensis) multam senserunt acritatem quando contigit ut et equi et muli et homines, quicumque non multo corpore erant aut non bene vestiti, continuo frigore rigerent et in via relinquerentur, spectaculum miserrimum.

Tum ego quoque circa viam angustam Tauri montis inevitabile vitavi periculum. equus enim, quo vehebar, vexatus morbo qui lycoentericus vocatur, curvans paululum anteriores pedes, habuit me degressum eo statim a dextra parte: in sinistra enim non possibile erat

τὸ κρημνὸν ἀποτέμνεσθαι μέγιστον. ὡς δὲ ἀνέστησα τοῦτον τῷ ῥυτῆρι νύξας, εὐθὺς διατιναξάμενος αὐτόματος δι' ἑαυτοῦ τῷ κρημνῷ ἑαυτὸν κατηκόντισεν. ἐγὼ δὲ μείνας ὀρθὸς δόξαν μὲν τῷ θεῷ τῆς τοῦ κινδύνου ἐλευθερίας ἀνέπεμψα, θαῦμα δὲ τοῖς πολλοῖς προσενέσταξα, ὅπως, οἷον ἐκ προγνώσεως θειοτέρας, οὐκ ἐπέμεινα τοῖς νώτοις τοῦ ἵππου (ἦν γάρ τι μικρὸν ὀκλάσας, ὅσον ἀναστῆναι καὶ πάνυ ῥᾴδιον) ἀλλὰ καταβὰς ἐν τάχει οὐ συναπῆλθον τῷ κρημνῷ καὶ συνετρίβην ὡς τάχιστα. ἵσταντο γὰρ πάντες θεώμενοι τὸ καινόν, ἐπεὶ τοῖς κατόπιν οὐκ ἐξῆν περαιτέρω ἰέναι, τῆς ὁδοῦ ἐκείνης ἕνα καὶ μόνον συγχωρούσης διέρχεσθαι διὰ τὸ πάνυ στενώτατον, ἕως ἑτέρου μοι προσαχθέντος ὑποζυγίου ἡ ἐπίβασις ἐπιγέγονεν.

Ἐξιοῦσι δ' ἡμῖν εἴς τι χωρίον τῆς τοῦ Ποδαντοῦ κλεισούρας ἐκτός, Τυψάριον κατονομαζόμενον, φήμη τις ἐπεπόλασε τὸν καταλελειμμένον ἐν Μελιτηνῇ στρατηγὸν ἐπὶ τῇ φυλακῇ τῆς Ῥωμαίων γῆς αἰσχρῶς καὶ βουλεύσασθαι καὶ τὰ κατὰ τὸν στρατὸν οἰκονομῆσαι, καὶ τοσοῦτον ὅτι περ οἱ πολέμιοι διελθόντες τὴν τοῦ Ἀμορίου πολιτείαν ἀνήρπασαν καὶ φόνον ἀνδρῶν ἀμύθητον πεποιήκασι καὶ πανοικεσίᾳ ταύτην ἠνδραποδίσαντο. τῆς δὲ παρεμβολῆς αὐτῶν ἀφεθείσης ἐν τῇ τοῦ Χαλκέως τοποθεσίᾳ, αὐτὸς ἀπὸ διαστήματος ὀλίγου συνηθροισμένην ἔχων τὴν στρατιὰν ἐν τῷ τοῦ Τζαμαντοῦ ὀχυ-

3. ὀρθὸς] θσ C.

quia rupes abscindebatur maxima. postquam autem erexi hunc freno pungens, statim se concutiens ipse per se e rupe se occidit: ego autem salvus relictus gloriam deo pro periculi liberatione emisi: mirationem autem multitudini infudi, quomodo quasi ex providentia diviniore non remansissem in tergo equi. demittebat enim se paululum ut ad assurgendum et valde facile, sed descendens celeriter non deiectus sum rupe et concussus quam celerrime: adstabant enim omnes spectantes rem novam, cum qui a tergo erant non possent longius procedere, via illa unum et solum transire patiente propter summam prorsus angustiam: donec alio mihi adducto iumento ascensio fiebat.

Egredientibus autem nobis ad locum quendam extra Podanti clausuram Typsarium vocatum fama quaedam extitit narrans, relictum in Melitene ducem praesidii terrae Graecorum, turpiter et deliberasse et quae ad exercitum spectant administrasse et tantopere ut hostes praetereuntes Amorii civitatem diriperent et caedem virorum ingentem facerent et cum tota possessione eam in servitutem redigerent. castris autem ipsorum relictis in Chalcei loco, ipse ex intervallo parvo coactum habens exercitum in Tzamanti castello, neque haec capere aut

ρώματι οὔτε ταύτην ἑλεῖν ἢ προσβαλεῖν παρετόλμησεν οὔτε τῷ Ἀμορίῳ προσβοηθῆσαι, ὅτι μὴ μᾶλλον οἱ Τοῦρκοι τῷ Τζαμαντῷ προσεγγίσαντες ἐν τῷ ἐπανιέναι πολλοὺς μὲν τῶν ἐπεξιόντων Ῥωμαίων ἀνεῖλον, τοὺς δ' ἄλλους εἰς τὰ ἐρυμνότατα τοῦ κάστρου κατέκλεισαν. ἀνιαθεὶς δὲ ὁ βασιλεύς, καὶ πλέον τι ποιῆσαι μὴ δυνηθεὶς διὰ τὸ τοῦ χειμῶνος ἐπαχθὲς καὶ ἀσύμφορον, τὸ μὲν μισθοφορικόν, καὶ ὅσοι τῆς ἑσπερίας με-
f. 191 v. ρίδος ἐτύγχανον, εἰς παραχειμασίαν διέδωκεν, αὐτὸς δὲ μετὰ τῶν σωματοφυλάκων καὶ Βυζαντίων καὶ τῶν οἰκοφυλακούντων ἐν βασιλείοις εἰς τὴν βασιλεύουσαν εἰσελήλυθε περὶ ἀκμὴν τοῦ χειμῶνος ὄντος· πρὸς τῷ τέλει γὰρ ἦν ὁ ἰαννουάριος μήν.

Διαγαγὼν τοίνυν ἐν τῇ τῶν πολιτικῶν πραγμάτων διοικήσει χρόνον τινά, καὶ τιμὰς εἴς τινας τῶν συγκλητικῶν ποιησάμενος, καὶ τὰς ἐτησίους δωρεὰς αἳ τοῖς συγκλητικοῖς ἀξιώμασι προσήρτηντο ποιησάμενος, καὶ οὐδὲ τὰς πασχαλίους ἡμέρας περιμείνας εἰς τὸ Βυζάντιον, εἰς τὸν ἀντιπέρας κείμενον βασιλικὸν οἶκον καὶ λεγόμενον τῶν Ἡρίων, ἀπέπλευσεν, ὁρμὴν ἔχων εἰς τὴν ἑῴαν αὖθις στρατοπεδεύσασθαι. καὶ τοῖς Τούρκοις ἐπεξελθεῖν. ἐπισυνέβη γάρ καί τι τῶν ἀτόπων, πρὸς ἐκστρατείαν καλοῦν τὸν ἄνακτα σπουδαιότερον. ἀνὴρ γὰρ Λατῖνος ἐξ Ἰταλίας τῷ βασιλεῖ προσελθών, Κρισπῖνος ὀνόματι, πρὸς τὴν ἑῴαν προαπεστάλη, παραχειμάσων ἐκεῖσε μετὰ τῶν συνδιαπλευσάντων αὐτῷ καὶ συναφικομένων ὁμο-

20. ὑπεξελθεῖν C.

aggredi ausus est neque Amorio auxilio venire: immo magis Turcae Tzamanto appropinquantes in ascendendo multos contra egredientium Graecorum interfecerunt ceteros autem in firmissimis locis castelli incluserunt. cruciatus autem rex et plura facere non valens propter hiemis molestiam et calamitatem, milites mercenarios et quicumque ex occidentali parte aderant, in hibernis distribuit. ipse autem cum satellitibus et Byzantiis et iis, qui in regia custodiam domus habebant, urbem intravit hieme acerrima: in fine enim erat ianuarius mensis.

Degens igitur in rerum civilium administratione tempus aliquod et honores ad quosdam senatorum deferens, et annua dona, quae cum senatorum honoribus coniuncta sunt tradens, nec paschales quidem dies remanens Byzantii, navigavit ad sitam econtra regiam domum, quae vocatur Erion, contendens in orientalem partem rursus proficisci et Turcas vitare. simul enim accidit etiam singulare quid, quod ad expeditionem dominum evocaret studiosius. homo enim Latinus ex Italia ad regem veniens, nomine Crispini dictus, ad orientem missus est hie-

γενῶν. δόξας δὲ μὴ κατ' ἔφεσιν τιμηθῆναι παρα τοῦ βασιλέως καὶ δωρεὰς ἀποχρώσας λαβεῖν ἀποστασίαν ἐσκόπησε, καὶ αὐτίκα τοὺς συναντῶντας φορολόγων τε καὶ λοιποὺς σκυλεύειν καὶ διαρπάζειν ἤρξατο, καὶ πάντα δρᾶν ὅσα δεσπότου ἀποπτύουσι χαλινούς. φόνον δὲ Ῥωμαίων οὐδένα εἰργάσατο. διὸ καὶ κατὰ βασιλικὴν ἐντολὴν (ἐμεμαθήκει γὰρ πάντα ὁ βασιλεύς) πολλοὶ τῶν στρατιωτῶν πρὸς μάχην τούτῳ συνήντησαν. πάντες δὲ τῆς τούτου ῥομφαίας ἡττήθησαν. τελευταῖον δὲ στρατῷ μεγάλῳ τῶν ἑσπερίων πέντε ταγμάτων ἐπιστρατεύσας κατ' αὐτοῦ ἐκ τῶν Ἀρμενιακῶν θεμάτων, ἐν ᾧ παρεχείμαζον, ὁ τὴν ἡγεμονίαν τούτων ἐπιτραπεὶς Σαμουὴλ βεστάρχης ὁ Ἀλουσίανος λεγόμενος, καὶ περὶ ὄρθρον ἐπιτεθεὶς τούτῳ ἠρεμοῦντι καὶ ἀναπαυομένῳ κατὰ τὸ εἰωθὸς τῆς ἀναστασίμου ἡμέρας καὶ μεγάλης κυριακῆς ἐφισταμένης, ἔπραξε μὲν γενναῖον οὐδέν, ἔπαθε δὲ μᾶλλον πάνυ κακῶς. ἐμπεσόντες γὰρ οἱ στρατιῶται τοῖς τῶν σκηνῶν καλωδίοις, καὶ συμπλακέντες αὐτοῖς, γνῶσιν τοῖς Φράγγοις τῆς ἐπιβουλῆς πεποιήκασιν. οἳ δὲ σταθηρῶς ἑαυτοὺς ἀνακαλεσάμενοι, καὶ πρὸς ἄμυναν τραπέντες εὐθύς, οὐ μοχθηρῶς τοὺς Ῥωμαίους τῆς παρεμβολῆς ἀπεώσαντο. ταχὺ δὲ τῶν ἵππων ἐπιβάντες, ὡς εἶχεν ἕκαστος σπουδῆς καὶ παρασκευῆς, καὶ κατόπιν ἐλάσαντες πολλοὺς μὲν ἀνεῖλον, ἄλλους δὲ ζωγρήσαντες ἔλαβον. τότε δὴ προκαθίσας ὁ τῶν Λατίνων ἐξάρχων οὐκ ἄκαιρον οὐδ' ἀνεύλογον δημηγορίαν

maturus ibi cum iis, qui cum eo navigabant et propinquis, qui advenerant. cum autem putaret se non secundum studium honoratum esse a rege et dona sufficientia accepisse, defectionem meditatus est et statim vectigalium exactores, qui ei occurrerent et reliquos spoliare et diripere coepit et omnia agere quae domini excutiunt frena, caedem autem Graecorum nullam instituit. quare etiam ex regio iussu (audiverat enim omnia rex) multi milites ad pugnam ei occurrerunt. omnes autem huius gladio maximo devicti sunt. postremo autem exercitu magno occidentalium quinque ordinum profectus contra eum ex Armeniacis provinciis, ubi hiemabant, cui imperium harum creditum erat Samuel vestiarius Alusianus vocatus, et mane oppositus huic quieto et se reficienti e more die resurrectionis domini et magna dominica instante, egit quidem nobile nihil, immo passus est valde mala. incidentes enim milites in tentoriorum vestes et impliciti iis notitiam Francis insidiarum reddiderunt. hi autem constanter se revocantes et ad arcendum statim versi, non laboriose Graecos castris expulerunt. celeriter autem equos ascendentes ut habebat quisque studium et apparatum, et e tergo profecti multos interfecerunt, alios vivos ceperunt.

συνήγαγε· κατέγνω γὰρ τῶν Ῥωμαίων ἀσέβειαν, ὅτι ἐν τοιαύτῃ φοβερᾷ καὶ θαυμασίᾳ ἡμέρᾳ, ἥτις ἑορτῶν ἐστὶν ἑορτή, τὰς χεῖρας κατὰ Χριστιανικῶν αἱμάτων ἐξώπλισαν, μὴ ἐφειμένον ὂν ἐν ταύτῃ τοῖς ὀρθοδόξοις μηδὲ κατὰ ἀλλοφύλων ἐπεξιέναι καὶ τὴν χάριν ὑβρίζειν τῆς ἀναστάσεως. ὅμως πράως τούτοις προσενεχθεὶς καὶ συμπαθείας ἀξιώσας ἀπέλυσε. τοὺς δὲ τραυματίας ἐν ταῖς κώμαις ἀπέθετο, τὴν ἐπιμέλειαν αὐτῶν ἐπιτρέψας ἀπαραλόγιστον.

Ταῦτα τοῦ βασιλέως μεμαθηκότος, κατήπειξαν αὐτὸν πρὸς τὴν ἔξοδον. γενόμενος οὖν ἐν τῇ ἐπισκέψει τῶν Μελαγγείων, καὶ κατὰ μικρὸν ἀθροίζων τὴν στρατιάν, ὁπότε κἀμὲ πρὸς τὴν αὐτὴν λειτουργίαν μὴ θέλοντα ἐλθεῖν κατηνάγκασε τῷ τῶν πατρικίων τετιμηκὼς ἀξιώματι, μέχρι τοῦ Δορυλαίου τὴν φορὰν ἐποιήσατο. ἐκεῖσε δὲ τρεῖς ἡμέρας προσκαρτερήσαντος, πρέσβεις ἧκον ἐκ τοῦ Κρισπίνου, τὴν ὁμολογίαν τῆς δουλώσεως ἐκείνου σαφῶς ἀπαγγέλλοντες καὶ τὴν ἀπολογίαν τῆς ἀντιστάσεως. καὶ ἁπλῶς ἀμνηστίαν ἐπιζητήσας τῶν πρὶν γενομένων, ὡς αὐτοῦ μὴ θέλοντος πολεμεῖν οἱ Ῥωμαῖοι προσυπαντήσαντες κατηνάγκασαν, ἔτυχε τῆς αἰτήσεως, τοῦ βασιλέως περιχαρῶς δεξαμένου τὴν τοιαύτην ὁμολογίαν διὰ τὸ τοῦ ἀνδρὸς γενναῖον καὶ πρὸς τὰς πολεμικὰς πράξεις καὶ διατάξεις ἐπίδοξον· καὶ γὰρ καὶ Τούρκων

tum igitur praesidens Latinorum princeps non intempestivum neque ineptum conventum convocavit. damnavit enim Graecorum impietatem quod tali ingenti et admirabili die, quod est festorum festum, manus contra Christianorum sanguinem paravissent, cum non esset hoc die permissum orthodoxis ne contra paganos quidem egredi, et clementiam eludere resurrectionis domini. tamen clementer eos tractans et misericordia dignans dimisit, vulneratos autem in pagis deposuit, curam iis advertens infallibilem. haec postquam rex audivit, excitaverunt eum ad iter.

Versans igitur in provincia (delectu) Melangeorum et brevi cogens exercitum, quo tempore etiam me ad idem officium invitum accedere coegit, patriciorum honorans dignitate: usque ad Dorylaeum impetum fecit. ibi autem tres dies eo durante legati venerunt a Crispino confessionem servitutis illius aperte nuntiantes: (hic colon ponendum et sequentia ad alterum enuntiatum trahenda) et excusationem seditionis et uno verbo veniam quaerens antea factorum, cum se invitum ad bellum coegissent occurrentes Graeci, (hic comma ponendum) adeptus est quod petierat, rege laetissime accipiente talem professionem, propter viri nobilitatem eiusque contra hostium facta et acies gloriam. etenim etiam Turcis antea occurrens multitudine magna

προσεντυχὼν πλήθυϊ πολλῇ μεγάλας τὰς ἀνδραγαθίας ἐκ χειρὸς ἀπειργάσατο. προϊόντι δὲ τῷ βασιλεῖ ἐκεῖθεν μεθ' ἡμέ- f. 192 r. ρας τινὰς ἀπαντῶν καὶ δουλοπρεπῶς ἅπαντα ποιησάμενος συνείπετο τῷ βασιλεῖ, καὶ αὐτὸς ὀλίγους τινὰς τῶν οἰκείων στρατιωτῶν ἐπαγόμενος· τοὺς γὰρ ἄλλους κατέλιπεν εἰς ὅπερ ἐπεκράτει τοῦ Μαυροκάστρου φρούριον, εἰς ἕνα τῶν Ἀρμενιακῶν τόπων ἐπὶ λόφου κείμενον ὑψηλοῦ καὶ δυσκατεργάστου. διαβληθεὶς δὲ πρὸς τὸν βασιλέα ὡς μελετῶν καὶ αὖθις ὠμόν τι καὶ ἄπιστον κατὰ τὴν οἰκείαν φυλήν (φύσει γὰρ ἄπιστον τὸ γένος τῶν Φράγγων), καὶ ὅτι οὐχ ἡ προαίρεσις ἀλλ' ἡ τῶν ἑταίρων αὐτοῦ ἀπουσία τὴν ἀναβολὴν ποιεῖ τοῦ μὴ ἐπιθέσθαι τῷ βασιλεῖ, πολλὰ καταγνωσθεὶς ὡς ἀχάριστος καὶ θεομισής, ἐκεῖθεν ἀπεπέμφθη τοῦ στρατοπέδου, μὴ καθαρῶς ἀπελεγχθείς, ὑπονοηθεὶς δὲ διὰ τὴν προτέραν ἀπόνοιαν καὶ τὸ παρὰ Νεμίτζου τινὸς τῶν ἐπισήμων κατηγορηθῆναι σφοδρῶς. οἱ δ' ἑταῖροι τούτου μαθόντες τὸ γεγονός, ἄραντες ἐκ τοῦ φρουρίου τὴν Μεσοποταμίαν κατήλασαν, πολλὰ δεινὰ τοῖς ἐκεῖσε δι' ἐπιδρομῆς ἐργαζόμενοι.

Ἐπεὶ δ' ὁ βασιλεὺς μετὰ πλήθους ἧκεν εἰς τὴν Καισάρειαν, εἶτα καὶ τῇ Λαρίσσῃ προσέμιξε, καὶ ἡ φήμη τὴν φήμην φθάνουσα ἦν ὡς Τούρκων πλῆθος ὅσον οὔπω ποτὲ πρὸ διαστήματος οὐκ ὀλίγου λεηλατεῖ καὶ κατατρέχει τὴν χώραν, ἐξέπεμψε μὲν μέρος τι τῆς στρατιᾶς κατ' αὐτῶν, μηδὲν δὲ

magna facta cominus perfecit. progredienti autem regi inde post dies aliquot adveniens et servi instar omnia faciens sequutus est regem et ipse paucos quosdam suorum militum adducens. ceteros enim reliquit in Maurocastri cui imperabat castello in uno Armeniacorum locorum sito in colle alto et inaccessibili. incusatus autem apud regem quasi meditaretur etiam rursus crudele quid et infidum in ipsius centuria (natura enim infidum genus Francorum) et quod non voluntas sed amicorum eius absentia remissionem efficeret, quominus insidiaretur regi, valde diiudicatus ut ingratus et deo invisus, inde dimissus est exercitu: non pure convictus, sed suspectus propter priorem pravitatem et quia a Nemitzo quodam illustrium accusatus erat magnopere. amici autem huius postquam audiverunt rem, profecti e castello Mesopotamiam aggressi sunt, multa mala incolis incursione facessentes.

Sed cum rex cum multitudine veniret ad Caesaream, deinde etiam Larissae se coniungeret et fama famam praeverteret Turcarum multitudinem, quanta nunquam antea, intervallo non parvo diripere et percursare terram, misit partem aliquam exercitus contra eos: nihil autem perficientem sed fugientem excipiens missum exercitum ordine

ἀνύσας, ἀλλὰ φεῦγον ὑποδεξάμενος τὸ πεμφθέν, συντεταγμένως τῆς πρόσω φερούσης εἴχετο. ἅμα δὲ τῷ καταλαβεῖν τὸν τῆς παρεμβολῆς τόπον καὶ τὸν βασιλέα τὴν βασιλικὴν σκηνὴν ὑπελθεῖν, μὴ τάφρου, μὴ χάρακος περιστάντων, ἀλλ' ἐν ὄχλῳ τῆς τῶν σκευῶν ἀποθέσεως τοῦ στρατοῦ καθεστῶτος, ἐφάνησαν οἱ πολέμιοι τὰ ἐρυμνότατα τῶν τόπων κατέχοντες καὶ τὰς ἀκρολοφίας αὐτάς. οὕτω γὰρ ἔλαχεν ὁ τόπος ἐκεῖνος θέσεως, ὡς τὴν μὲν πεδιάδα τοὺς Ῥωμαίους κατέχειν, εἰς δὲ τοὺς περικυκλοῦντας βουνοὺς περικεχύσθαι τοὺς ἐναντίους, λανθάνοντας πρώην ἐκ τοῦ κατόπιν αὐτῶν ἀποκρύπτεσθαι. βοῆς δὲ γενομένης, καὶ τοῦ βασιλέως μὴ ἐκδεδωκότος ἑαυτὸν εἰς ἀνάπαυσιν, ἀλλὰ τὸ ἐνυάλιον σαλπίσαι προστάξαντος, προῄεσαν κατὰ τάξιν οἱ στρατιῶται, μηδὲ τῆς οὐραγίας ἔτι καταλαβούσης διὰ τὸ σχολαίως βαδίζειν εἰς φυλακὴν καὶ διάσωσιν τῶν ἐπαγομένων τὴν ἀγοράν. ἀρθέντων οὖν τῶν σημείων καὶ κατὰ φάλαγγας τῆς στρατιᾶς συνταχθείσης, τοῦ βασιλέως προάγοντος προέκυψαν μὲν τῶν ἐναντίων πολλοί, προλαβόντων δὲ τῶν ταγμάτων ἓν μὲν τῶν Λυκαόνων λεγόμενον, ἓν δὲ τῶν ἑσπερίων ἀριθμῶν, καὶ τοῦ συνήθους θρασύτερον κατὰ τῶν ἐναντίων ἐλάσαντα πρὸς φυγὴν εὐθὺς ἀπιδεῖν κατηνάγκασαν. προβιβάζοντος δὲ τοῦ βασιλέως τὴν λοιπὴν στρατιὰν καὶ τὸ λοιπὸν τῶν πολεμίων πλῆθος τοῖς φεύγουσι συνδιέφυγεν. ἐπεὶ δὲ κατὰ νώτων τῶν ἐναντίων ἐλαύνοντες

20. ἐλάσαντος C.

viam adversus ferentem tenebat: simul atque autem occuparunt castrorum locum et rex regium tentorium subiit, non fossa, non vallo circumstante, sed in turba depositorum impedimentorum exercitu versante, apparuerunt hostes, firmissima loca obtinentes et vertices montium ipsos. ita enim constitutus erat locus ille, ut planum Graeci obtinerent, per colles autem circumiectos fusi essent hostes, latentes antea quia post eos occultabantur. clamore autem facto et rege non tradente se remissioni, sed ut bellicum canerent imperante, progrediebantur ordine milites, cum ne ultimi quidem caperent, quia lente ibant ad custodiendos et arcendos eos, qui accederent, mercatum. sublatis igitur signis et secundum phalanges exercitu composito, rege praeeunte se flexerunt hostes multi: accipientibus autem ordinibus unum Lycaonum dictum, alium occidentalis multitudinis, et solito vehementius illo contra hostes profecto, fugam statim spectare eos coegerunt. traiiciente autem rege reliquum exercitum, etiam reliqua hostium multitudo cum fugientibus fugit. cum autem in tergo hostium proficiscentes Graeci, praetereunte etiam agmine mercenario Scytha-

οἱ Ῥωμαῖοι, προηγουμένου καὶ μισθοφορικοῦ τῶν Σκυθῶν, παρῆλθον τοὺς μηνοειδεῖς ἐκείνους ἀγκῶνας καὶ κατόπιν ἐγένοντο, λόχος Τουρκικὸς καθήμενος ἐν ἀδήλῳ τῇ Ῥωμαϊκῇ παρεμβολῇ προσεπέλασεν, ἐν οὐκ ὀλίγοις ἀνδράσι παραμετρούμενος· οὓς οἱ παραλειφθέντες εἰς φυλακὴν στρατιῶται δεξάμενοι, πρὸ πάντων δ' οἱ Φράγγοι, καὶ ἀγχεμάχως συμπλακέντες καὶ ἱκανῶς ἀνθαμιλληθέντες ἐτρέψαντο, μηδενὸς τῶν ἱσταμένων ταγμάτων Ῥωμαϊκῶν τοῖς Φράγγοις μέχρι καὶ ἁπλῆς ὁρμῆς παραβοηθήσαντος. ἐν τούτῳ δὲ ὑπέστρεψεν ὁ βασιλεὺς τῆς διώξεως· πρὸς ἑσπέραν γὰρ ἦν, ἐπεὶ καὶ ὁ πόλεμος περὶ δείλην ὀψίαν συνίστατο, ἠρέμα τοῦ στρατοπέδου βαδίζοντος πρότερον καὶ περιέποντος τοὺς ἀσθενεστέρους καὶ πεζοὺς διὰ τὴν τοῦ πολέμου προσδοκίαν, ὡς παρὰ τῶν σκοπῶν ἀπηγγέλλετο. τῇ δ' ἐπαύριον δημοσίᾳ καθίσας f. 192 v. τοὺς ἑαλωκότας τῶν πολεμίων κατεῖδε καὶ τῇ τελευταίᾳ ψήφῳ τούτους παραδοθῆναι προσέταξε, μηδενὸς τὸ παράπαν φεισάμενος, μήτ' αὐτοῦ τοῦ τὴν ἡγεμονικὴν αὐχοῦντος λαμπρότητα. ὃς καὶ ἀπὸ τῆς ἐσθῆτος (λαμπρειμονῶν γὰρ ἦν ἐν τοῖς ὅπλοις καὶ τῇ ἄλλῃ σκευῇ) ἐμαρτυρεῖτο τοιοῦτος, εἰ καὶ πολλῶν λύτρων ἑαυτὸν ὤνιον ποιήσασθαι ἐπηγγέλλετο, καὶ Ῥωμαίους αἰχμαλώτους ἑαυτοῦ ἀντιδοῦναι τῷ πλήθει πολλούς.

Τριημερεύσας δ' ἐν τῇ παρεμβολῇ ὁ βασιλεύς, τῷ προτερήματι τούτῳ κόρον δῆθεν λαβὼν ἢ μεγαλαυχῶν, πολλὴν

rum, praeteriissent lunares illas valles et post eos venissent, insidiae Turcarum constitutae in obscuro Graecis castris appropinquarunt, non paucorum hominum numero, quos relicti in praesidio milites excipientes, ante omnes autem Franci et cominus iis conserti et satis certantes verterunt in fugam, nullo adstantium ordinum Graecorum Francis ne ad simplicem quidem impetum auxilio veniente. interea autem reversus est rex a persecutione; sub vesperum enim erat, cum etiam bellum circa vesperum consisteret: quiete exercitu ingrediente antea et curante infirmiores et pedites propter belli exspectationem, ut a speculatoribus nuntiabatur. Postero autem die publice constituens captos hostes consideravit et ultimae sententiae iudicum tradi iussit, nemini omnino parcens neque ipsi imperatorium splendorem iactanti, qui quidem etiam vestitu (splendide enim erat vestitus in armis et reliquo apparatu) indicabatur talis, — licet se multis pecuniis se redemturum promitteret et Graecos captivos sui redditurum numero multos.

Tres autem dies versatus in castris rex victoria hac superbus sive iactans se multam securitatem praebuit hostibus ad fugam, ita ut

ἄδειαν δέδωκε τοῖς ἐναντίοις εἰς τὴν ἀποφυγήν, ὥστε μηδὲ τῆς λείας ἀποσχέσθαι, ἀλλὰ καὶ ταύτην ἐλαύνειν καὶ ἀλύπως τὸν δρόμον καὶ περιεσκεμμένως ποιεῖν. ὡς δ' ὁ βασιλεὺς ἀπαναστὰς ἐκεῖθεν πανστρατιᾷ κατόπιν ἐβάδιζε, διεπεραιώθησαν τὸν Εὐφράτην ποταμὸν οἱ πολέμιοι. ὁ δέ, ὡς ἀπὸ διαστήματος μιᾶς ἡμέρας ἢ καὶ πλείονος τῆς Μελιτηνῆς στρατοπεδευσάμενος, βουλὴν βουλεύεται λίαν ἀγεννῆ καὶ ἐπίκρημνον· καὶ συνέστησεν ἤδη ταύτην, πάντων συνεπινευσάντων τὸ τοιοῦτον προβούλευμα διὰ τὸ λύειν τὴν στρατιὰν καὶ τὴν ἐπ' οἴκου ἀπαναχώρησιν ἐπαγγέλλεσθαι. καὶ ἡ σκῆψις, ὅτι περ οἱ πολέμιοι προτρέχοντες εἰς τὰ πρόσω, καὶ μηκέτι συνελθεῖν εἰς χεῖρας τοῖς Ῥωμαίοις ἰσχύοντες, ἀκατάληπτοι πάντως εἰσί, καὶ εἰς κενὸν ὁ δρόμος τοῖς διώκουσιν ἡμῖν παραγίνεται. καὶ διὰ τοῦτο δέον ἐστὶν ἀπόμοιραν περιλειφθῆναι Ῥωμαίων πρὸς ἀντιπαράταξιν ἀξιόχρεων, τὸν δὲ βασιλέα μετὰ τῆς λοιπῆς ὑποστρέψαι δυνάμεως καὶ πρὸς τὰς οἰκίας ἕκαστον ἀποπέμψαι, κἀκεῖνον εἰσελθεῖν εἰς τὴν βασιλεύουσαν, ὡς ἂν διαναπαυθεὶς ὁ στρατὸς ἰσχυρότερος ᾖ πρὸς τὸ ἐπιὸν ἔτος, πολέμου τυχὸν γενομένου ῥαγδαιοτέρου δι' ἐπιδημίας τοῦ τῶν ἀλλοφύλων ἐξάρχοντος.

Ἐπεὶ δὲ τουτὶ τὸ ψήφισμα ἐκυρώθη, ἀνάμνησις γέγονε τῷ βασιλεῖ τῶν τοῦ στρατοπέδου κριτῶν. καὶ μετακαλεσάμενος ἡμᾶς μόνους ἐν τῷ δειλινῷ, τήν τε βουλὴν ὡς εἶχεν ἀνεκοινώσατο, καὶ γνώμην ἡμετέραν περὶ ταύτης ἐζήτησε. καὶ

10. ὅπερ C.

ne praeda quidem abstinerent, sed et hanc agerent et sine vexatione cursum et caute perficerent. cum autem rex assurgens inde cum toto exercitu a tergo incederet, traiecerunt Euphratem fluvium hostes. ille autem, fere intervallo unius diei sive etiam amplius a Melitene castra ponens, consilium meditatur valde ignobile et praeceps et composuit iam hoc, omnibus probantibus simul tale propositum, quia dimittebat exercitum et domum reditio nuntiabatur: et causa erat, quod hostes procedentes longius neque iam congredi ad manus Graecis valentes, non capi possent omnino, et inanis esset cursus nobis persequentibus: quamobrem opus esse, ut pars comprehenderetur Graecorum ad appositionem idoneam, rex autem cum reliqua recederet vi et domum quemque dimitteret, et ille intraret urbem, ut remissus exercitus validior esset proximo anno, bello orto acriore adventu principis paganorum.

Cum autem haec sententia confirmata esset, memoria oborta est regi iudicum exercitus et arcessens nos solos circa vesperum, consilium quale erat nobiscum communicavit, et sententiam nostram

οἱ μὲν ἄλλοι τῶν δικαστῶν, μαρτυρούσης μοι τῆς ἀληθείας αὐτῆς (οὐ γὰρ θρυπτόμενός τι λέξω ἢ ἐξαίρων ἐμαυτὸν, ἢ σεμνόν τι καὶ παρὰ τῶν ἀνθρώπων θηρεύων ἔπαινον· οὐδὲ γὰρ ἐμαυτῷ σύνοιδά τι ζηλωτόν τι καὶ περιδέξιον οὐδ' ὑπεροχῆς τι μέτριον λείψανον· ἀγαπητὸν γὰρ εἰ καὶ τοῖς ἐσχάτοις τῶν λόγου ποσῶς μετεχόντων συνταττοίμην) — οὗτοι οὖν οἱ τῆς ἐμῆς τάξεως καὶ κοινωνίας ἢ ἑταιρίας συνεπαινέται καὶ αὐτοὶ τοῖς προβεβουλευμένοις γεγόνασι, μόνος δ' αὐτὸς ἐσιώπων ἱστάμενος. ὁ δὲ βασιλεὺς συμμετρησάμενος τὸ ἠρεμαῖον τῆς κατ' ἐμὲ παραστάσεως, λόγον ἐξῃρημένως ἀπήτησέ με, καὶ τί μοι τὸ παριστάμενον περὶ τούτων ἐστίν. αὐτὸς δὲ τερατευσάμενος πρότερον ὡς οὐδέν τι τοῦ πλήθους ἐκτὸς δυναίμην εἰπεῖν οὐδὲ καρτερώτερος ὀφθῆναι, κἄν τι δοκιμάσω, πάντως ἀποδοκιμασθήσομαι τῆς τῶν πλειόνων ψήφου ἐπικρατούσης, ἀεὶ μετὰ πολλῆς ὁ βασιλεὺς τῆς ἐπιμονῆς καὶ τῆς ἀμεταθέτου ἐνστάσεως προετρέψατό με τὸ κατὰ λογισμὸν f. 193 r. ἀδεῶς ἀνειπεῖν, τὸν θεὸν ἐπιστήσας μοι μάρτυρα. μεταβαλὼν οὖν μὴ ἀρέσκειν μοι τὴν βουλὴν ταύτην εὐθὺς ἐκ προοιμίων ἀπήγγειλον, προσθεὶς ὡς οἱ πολέμιοι οὐ παντελῆ δυσκληρίαν καὶ καταστροφὴν ἐν τῷ πολέμῳ ἐδέξαντο. ἡ γὰρ ἑσπέρα ταχὺ καταλαβοῦσα διέσωσεν αὐτούς, καὶ τὸ ἐπὶ τρεῖς ἡμέρας ἀνεθῆναι τὴν δίωξιν τὸ δέος τούτοις ἀνεκαλέσατο. καὶ τοῦτο δῆλον ἔκ τε τοῦ μὴ καταλειφθῆναί τι τῶν λαφύρων

1. συντάττοιμι C.

de eo petiit. atqui alii quidem iudices, id quod confirmat mihi veritas ipsa, neque enim simulans aliquid dicam aut efferens me, aut ampliquid et ab hominibus captans laudem: neque enim conscius mihi sum rei admiratione dignae et aptae neque modicarum praestantiae reliquiarum. acceptum enim esset, si quis vel ultimis eorum, qui orationis quoquo modo participes erant, me componeret. hi igitur qui ex meo ordine et communione vel societate erant, laudatores et ipsi antea statutis fuerunt: solus ipse silebam adstans. rex autem considerans quietum meae praesentiae responsum (certis verbis) extra morem ex me quaesivit et quid de his mihi constaret. ipse autem cum simularem antea, me nihil procul a multitudine posse dicere, neque validiorem adspici, et si quid probaturus essem omnino improbatum iri, plurium sententia semper principatum tenente, rex multa cum assiduitate et immutata constantia exhortatus est me, ut quid sentirem sine timore dicerem, deum mihi testem constituens. respondens igitur non placere mihi consilium hoc statim ab initio nuntiabam, adiiciens, hostes non absolutum malum et ruinam in bello accepisse. vesper enim celeriter occupans servavit eos: et cum per tres dies remitteretur per-

αὐτοῦ καὶ προσεμπλακῆναι ἡμῖν παροδεύουσι, καὶ τοῦ τῶν ἑαλωκότων πλήθους, ὡς οὐκ ἦν ἐν τοῖς μάλιστα μηδὲ πρὸς τοὺς ἑκατὸν ἀποσῶζον ἄνδρας· ὡς εἶναι δῆλον ὅτι τὸ στράτευμα τούτοις σχεδὸν ἀνεπαισθήτως ἠκρωτηρίασται, ἐπεὶ τῷ ἔθνει τούτῳ οὐδὲν ἡ τοιαύτη ἧττα, καὶ ὅσαι ταύτῃ παραπλήσιαι, δουλῶσαι δεδύνηνται· θᾶττον γὰρ ἑαυτοὺς ἀνακαλοῦνται οἱ στρατευόμενοι, καὶ πάλιν εἰς μάχην ἀποκαθίστανται. καὶ διὰ τοῦτο εἴ τις καταλειφθείη μοῖρα Ῥωμαίων, ἀγεννεῖς ἐμφάσεις καὶ διαθέσεις αὐτίκα προσλήψεται, τῆς τοῦ βασιλέως καὶ τῶν λοιπῶν στρατιωτῶν ἀπορραγεῖσα συνόδου, ἐξόχως δ' ἀναθαρρήσουσιν οἱ πολέμιοι. καὶ ὅσῳπερ ἡ δειλία τῶν Ῥωμαίων καθίκοιτο, τοσοῦτον ἐκείνοις ἡ τόλμα προαπαντήσει· καὶ ῥᾳδίως τῶν ἡμετέρων περιγενήσονται, ἐπεὶ καὶ προεκπεφοβημένοι τυγχάνουσιν οἱ Ῥωμαῖοι, καὶ μόνον αὐτοὺς ὁρᾶν τοὺς πολεμίους ποιεῖ ὅτε τὴν τοῦ κρατοῦντος ὁρῶσι μετ' αὐτῶν γενναιότητα. καὶ εἴπερ ἐκείνους τρέψονται, ἄφυκτος ἡμᾶς καταλήψεται κίνδυνος· οὐ γὰρ οὐ μελήσουσιν οἱ Τοῦρκοι μὴ οὐχὶ καταδραμεῖν καὶ ἡμῶν καὶ νίκην διαβόητον ἀπεργάσασθαι, διακεκομμένους εὑρηκότες καὶ διεσκορπισμένους τῇ πρὸς τὰ οἰκεῖα σπουδῇ. "καὶ ἅμα τίς ἡ ἀνάγκη" ἔφην, "ὦ βασιλεῦ, ἔτι τοῦ ἔτους περὶ ἀκμὰς τοῦ θέρους ὄντος καταλιπεῖν τοὺς ἐναντίους εἰς τὴν Ῥωμαίων, καὶ πρὸς ἀνέσεις καὶ ἀπολαύσεις ἑαυτοὺς ἐκδοῦναι, καὶ μὴ νῦν κακο-

8. τι C. 11. δ' om C. quo non opus, si supra καταλειφθεῖσα posueris. 17. an γὰρ ἀμελήσουσιν?

secutio, id timorem iis correxit. atque hoc perspici potest ex eo, quod non relictum est quidquam praedae ibi, et quod implicarunt se nobis praetereuntibus: et ex captorum multitudine eos non potuisse maxime ne circa centum quidem servare viros, ita ut perspici posset, exercitum his fere sine sensu laesum esse, cum huic genti nihil talis clades et quotquot huic similes sunt subiicere potuisset: celerius enim se revocant milites et rursus ad pugnam constituuntur. et propterea si relinqueretur pars Graecorum ignobiles significationes et dispositiones statim accipiet, a regis et reliquorum militum coniunctione avulsa, valde animum recipient hostes: et quo magis ignavia Graecos assequeretur, eo magis illis fiducia obveniet et facile nostros superabunt, cum etiam antea timore perculsi sint Graeci et si tantum id eos videntes facit hostes, cum imperatoris cum ipsis nobilitatem videant. atque si illos in fugam vertent, inevitabile nos occupabit periculum: neque enim non curabunt Turcae, quin impetum faciant etiam contra nos et victoriam claram reportent, postquam nos afflictos invenerunt et disiectos studio domesticarum rerum. atque simul, quae est neces-

παθῆσαι, ἵν' εἰς τὸ μέλλον εὐπαθῆσαι δυναίμεθα; διὰ τί δὲ καὶ μὴ ἐκ πολιορκίας αἱρήσομεν τό τε ἄστυ τὸ Χλίατ καὶ τὰ ὑπὸ τούτου πολίχνια, ἵνα καὶ οἱ στρατιῶται τῆς ἐκ τῶν λαφύρων ὠφελείας πλησθῶσι καὶ προθυμότεροι γένωνται, καὶ τοῖς ἐναντίοις ἐπέλθῃ δέος, καὶ ἀντὶ πολεμίων αἱ τοιαῦται πόλεις Ῥωμαϊκὴν ἡγεμονίαν πλουτήσωσι, καὶ δυνάμεις ἐφιστάμεναι τὸ ἀντίπαλον ἰσχυρῶς ἀποκρούσωνται, καὶ ἡ τῶν Τούρκων πάροδος ἐκ διαστημάτων κατὰ μοίρας ἐρχομένων βραχείας ἀνασταλῇ, καὶ μὴ ὁρμητήριον μᾶλλον καὶ ὀψωνιασμὸν ἐν τούτοις εὑρίσκῃ ἀλλὰ πολεμητήριον ἀτεχνῶς, καὶ ἡ διὰ τῆς Μεσοποταμίας ὁδὸς τούτοις ἀνεπίβατος γένηται."

Ταῦτ' εἰπόντος μου πρὸς τὸν βασιλέα, εἰσῄει τούτῳ μέχρι βάθους ὁ λόγος ὥσπερ τις σπόρος εἰς εὔγεω καὶ ἐρίβωλον γῆν, καὶ μεταθέμενος εὐθὺς τῆς προσωτέρω φερούσης ἥψατο, ἕως τὸν Εὐφράτην διαπεραιωθεὶς τοὺς πολεμίους εἰς τὰ σφέτερα βαδίζειν παρέπεισε· περὶ τὰς ὄχθας γὰρ τοῦ ποταμοῦ στρατοπεδευόμενοι ἦσαν, καραδοκοῦντες τὴν τοῦ βασιλέως ἀπαναχώρησιν. εἶχον μὲν οὖν ἐλπίδες ἅπαντας στρατηγίας μεγίστης καὶ λαφυραγωγίας ἐκ τῆς τῶν εἰρημένων f. 193. v. κάστρων ἁλώσεώς τε καὶ παραστάσεως· ἡ δ' ἐλαύνουσα τὰ Ῥωμαίων εἰς τὴν κατόπιν ἀκληρία οὐκ εἴα πέρας ἐπιτεθῆναι συνετοῦ διατάγματος. ὡς γὰρ ὁ βασιλεὺς εὐθὺς τῆς Ῥωμα-

1. ἀκληρίαν C.

situdo, inquiebam, rex, adhuc anno circa aciem aestatis versante, relinquendi hostes in Graecorum terra et remissioni se et voluptatibus tradendi neque nunc laborandi, ut futuro tempore felices esse possimus. cum autem neque oppugnatione capiemus urbem Chliat et oppida eius, ut etiam milites praedae utititate expleantur et promtiores fiant, et hostibus obveniat timor, et pro hostibus hae urbes Graeco imperio fruantur et vires instantes contrarios fortiter repellant: atque Turcarum iter ex intervallis partibus proficiscentium parvis detineatur, neque locum firmum et commeatum in his reperiat, sed defensum locum prorsus, atque via per Mesopotamiam ferens his inaccessibilis fiat."

Postquam haec dixi ad regem, incessit huic usque ad profundum oratio, quasi seges in bonum et feracem terram. et sententiam mutans statim viam quae in directum ferebat iniit: donec Euphratem transgressus hostes ad sua abire coegit. circa ripas enim fluminis in castris erant, exspectantes regis reditum. alebant igitur spem omnes expeditionis maximae et praedae agendae expugnatione et impetu dictorum castellorum. sors autem quae res Graecorum in posterum malum pellit, non passa est finem constitui prudentis imperii, cum enim

νοπόλεως ἐλαύνων ἐφαίνετο, ἐξ ἧς ἡ πρὸς τὸ Χλίατ κάθοδος διὰ στενωπῶν ἐπιγίνεται, μεταστρέψας τὴν γνώμην καὶ τὰς σημαίας ἐν ἀριστερᾷ ποιησάμενος, περιπλανώμενον ἀφῆκε τὸ στρατόπεδον, τὴν ὡρισμένην ἀταρπὸν ἐν δεξιᾷ προερχόμενον, ἕως φήμη καταλαβοῦσα μετήγαγεν αὐτὸ πρὸς τὴν καινοτομηθεῖσαν τῷ βασιλεῖ. κατελθόντες οὖν ἀποτόμους τινὰς καὶ κρημνώδεις ὁδούς, ἐν βαθεῖ τόπῳ τὸν βασιλέα κατασκηνώσαντα εὕρομεν ἐκεῖσε, τὴν πρώτην βουλὴν ἐπὶ κακῷ τῶν Ῥωμαίων ἀκλεῶς ἀνανεωσάμενον. διελὼν γὰρ διχῇ τὸν στρατόν, παρέδωκε τὸ ἰσχυρότερον μέρος τῷ Φιλαρέτῳ, ἀνδρὶ στρατιωτικὴν μὲν αὐχοῦντι περιοπήν, αἰσχροῦ δὲ βίου καὶ διαβεβλημένου τυγχάνοντι, καὶ τῷ ἔθνει μαχεσαμένῳ μὲν διαφόρως, ἐν δὲ τοῖς μεγίστοις καταπολεμηθέντι καὶ καταφρονηθέντι ὡς τὸ εἰκός, οὐ μὴν ἀπεχομένῳ τούτων, ἀλλ' ἐπιτρέχοντι τὴν ἡγεμονίαν διὰ φιλοκερδείας καὶ φιλοδοξίας ὑπόθεσιν.

Καὶ ταῦτα μὲν τοῦτον τὸν τρόπον ἐπράχθησαν, τῶν δὲ βορειοτέρων μερῶν ὁ βασιλεὺς ἐπελάβετο δι' εὕρεσιν χιόνος καὶ ὑδάτων ψυχρῶν· ἀκρατῶς γὰρ εἴχετο τούτων, τὸ σῶμα κατὰ πολὺ διαθερμαινόμενος. διὰ ταῦτά τοι καὶ ἠναγκάσθη τὴν ὁρμὴν ἀλλαχόθεν ποιῆσαι καὶ φυλακὴν ἐπιστῆσαι, ὥσγε ᾤετο, καὶ τοῖς ἐναντίοις ἀντίπρῳρον δύναμιν. καὶ τῷ μὲν Φιλαρέτῳ πόλεμον ἔνοπλον ἐγκατέλιπεν, ἑαυτῷ δὲ καὶ τοῖς

rex contra Romanopolin proficiscens appareret, ex qua descensio ad Chliat angustiis fit, mutans sententiam et signa in sinistro cornu constituens oberrantem dimisit exercitum et definitam viam a dextra procedentem, donec fama eos occupans reduxit eum ad viam a rege novatam: degredientes igitur praeruptas quasdam et praecipites vias in profundo loco regem castra habentem invenimus ibique primam sententiam malo Graecorum ingloriose reficientem. dividens enim bifariam exercitum tradidit validiorem partem Philareto, viro militarem iactanti circumspicientiam, vitae autem turpis et accusatae, et qui eximie cum populo pugnaverat, in maximis autem reiecto et despecto ut par erat, tamen non abstinente his, sed affectante imperium propter avaritiae et vanitatis propositum.

Atque haec quidem hoc modo facta sunt. septentrionales autem partes rex occupavit propter repertam nivem et aquas frigidas: impotenter enim tenebatur his corpus diu calore perfusum. propterea quidem etiam coactus est impetum aliunde facere et praesidium constituere ut quidem censebat, et hostibus contrariam vim, et Philareto bellum armorum reliquit, sibi autem et qui cum eo erant bellum quod ex loco

συνοῦσι τὸν ἐκ τῆς δυσχωρίας οὐχ ἧττονα. διελθὼν γὰρ διὰ πολλῶν τραχινῶν καὶ δυσβάτων λόφων εἰς τοὺς λεγομένους Ἀνθίας μετὰ τῆς ὑπολειφθείσης αὐτῷ στρατιᾶς κατεκομίσθη. ἔστι δ' ὁ τόπος ἐξ ὑπωρειῶν μεγάλων ὀρῶν πεδινός τε καὶ εὔυδρος, καὶ ταῖς δυσχωρίαις ἐνειλημμένος ψυχαγωγίαν οὐχ ἥκιστα τοῖς καταίρουσιν ἐν τούτῳ ἐνίησι, ποηφόρος ἅμα καὶ σιτοφόρος τυγχάνων καὶ οἷον ὀμφαλὸς ἢ ταμιεῖον τῆς γῆς ἐκείνης καὶ πεδίον τρυφῆς. ἡμέρας οὖν ἐκεῖσε στρατοπεδευσάμενος ὁ βασιλεύς, καὶ τὸν Ταῦρον τὸ ὄρος, τὸν παρὰ τοῖς ἐγχωρίοις καλούμενον Μούζουρον, ὑπερβὰς ἐπιπόνως εἰς τὴν Κελεσίνην χώραν κατήντησε, διαβὰς τὸ δεύτερον τὸν Εὐφράτην ποταμόν, κατὰ τοὺς ἀρκτῴους πρόποδας τοῦ Ταύρου παρὰ τὸ μέρος ἐκεῖνο παραρρέοντα, καὶ διαιροῦντα τότε ὄρος καὶ τὴν Κελεσίνην ὥσπερ μεθόριον. ἐν ταύτῃ οὖν ἡμέρας τινὰς αὐλισθέντος τοῦ στρατοπέδου, φήμη τις εἰσερρύη τὸν ὑπολειφθέντα στρατὸν εἰς τὴν τῶν Τούρκων ἀντίστασιν μάχῃ καὶ πολέμῳ κραταιῶς ἡττηθῆναι καὶ πολλοὺς ἀπολέσθαι, τοὺς δ' ὑπολοίπους περὶ τὸν Ταῦρον διασωθῆναι τὸ ὄρος, ἔγγιστά που τοῦ πολέμου γεγενημένου, καί πού τινας σποράδας εἰς τὴν παρεμβολὴν εἰσιέναι, καὶ ἄλλους οὐκ ὀλίγους ἐλπίζεσθαι. ἦν δὲ οὐ ψευδής, ὡς ἀληθίζεσθαι κἀνταῦθα τὸ Ἡσιόδειον, ὅτι φήμη δ' οὔπω πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ

1. διελὼν C. 2. τραχηνῶν C. 11. κελευσίνην C.

importuno fit, non minus: transgressus enim per multos asperos et invios colles ad vocatos Anthias cum relicto sibi exercitu delatus est. est autem locus ex iis quae sub magnis montibus sita sunt aequus et aqua refertus et viis importunis circumcinctus, oblectamenta non minime iis qui in hoc degrediantur affert, herbis abundans simul et frumento et quasi umbo sive thesaurus illius terrae, et campus luxuriae. dies (numerus deest) igitur ibi manens rex et Taurum montem, qui apud incolas vocatur Muzurus, transgressus laboriose, in terram Keleusinen venit, postquam transiit iterum Euphratem fluvium sub pedibus septentrionalibus Tauri partem illam praeterfluentem, et dividentem et montem et Kelesinem quasi finem: in hac igitur dies nonnullos cum mansisset exercitus, fama quaedam influxit, nimirum relictum exercitum in Turcarum oppositione pugna et bello violenter devictum esse et multos cecidisse: reliquos autem circa Taurum servatos esse montem, cum proxime bellum factum esset, et quosdam dispersos in castra ingredi, et alios non paucos exspectari. erat autem non falsa, ita ut verum sit etiam hic Hesiodeum illud. „fama omnino non inanis est, quam multi homines dictitant: dea certe quaedam est et ipsa.“ — confecti enim animis Graeci metu Turcarum cum a regis et reliqua discerpti essent multi-

λαοὶ φημίζουσι· θεὸς νύτις ἐστὶ καὶ αὐτή. προκατειργασμένοι γὰρ ὄντες τὰς ψυχὰς οἱ Ῥωμαῖοι τῷ φόβῳ τῶν Τούρκων, ὡς τοῦ βασιλέως καὶ τοῦ λοιποῦ διερράγησαν πλήθους καὶ εἰς ὁρμὰς τῶν ἐναντίων καὶ φενακισμοὺς ἐξ ἐπιδείξεως πολεμικῶν περιέστησαν, πτοίας πλησθέντες καὶ τὰς ψυχὰς κατασεισθέντες κατόπιν τοῦ βασιλέως ἐβάδιζον, ἀφέντες τοὺς τόπους ἐκείνους ὧν τὴν φυλακὴν ἐπετράπησαν, ἕως κατὰ μι-
f. 194 r. κρὸν εἰς τοὺς εἰρημένους Ἀνθίας κατήντησαν· ἔνθα τῶν πολεμίων φανέντων ἐξ οὐραγίας, μηδὲν εὐγενὲς καὶ ἄξιον λόγου φρονήσαντες αἰσχρὰν τὴν φυγὴν καὶ πρὸ τοῦ ἀγωνίσματος εἵλοντο, καὶ περιχυθέντες τὸν Ταῦρον, οἱ μὲν ἐκ ποδὸς οἱ δὲ διὰ τῶν ἵππων, ἀποσκεδασθέντες εἰς τὴν Κελεσίνην κατήντησαν, τῶν πολεμίων πάσης τῆς τούτων κυριευσάντων ἀποσκευῆς καὶ τινῶν ὀλίγων, ὅσοι τῆς φυγῆς τὴν ἐπιτομωτέραν ἑαυτοῖς οὐκ ἐπραγματεύσαντο.

Ταῦθ᾽ οὕτω συμβεβηκότα πολὺν ἐνῆκαν τῷ βασιλικῷ στρατοπέδῳ καὶ αὐτῷ τῷ βασιλεῖ τὸν ἐναγώνιον θόρυβον, τὸ μὲν τῇ τῶν οἰκείων ἥττῃ σκυθρωπάσασιν οὐ μικρῶς, τὸ δὲ καὶ τὴν τῶν ἐναντίων ἐπιφορὰν προσδοκήσασιν ὡς ἂν φυσηθέντων ἐκ τῆς παλιντρόπου ταυτησὶ νίκης, καὶ δυναμένων τῷ ὑπολελειμμένῳ πλήθει δι᾽ ἐρήμωσιν τοῦ κρατίστου μέρους ἐπιθέσθαι πρὸς πόλεμον. καὶ ἦν οὐκ ἀπὸ τρόπου τὸ προσδοκώμενον. καὶ γέγονεν ἂν τοῦτο, εἰ μὴ ὁ Ταῦρος τὸ ὄρος ἀπήντησε τούτοις ὑψηλὸς ὢν κατὰ πολὺ καὶ τραχὺς καὶ δυσ-

1. φημίξουσι C. 7. ἐπετράπη C.

tudine et ad impetum hostium et dolos ostentationis causa militari modo adstarent, trepidatione impleti et animis concussi, post regem procedebant, relinquentes loca illa, quorum custodia iis credita erat, donec brevi ad dictos Anthias venerunt: ibi cum hostes apparerent a tergo, nihil nobile et memorabile meditati turpem fugam et quidem ante certamen ceperunt et circumfusi Taurum alii pedibus alii equis dispersi ad Kelesinem venerunt, cum hostes omnibus horum potirentur impedimentis et nonnullis paucis, qui fugae breviorem viam sibi non comparassent.

Haec ita facta multam iniecerunt regio exercitui et ipsi regi militarem turbam, cum et suorum cladem aegre ferrent non parum; et hostium etiam impetum exspectarent, quippe qui se iactarent propter reversam hanc victoriam et possent relictae multitudini propter orbationem optimae partis instare ad bellum: neque inane erat exspectatum: et factum esset hoc, nisi Taurus mons obstitisset his, altus plerumque et asper et invius et declivis et qui possit exercitum

διεξόδευτος καὶ κρημνώδης καὶ δυνάμενος στρατὸν διασκεδάσαι καὶ παραστῆσαι ἀσύντακτον καὶ τὰς ὁπλὰς ἐπιτρῖψαι τῶν ἵππων· ὅπερ καὶ ἐφ' ἡμῶν προσυμβέβηκε. καὶ ἡ τοῦ βασιλέως φήμη περιδεεῖς αὐτοὺς ἀπειργάζετο. διὰ ταῦτα καὶ τὴν μὲν ὁρμὴν τοῖς ἐναντίοις ταυτὶ διεκώλυσεν· ὀπισθόρμητοι δὲ γενόμενοι μεθ' ἧς ἐκράτησαν λείας ἐπὶ τὸ δυτικὸν μέρος, ἄνωθεν τῆς Μελιτηνῆς διαπεραιωθέντες τὸν Εὐφράτην, εὐθὺ τοῦ θέματος Καππαδοκῶν κατὰ τὸ εἰθισμένον αὐτοῖς ἀκρατῶς ἤλαυνον, καταληιζόμενοι μὲν τὸ προστυχὸν ἐξ ἐφόδου, ἐφορμῶντες δὲ πανστρατιᾷ κατὰ τῆς τοῦ Ἰκονίου πολιτείας· ἦν γὰρ τότε πλήθει τε καὶ μεγέθει ἀνδρῶν τε καὶ οἰκιῶν καὶ τῶν ἄλλων χρηστῶν καὶ ζηλωτῶν διαφέρουσα, καὶ ζώων παντοδαπῶν γένη τρέφουσα.

Προσκαρτερήσας ὁ βασιλεὺς εἰς Κελεσίνην ἐφ' ᾧ τοὺς διασωθέντας εἰς τὴν παρεμβολὴν ὑποδέξασθαι, ἵνα μὴ καταλαμβανόμενοι σποράδες ἐξ ἐρήμης ὑπὸ τῶν Ἀρμενίων ἀπόλωνται, κατόπιν τῶν ἐναντίων ἐν τῷ ὑποστρέφειν ἐγένετο. ἐπεὶ καὶ κρίσιν ἐπέστησε μεταξὺ τοῦ λαοῦ καὶ τοῦ στρατηγοῦ, εἰ καὶ οὐδὲν κατ' οὐδενὸς ἀπεφάνθη, ψηφισαμένων μὲν διάφορα τινῶν καὶ γνωματευσάντων, ἐμοῦ δὲ καταγνόντος διὰ προπέτειαν καὶ ἀμφοτέρων ἐν ἀμφοτέροις ἀσθένειαν, ὅτι πλὴν τοῦ βασιλέως οὐδέν ἐστι τὸ συνιστῶν τοῖς Ῥωμαίοις τὸν πόλεμον, εἰ μή που δεήσει πρὸς ἀλλήλων ἐριστικῶς διαμάχεσθαι.

21. δι' ἀπροπέτειαν C.

dissipare et reddere dissolutum et ungulas conficere equorum; id quod etiam nobis antea contigerat. atque regis fama valde timidos eos reddidit; propterea etiam impetum quidem hostibus haec impediverunt. reversi autem cum praeda quam obtinuerant ad occidentalem partem supra Melitenen traiicientes Euphratem contra provinciam Cappadocum ex more suo incontinenter proficiscebantur, praedantes quod iis obviam iret, primo impetu, et aggredientes toto cum exercitu Iconii civitatem: erat enim tum multitudine et magnitudine virorum domorumque et ceterorum quae necessaria sunt et optata, praestans, et animalium omnium genera alebat.

Durans rex Kelesinae, ut servatos in castra reciperet, ne comprehensi sparsim propter solitudinem per Armenios perirent, a tergo hostium recedens venit, cum etiam iudicium constitueret inter populum et imperatorem, licet nihil de ulla re censeretur, cum sentirent diversa quidam et putarent, ego autem censerem propter temeritatem et utrorumque in utrisque infirmitatem, praeter regem nihil esse, quod Graecis bellum firmaret, nisi forte inter se certare deberent.

Μέλλοντος οὖν τοῦ βασιλέως διὰ τοῦ καλουμένου πολιχνίου Κεράμου πρὸς τὰς ὄχθας τοῦ Εὐφράτου μέχρι Μελιτηνῆς τὸν οἰκεῖον διαβιβάζειν στρατόν, ἀσύμφορον πάλιν τοῦτο αὐτὸς προπετευσάμενος ἐξεφώνησα, ὡς μὴ ἀναγκαῖον ὂν τῶν τοιούτων μερῶν φροντίζειν ἡμᾶς προηρημωμένων ὄντων καὶ περιῃρημένων πᾶσαν τὴν εὐκοσμίαν αὐτῶν ἐκ διαφόρων ἐπιδρομῶν, ἀφ' ὧν καὶ σπάνις ὀλεθρία συναντήσει καὶ κατατήξει τὸ στράτευμα. καὶ ἅμα χρονίσει διὰ στενωπῶν τοσούτων βαδίσαι μέλλον, καθ' ἓν τῶν ὑποζυγίων ἠναγκασμένων καὶ τῶν ἀνθρώπων διέρχεσθαι. καὶ τούτου μελήσειν ἐξεῖπον εἰκός, ὅπως ὡς τάχιστα τοῖς ἀπαθέσι καὶ ἔτι τὴν σύστασιν ἔχουσι θέμασιν ἐπιστῶμεν, κἀκεῖνα τῆς τῶν ἐναντίων διατηρήσωμεν λώβης. ταύτης οὖν τῆς γνώμης κεκρατηκυίας, διὰ τῆς Κολωνείας καὶ τῶν Ἀρμενιακῶν θεμάτων μέχρι Σεβαστείας ὁ βασιλεὺς σὺν τῷ στρατεύματι διελήλυθεν. ἐκεῖσε δὲ μεμαθηκὼς ὡς οἱ Τοῦρκοι προῄεσαν ἐπὶ Πισιδίαν καὶ Λυκαονίαν ἐλαύνοντες καὶ ὡς εἰς σκοπὸν ἀποτεινόμενοι τὸ Ἰκόνιον, ὥρμησε καὶ αὐτὸς κατ' οὐρὰν ἐλαύνειν αὐτῶν μέχρι τῆς λεγομένης τοῦ Ἡρακλέος κωμοπόλεως. ἐνταῦθα δὲ μεμαθηκὼς ὡς οἱ Τοῦρκοι τὴν τοῦ Ἰκονίου πολιτείαν καταστρεψάμενοι χρονίσαι ταύτῃ οὐκ ἀπεθάρρησαν, δεδιότες τὴν τοῦ βασιλέως κατ' αὐτῶν ἐπιδίωξιν, ἀπόμοιραν μέν τινα τῶν ταf. 194 v. γμάτων εἰς Κιλικίαν ἐξέπεμψεν, ἑνωθησομένην τῷ τῆς Ἀντιο-

7. κατήξει C, καθέξει interpres.

Cum igitur vellet rex per oppidum, quod vocatur Keramum, ad ripas Euphratis usque ad Melitenen suum traducere exercitum, non utile rursus hoc ego audax significavi: non esse necesse nos curae tales partes, quae desertae essent et spoliatae omni ornatu variis incursionibus: ex quibus etiam inopia perniciosa occursura et obtentura esset exercitum, simulque cunctari oporteret exercitum per tantas angustias processurum, cum singula iumenta coacta essent et homines transire: atque hoc curare dixi decere, ut quam celerrime intactis et etiamtum compositis provinciis instaremus illasque tueremur ab hostium dedecore. hac igitur sententia principatum obtinente per Coloneam et Armeniacos provincias usque ad Sebastiam rex cum exercitu pervenit. ibi autem cum audivisset Turcas processisse contra Pisidiam et Lycaoniam profectos et quasi ad metam contendentes Iconium, profectus est et ipse a tergo veniens eorum usque ad vocatum Herculis oppidum. ibi autem cum audivisset, Turcas Iconii civitate eversa versari ibi non ausos esse, cum metuerent regis contra se persecutionem, partem quandam ordinum in Ciliciam emisit, ut coniunge-

χείας δουκὶ τῷ Χατατουρίῳ, ἀνδρὶ γενναίῳ καὶ πολλὰ ἐπιδειξαμένῳ τῆς ἀρετῆς αὐτοῦ τὰ γνωρίσματα πρότερον, προδεξαμένῳ δὲ παρὰ τοῦ βασιλέως εἰς Μαψουεστίαν ἀπαντῆσαι ὡς τάχος καὶ τοῖς Τούρκοις ἐκεῖθεν παροδεύουσι συμμῖξαι πολεμικῶς, ἅτε καὶ τῶν ἐν τοῖς ὀρεινοῖς τῆς Σελευκείας κατοικούντων Ἀρμενίων προδιορισθέντων ἐν τοῖς στενωποῖς τοὺς Τούρκους καταδραμεῖν καὶ κακῶσαι κατὰ τὸ ἐγχωροῦν. καὶ γὰρ τὴν ἐπάνοδον δείσαντες οἱ πολέμιοι διὰ τὸ πυθέσθαι περὶ τῆς τοῦ βασιλέως ἐπιδημίας, διὰ τῶν τῆς Σελευκείας ὀρῶν ἐπορεύθησαν, καὶ εἰς τὴν τῆς Ταρσοῦ πεδιάδα κατηκοντίσθησαν. ἔνθα παρὰ τῶν Ἀρμενίων συγκυρηθέντες τὴν λαφυραγωγίαν πᾶσαν σχεδὸν ἀπέβαλον. αὐτοὶ δὲ διασωθέντες μοχθηρῶς ἐπέτεινον τὸν δρόμον, ἐφ' ᾧ διελθεῖν δι' ὅλης τῆς Κιλικίας καὶ εἰς τὰ τοῦ Χάλεπ προσμῖξαι ὅρια. προεντυχόντες δ' ἀλλήλοις οἵ τε παρὰ τοῦ βασιλέως πεμφθέντες καὶ ὁ τῆς Ἀντιοχείας στρατὸς μετὰ τοῦ δηλωθέντος ἡγεμόνος αὐτῶν, ἑώρων τοὺς ἐναντίους κατά τινας μετρίους ἀριθμοὺς προϊόντας, αὐτοὶ κατὰ τὴν πόλιν Μοψουεστίας αὐτοῖς ἐφεδρεύοντες. προέμενοι δὲ τὸν καιρὸν τῆς εἰς αὐτοὺς ἐπιθέσεως προφάσει τοῦ μὴ σποράδας ὄντας αὐτοὺς διασκεδασθῆναι ποιήσωσι, καὶ περιμείναντες ἕως ἂν ἐπὶ παρεμβολῆς ἀθροισθῶσι, μεγάλης νίκης καὶ στρατηγίας ἀπέτυχον. μαθόντες γὰρ οἱ πολέμιοι ἐξ ἑαλωκότων τινῶν τὴν εἰς Μοψουεστίαν τῶν Ῥωμαίων συνάθροισιν, μηδὲ μικρὸν ἐγχρονίσαντες

9. σελευκείων C.

retur duci Antiochiae Chataturio, viro nobili et qui multa ostenderat virtutis suae signa antea et iussus erat antea a rege Mopsuestiam advenire quam celerrime et cum Turcis inde procedentibus manus conserere bello, cum etiam Armeniis in montibus Seleuciae habitantibus antea imperatum esset, ut in angustiis Turcas aggrederentur et vexarent quam possent maxime. etenim iter veriti hostes cum audivissent de regis profectione per Seleuciae montes profecti sunt, et in Tarsi campo conficiebantur, ubi ab Armeniis deprehensi praedam omnem fere amiserunt: ipsi autem servati aegre persequebantur cursum, donec pervenirent per totam Ciliciam et appropinquarent Chalepi finibus. convenientes autem invicem et qui a rege missi erant et Antiochensis exercitus cum renunciato duce videbant hostes numeris quibusdam modicis progredi, ipsi apud urbem Mopsuestiam iis insidiantes: emittentes autem occasionem eos aggrediendi praetextu ne sparsos se dissipari paterentur, et exspectantes, donec in castra coacti essent, magnam victoriam et expeditionem perdiderunt. cum enim cognovissent

καὶ διαναπαύσαντες ἑαυτοὺς εἰς ἣν τεθείκασιν ἐν τῇ Βλατιλιβάδι παρεμβολὴν ᾤχοντο, διὰ τῆς νυκτὸς ὑπερβάντες τὸ Σαρβανδικὸν ὄρος καὶ εἰς τὰ τοῦ Χάλεπ ἐπελάσαντες ὅρια. ἀπρακτησάντων οὖν τῶν ἐν Μοψουεστίᾳ, καὶ μὴ εὑρηκότων τοὺς ἐναντίους εἰς ὅπερ ἤλπισαν καταγώγιον, ἀνία μὲν κατέσχε τὸν βασιλέα πυθόμενον· ἐπεὶ δὲ καὶ αὐτὸς μικρὸν ἄποθεν τῆς ἐν Σελευκείᾳ Κλαυδιουπόλεως καταστὰς περὶ τῆς τῶν πολεμίων ἐμεμαθήκει φυγῆς, ὀπισθόρμητος γέγονεν, εὐθὺς μὲν τῆς βασιλευούσης ὡς καὶ τοῦ μετοπώρου προϊόντος κατεπειγόμενος, ἕτερον δὲ λαὸν εἰς τὰ κατόπιν καταλιπὼν διὰ τὸ καὶ ἑτέρους Τούρκους καταληΐζεσθαι τὴν Ῥωμαϊκὴν γῆν, κατὰ φατρίας καὶ μοίρας διαιρουμένους, καὶ κατατρέχοντας καὶ τὸ προστυχὸν ἀφανίζοντας. εἰσιόντος οὖν τοῦ βασιλέως ἐν Κωνσταντινουπόλει, ἐπ' οἴκου καὶ τὸ λοιπὸν τοῦ στρατεύματος γέγονε· καὶ τὸ ἔτος ἐτελεύτα ἐκεῖνο, ἰνδικτιῶνος ἐνι-
a. 1070 σταμένης η' τοῦ ͵ςφοη' ἔτους, ὅτε καὶ τὸ μέγιστον ἱερὸν τῶν Βλαχερνῶν ἕως ἐδάφους ἐπυρπολήθη.

Ἐπεὶ δὲ τὸ ἔαρ ὑποφαίνεσθαι ἤρξατο, ἐσκέψατο τῇ βασιλίδι παρεῖναι ὁ βασιλεὺς καὶ τὴν ἡγεμονίαν τοῦ στρατοῦ πρὸς τὴν ἑῴαν ἑνὶ τῶν προεχόντων ἐμπιστεῦσαι Ῥωμαίων. προκρίνας οὖν Μανουὴλ πρωτοπρόεδρον τὸν Κομνηνόν, καὶ τῷ τοῦ κουροπαλάτου τιμήσας ἀξιώματι, στρατηγὸν τοῦ πολέμου καὶ ἀρχηγὸν τοῦ στρατεύματος ἀποδείκνυσι. τὸ δ'

ex captis quibusdam Graecorum Mopsuestiae conventum, non parum morati et se reficientes in castris quas posuerant Blatilibade, abierunt per noctem, transgressi montem Sarbandicum et ad Chalepi profecti fines. cum igitur qui Mopsuestiae essent nihil agerent neque hostes deprehendissent in quibus latebris speraverant, aegritudo obtinuit regem postquam haec audivit. cum autem et ipse paulum a Claudiopoli urbe Seleuciae se constituens hostium audivisset fugam, reverti coepit regiam versus, cum etiam auctumnus procederet iter accelerans, et aliam reliquens a tergo manum quia etiam alii Turcae praedabantur Graecam terram secundum gentes et partes divisi et incurrentes et quae obviam essent delentes. cum igitur rex Constantinopolin intraret, domi etiam reliquus erat exercitus: et annus desiit ille, indictione VIII. instante anni 6578: quando etiam maximum templum Blachernarum usque ad solum igni concrematum est.

Cum autem ver apparere coepisset, statuit regiae adesse rex et imperium exercitus contra orientem alicui nobilium credere Graecorum: eligens igitur Manuelem maximum praesidem Compenum, et Curopa-

ἐντεῦθεν τὰ προσάντη καὶ δυσχερῆ τῇ Ῥωμαίων βασιλείᾳ συνήντησεν.

Ἐξιὼν οὖν ὁ προβεβλημένος εἰς τοῦτο, εἰ καὶ νέος τὴν ἡλικίαν ἐτύγχανεν, ἀλλά γε πεπλανημένον οὐδὲν οὐδ' ἀπαγὲς καὶ μειρακιῶδες ἐνεργῶν κατεφαίνετο. πολὺν δὲ λόγον ποιούμενος τῶν εἰκότων τάς τε δυνάμεις συνηθροίκει καὶ τῇ Καισαρέων πασίρρωμος ἐπεφοίτησεν, οὐ μόνον τὰ τοῦ στρατοῦ καθιστῶν, ἀλλὰ καὶ τῆς εὐνομίας προσηκόντως φροντίζων, καὶ τοὺς ἀδικοῦντας τῶν στρατιωτῶν ἐκτίσει καὶ προστίμοις τῆς ἀτασθαλίας καθυποβάλλων. πολέμοις δέ τισιν ἐντυχὼν νικητὴς ἀναπέφηνε, καὶ τὴν περὶ αὐτοῦ εὐδοξίαν ἤδη πλατύνειν καὶ μεγαλύνειν διηγωνίζετο. ἀλλ' ὁ κρατῶν ταυτὶ τὰ προτερήματα πυνθανόμενος εὐθυμεῖν μὲν ἐῴκει, ἐνθυμεῖσθαι δέ τι παρὰ τὴν ὁρωμένην ὄψιν οὐκ εἶχέ τις ἀντειπεῖν. ὅμως δ' οὖν, ἵνα τὴν τῆς Ἱεραπόλεως πολιορκίαν ἀποσοβήσῃ καὶ τὴν πιέζουσαν τοὺς ἔνδον σιτοδείαν παραμυθήσηται, μοῖραν οὐκ ἐλαχίστην τοῦ στρατοπέδου ἀποτεμόμενος ἐκεῖσε κατὰ Συρίαν ἀπελθεῖν διωρίσατο, καὶ τοῦτον τὸν τρόπον τῆς ἐκ τούτων ἰσχύος τὸν στρατηγὸν ἀπεστέρησεν. εἰς δὲ Σεβάστειαν παραγενομένου τούτου μετὰ τῶν ὑπολελειμμένων δυνάμεων, καὶ περὶ τὸ ἄστυ στρατοπεδεύσαντος, ἐπῆλθέ τις πληθὺς Οὐννικὴ πόλεμον τούτῳ καὶ μάχην ἀναρριπίζουσα. ἐξιόντος δ' αὐτοῦ συνέστη μὲν καρτερὰ διαμάχη,

lati honorans dignitate, imperatorem belli et ducem exercitus reddit. inde autem res adversae et difficiles Graecorum regno acciderunt.

Egrediens igitur creatus ad hoc, licet iuvenilis esset aetate, at certe incerti nihil neque infirmi et iuvenile agens conspiciebatur: multam autem rationem habens necessariorum et exercitus coegerat et Caesareae validissimus appropinquavit, non solum quae ad exercitum pertinent constituens sed etiam legum ordinem apte curans et peccantes milites castigationi et poenis peccati subiiciens: in bella autem quaedam incidens victor apparuit, et famam suam iam divulgare et augere contendebat. sed imperator has victorias audiens, bono animo esse videbatur, excogitari autem quidquam praeter vultum apparentem, non poterat quisquam econtra dicere: tamen igitur ut Hierapolis oppugnationem opprimeret et frumenti inopiam quae intus versantes premeret, placaret, partem non minimam exercitus abscindens ibi in Syria abire decrevit: et hoc modo horum robore imperatorem privavit. cum autem Sebastiam hic advenisset cum relictis viribus et circa urbem castra haberet, obvenit multitudo quaedam Hunnorum, bellum huic et pugnam excitans. cum ille egrederetur, constitit vehemens

φαντασίαν δὲ φυγῆς δεδωκότων τῶν ἐναντίων, οἷα τὰ τούτων μηχανήματα καὶ συνθήματα, ἐπεὶ διασκεδασθέντες οἱ Ῥωμαῖοι ἐδίωκον, ὑποστροφῆς αἰφνιδίου εὐθὺς γενομένης ἐκείνων παλίντροπος ἡ συμπλοκὴ γέγονε, καὶ πολλοὶ μὲν ἑάλωσαν, πλείους δὲ μαχαίρας ἔργον γεγόνασιν· συνεάλω δὲ τοῖς ἄλλοις καὶ αὐτὸς ὁ τοῦ πολέμου τὴν στρατηγίαν ἐπέχων. σὺν τοῖς ἄλλοις δὲ καὶ αὐτῆς τῆς παρεμβολῆς παράστασις καὶ διασκύλευσις γέγονεν. καὶ εἰ μὴ τὸ ἄστυ πλησίον ὂν τοὺς πλείστους διέσωσε, πανστρατιᾷ ἐκινδύνευσεν ἂν ἡ τῶν Ῥωμαίων ἡλικία πᾶσα, ὅση πρὸς τὴν ἐνταῦθα ἐκστρατείαν συνέδραμε.

Τῆς φήμης δὲ ταύτης καταλαβούσης τὸν βασιλέα, πολλή τις ἀνία κατέσχε καὶ αὐτὸν καὶ ὅσοι τὰ Ῥωμαίων φρονοῦντες ἐτύγχανον. οὔπω δὲ τὰ τῆς φήμης παρήκμασε, καὶ αὖθις ἑτέρα ἐπῆλθε, τοὺς Τούρκους ἀπαγγέλλουσα τὴν ἐν Χώναις πολιτείαν καὶ αὐτὸν τὸν περιβόητον ἐν θαύμασι καὶ ἀναθήμασι τοῦ ἀρχιστρατήγου ναὸν καταλαβεῖν ἐν μαχαίρᾳ, καὶ φόνου μὲν ἅπαντα τὰ ἐκεῖσε πληρῶσαι καὶ λύθρου, πολλὰς δὲ ὕβρεις τῷ ἱερῷ ἐμπαροινηθῆναι, καὶ τὸ δὴ σχετλιώτερον, μὴ τὰς τοῦ χάσματος σήραγγας, ἐν ᾧπερ οἱ παραρρέοντες ποταμοὶ ἐκεῖσε χωνευόμενοι διὰ τῆς τοῦ ἀρχηστρατήγου παλαιᾶς ἐπιδημίας καὶ θεοσημίας ὡς διὰ πρανοῦς ἀστατοῦν τὸ ῥεῦμα καὶ λίαν εὐδρομοῦν ἔχουσι, τοὺς κατα-

pugna: speciem autem fugae cum simulassent hostes, qualia sunt horum artificia et pacta, postquam sparsi Graeci insecuti sunt, declinatione repentina statim facta illorum, rursus congressus exercituum factus est, et multi quidem capti sunt, plures autem gladii opus facti: cum ceteris autem captus est et ipse qui belli imperio praeerat: et praeter cetera etiam ipsorum castrorum expugnatio et direptio facta est: atque nisi urbs prope sita plurimos servasset, ad unum omnis periculum subibat Graecorum iuventus quaecunque ad hanc expeditionem convenerat.

Quae quidem fama cum obtineret regem, multa aegritudo occupavit et eum et quicunque a Graecorum parte stabant. nondum autem fama effloruerat, et rursus alia obvenit Turcas nuntians Chonarum civitatem et ipsum perclarum ob miracula et dona summi imperatoris templum gladio cepisse, et caede omnia ibi implevisse et contaminatione, multam autem superbiam templo intulisse et id quod magis impium est non vallis rimas, in qua praeterfluentes fluvii ibi effusi per summi imperatoris antiquum deversorium et praesentiam ut per praeceps turbidam aquam et valde currentem habent, fugitivos observasse

φύγοντας διατηρῆσαι καὶ ὑπαλύξαι τὸν κίνδυνον μελετῆσαι, ἀλλ' ὅπερ οὐ γέγονέ ποτε, πλημυρῆσαι τὸ ὕδωρ καὶ οἷον ἀναρροιβδῆσαι καὶ ἀνερεύξασθαι, καὶ πάντας ἄρδην τοὺς καταπεφευγότας κατακλύσαι καὶ διὰ ξηρὰς ὑποβρυχίους ὑποποιήσασθαι. ταῦτα τοιγαροῦν ἐπιδιηγηθέντα πολλὴν ἐνῆκαν τὴν ἀθυμίαν ἡμῖν ὡς ἐκ θεομηνίας τῶν δεινῶν ἐπισυμβαινόντων, καὶ μὴ μόνον τῶν πολεμίων ἀλλὰ καὶ τῶν στοιχείων ἀντιμαχομένων τοῖς καθ' ἡμᾶς. ἀλλὰ καὶ ὣς ἐδοκίμαζε μὲν καὶ οἷον ἐσφάδαζεν ὁ κρατῶν διαπεραιωθῆναι μετὰ τῶν περιόντων αὐτῷ στρατιωτῶν, καὶ τοῖς κατὰ τὴν ἑῴαν παραβοηθῆσαι κατὰ τὸ δυνατόν· ἀπείργετο δὲ τοῖς τε συμβούλοις f. 195 v.
καὶ τῇ ἀγνοίᾳ τοῦ πλήθους τῶν ἐναντίων καὶ τῇ παρακοπῇ τῶν μετὰ τοῦ κουροπαλάτου δυνάμεων. ὅθεν καὶ ἄκων τοῖς βασιλείοις ἐπέμεινεν.

Ἡμερῶν δὲ διαγενομένων τινῶν, ἑτέρα τις φήμη τὸν βασιλέα καὶ τὸ Ῥωμαϊκὸν ἀνεκτήσατο. ἦν γὰρ ὅτε ὁ τῶν Τούρκων ἡγούμενος καὶ καταπολεμήσας τὸ ἡμέτερον στράτευμα καὶ τὸν στρατὸν ὑποχείριον ποιησάμενος, ὃν πολλῶν ταλάντων πρίασθαι οἱ τοῦ γένους αὐτοῦ παρεσκεύασαν, προσέρχεται τῷ βασιλεῖ μόνος μετὰ τοῦ στρατηγοῦ, φιλῶν οἰκέτης μᾶλλον εἶναι τοῦ βασιλέως ἢ στρατάρχης τῶν Οὔννων γνωρίζεσθαι. καὶ ὁ λόγος εἰς ἔργον ἐκβέβηκεν· ἐλήλυθε γὰρ ἔχων μεθ' ἑαυτοῦ τὸν εἰρημένον τοῦ στρατοῦ προεξάρχοντα, ὃς καὶ τῇ

3. ἀναρρεύξασθαι C.

et vitare periculum studuisse: sed quod nunquam factum erat evagatam esse aquam, et quasi efferbuisse et eructasse et omnes prorsus fugitivos obruisse, et in arido submersisse: haec igitur nuntiata multam attulerunt ignaviam nobis quasi ex ira divina terribilia obvenirent neque solum hostes sed etiam naturae vires pugnarent contra nostros: sed sic quoque censebat et quasi superbiebat imperator transire cum relictis ei militibus et orientalibus succurrere quam posset maxime: impediebatur autem per consiliarios et ignorantia multitudinis hostium et insania virium curopalati, quamobrem vel invitus in regia mansit.

Diebus autem interiectis nonnullis alia quaedam fama regem et Graecos obtinuit: erat enim quando Turcarum imperator, qui debellaret nostrum exercitum et copias subiecisset, quem quidem multis talentis emere homines eius generis studuerant, adiret regem solus cum duce, cum mallet servus regis esse quam imperator Hunnorum spectari: atque sermo in opus processit: venit enim secum habens commemoratum exercitus principem, qui quidem ad regiam transiit, suam multitudinem relinquens et transitum eligens inconsideratum: atque

βασιλίδι ἐπιδεδήμηκε, τὸ οἰκεῖον πλῆθος καταλιπὼν καὶ τὴν αὐτομολίαν αἱρετισάμενος ἀπροαίρετον. καὶ ἡ αἰτία, ὅτι περ ὁ σουλτάνος ὁ τῆς Περσίας κρατῶν, δυσμενῶς ἔχων πρὸς τοῦτον ὡς ἀποστάτην, στρατιὰν κατ' αὐτοῦ καὶ ἀγελάρχην ἀπέστειλεν· ὧν τῷ φόβῳ κατασεισθεὶς οὐκ ἄλλως διαδρᾶναι τὸν κίνδυνον διεσκόπησεν ἢ τῷ προσφυγεῖν τῷ βασιλεῖ τῶν Ῥωμαίων. ὃ δὴ καὶ κατὰ νοῦν αὐτῷ προκεχώρηκεν· ὑπεδέχθη μὲν γάρ, καὶ ἀσινὴς τῷ οἴκῳ τοῦ διασωθέντος παρ' αὐτοῦ κουροπαλάτου προσεδέχθη. ὁ δὲ βασιλεὺς οὐκ εὔθετος αὐτῷ κατεφάνη, μὴ κατ' ὄψιν αὐτὸν ἀγαγὼν δι' ἡμερῶν οὐκ ὀλίγων. εἶτα τῆς συγκλήτου συνάθροισιν μετὰ τῆς συνήθους λαμπροφορίας ποιησάμενος ὁρᾷ τοῦτον ἐν τῷ χρυσοτρικλίνῳ περὶ τὴν τοῦ ἡλίου ἐπιτολήν. τότε δὲ πάντες οἱ συνιόντες καὶ τὸ διανοητικὸν εἴτ' οὖν αἰσθητικὸν ἰσχυρότερον ἔχοντες ἐπὶ μεῖζον τὴν φωνὴν ἦραν καὶ τὸ πάθος ἐξῆραν ὡς τὸ εἰκός· νέος μὲν γὰρ ἦν ὁ φανείς, πυγμαῖος δὲ τὴν ἡλικίαν σχεδόν, τὴν ὄψιν Σκύθης καὶ ἄχαρις, ἐπειδὴ καὶ τοῦτο τὸ γένος ἐκ Σκυθῶν καὶ τῆς ἐκείνων κακοηθείας καὶ δυσμορφίας κατάγεται. τιμήσας δὲ τοῦτον ὁ βασιλεὺς πρόεδρον, καὶ συμβαλέσθαι τοῦτον πρὸς τὴν κατὰ τῶν Τούρκων ἐκστρατείαν οὐ μικρῶς οἰηθείς, ἐξ ἐκείνου διεῖπεν αὐτόν.

Καὶ τὴν ἐν τῇ βασιλευούσῃ παραχειμασίαν τελέσας κατάλογον στρατιωτῶν ἐπεποίητο. καὶ διαπεραιωθεὶς ἄρτι

17. ἐπὶ δὲ C.

causa erat, quod sultanus, Persidis imperator, inimicus huic tanquam proditori exercitum contra eum et agminis ducem miserat: quorum metu perculsus non aliter se effugere periculum perspexit nisi confugeret ad regem Graecorum: id quod etiam ex animo ei processit. exceptus enim est, et incolumis domo servati ab eo curopalati acceptus est. rex autem non favere ei visus est, cum non in conspectum suum eum adduceret per dies non paucos; deinde senatus conventum cum solita magnificentia instituens videt hunc in aureo triclinio circa solem orientem. tum autem omnes qui adessent et animum sive sensum validiorem haberent, magis vocem tollebant, et quod passus erat efferebant ut aequum erat. iuvenis enim erat ille, pygmaeus autem fere quod aetatem attinet; quod aspectum, Scytha et minime suavis: quoniam etiam hoc genus a Scythis et illorum pravitate et deformitudine deducitur. hunc autem rex praesidis dignitate ornavit, et quia multa eum ad expeditionem contra Turcas collaturum putabat, familiariter eo exinde usus est.

Et hibernis in regia peractis delectum militum instituit: et transgressus modo vere incipiente circa ipsum diem illustris dictae fidei

τοῦ ἔαρος ὑπανοίγοντος, περὶ αὐτὴν τὴν ἡμέραν τῆς ἐπισήμου λεγομένης ὀρθοδοξίας, ἐν ᾗ φυλοκρινεῖν τοὺς αἱρετικοὺς ἀπὸ τῶν ὀρθοδόξων καὶ ἀναθέματι καθυποβάλλειν τοὺς ἑτεροδόξους τῇ ἐκκλησίᾳ νενόμισται, εἰς τὰ τῶν Ἡρίων παλάτια κατὰ τὸ ἔθος προσώρμησε, τῇ πρὸ αὐτῆς ἡμέρᾳ τὴν ἐτησίαν φιλοτιμίαν τὴν λεγομένην ῥόγαν τοῖς μεγιστᾶσι τῆς βουλῆς καταθέμενος.

Διαπεραιουμένου δ' αὐτοῦ τὸν Χαλκηδόνιον πορθμὸν περιστερά τίς ποθεν ἱπταμένη οὐ πάνυ τι λευκή, πρὸς τὸ μέλαν δὲ τὸ πλεῖστον αὐτῆς ὑποφαίνουσα, τὴν φέρουσαν τὸν βασιλέα νῆα ἐπήρχετο, ἕως εἰς αὐτὸν ἐκεῖνον καθεσθεῖσα χερσὶ ταῖς αὐτοῦ προσερρύη· κἀκεῖνος ταύτην τῇ βασιλίδι ἀνέπεμψε, περὶ αὐτὰ τὰ ἀνάκτορα τῆς πόλεως παρὰ τὸ εἰωθὸς ἐπιμεινάσῃ. τοῦτο δὲ σύμβολον ἐδόκει μελλούσης τινὸς ἀποβάσεως, οὐκ ἰσότητος δὲ καὶ ὁμοφωνίας τοῖς τοῦτο συμ- f. 195 r. βάλλουσιν ἐδίδου παράθεσιν, ἀλλ' οἱ μὲν πρὸς τὸ κρεῖττον οἱ δὲ πρὸς τὸ χεῖρον τὴν ἔκβασιν προεσήμαινον. ἡ δὲ βασιλὶς εἰ καὶ ἀμφίβολος τῷ βασιλεῖ καὶ ἀσύμβατος ἦν ἐν τῇ προπομπῇ καὶ οἷον ἀμφήριστος ἔκ τινων τοῖς συνοικοῦσιν ἐπισυμβαινουσῶν θρύψεων, ἀλλά γε τῇ πρὸς τὸν ἄνδρα στοργῇ καταπονηθεῖσα πρὸς τοῦτον εἰς τὴν ἐπιοῦσαν διεπεπεραίωτο, καὶ πρὸς ἡμέρας τινὰς καρτερήσασα καὶ τὸν συντακτήριον λόγον καὶ τρόπον ἀποσεμνύνασα νόστου τε ἐμνήσθη, κἀκεῖνον εἰς τὴν ἑῴαν μετὰ τῶν εἰωθότων προπεμπτηρίων ἀπέλυσεν.

verae, quo secernere haereticos ab orthodoxis et deprecationi subiicere aliud credentes ecclesiae mos est, ad veris palatia ex more accessit, postquam superiore die annuum honestatis certamen, quae dicitur roga (stipendium s. donationem) principibus senatus instituit.

Traiiciente autem eo Chalcedoniae fretum, columba forte advolans, non omnino alba, sed nigrescens plurimo corpore, navem quae regem ferebat adiit, donec in illum ipsum assidens in manus eius se insinuabat: atque ille hanc reginae misit, quae in regia urbis praeter solitum remanserat. hoc autem signum videbatur futuri cuiusdam exitus: neque vero similitudinis et harmoniae iis qui hoc componerent dedit comparationem. sed alii ad melius, alii ad peius exitum antea referebant. regina autem licet incerta regi et inconciliabilis in pompa et quasi anceps ob quasdam consuetas coniugibus delicias, sed tamen amore viri devicta ad hunc postero die transgressa est et postquam per dies nonnullos ibi versata est et secessionis sermonem et morem celebravit, reditus meminerat et illum ad orientalem terram cum solitis prosecutionis festis dimisit.

Ἔσχεν οὖν κἀνταῦθα καινόν τινα καὶ παρὰ τὸ εἰθισμένον ἡ τοῦ βασιλέως διαπεραίωσις ὅρμον· οὐ γὰρ ἐν ταῖς πύλαις καὶ τοῖς βασιλείοις δόμοις ὁ βασιλεὺς προσωρμίσατο, οὐδ' ἐν νέων κώμῃ χωρίῳ τινὶ χωρητικῷ βασιλικῆς δορυφορίας ἢ ὑπατείας, ἀλλ' εἰς Ἑλενόπολιν αὐτῷ τὸ σύνθημα τῆς ἀποβάσεως γέγονεν, ὅπου καὶ ἡ βασίλειος σκηνὴ προδιωρίσθη καὶ προεπήγνυτο, Ἑλενόπολιν τὴν προδιατεθεῖσαν τοῖς εὔφροσιν ἐκ τῆς προσηγορίας ἐλεεινόπολιν. οὐδὲ γὰρ αὐτὸ τοῦτο, τὸ ἀπὸ τῶν Ἡρίων εἰς Ἑλενόπολιν τὸν βασιλέα μεθαρμόσασθαι τὴν ἑῴαν ἀπόβασιν, ὁ οἰωνὸς ἀγαθὸς τοῖς ἀκριβοῦσιν ἐδόκει τὰ πράγματα· καὶ τί γὰρ ἔτι τῆς βασιλείου σκηνῆς ἱσταμένης κατεαχθὲν τὸ ὑποστηρίζον αὐτὴν ξύλον πεσεῖν ταύτην αἰφνηδὸν παρεσκεύασεν, ὡς μὴ ἀπᾴδειν τῷ τοῦ τόπου ὀνόματι τὴν τοῦ βασιλέως ἐν αὐτῷ ἐπισκήνωσιν; ἀλλ' ἡ τῶν νῦν ἀνθρώπων συνήθης ἀβελτηρία καὶ καχεξία, καὶ τὸ ἐν τῇ δοκούσῃ πίστει ἄπιστον καὶ ἀσύμβλητον, ἀνάλγητον καὶ τοῦτο καὶ ἀπολυπραγμόνητον εἴασε.

Προῄει τοίνυν ὁ βασιλεὺς καὶ τῆς ἑῴας ἀποτέρω προήρχετο, ἕως εἰς τὴν τῶν ἀνατολικῶν λεγομένην ἐπαρχίαν εἰσέβαλε, νῦν μᾶλλον ἤπερ τὸ πρότερον φειδωλίᾳ περὶ πάντας τοὺς ἀμφ' αὐτὸν συνεχόμενος. ἐάσας οὖν τὸ ἐπὶ πεδίων πυροφόρων κατασκηνῶσαι, τῷ περιρρέοντι ταῦτα ποταμῷ προσ-

2. ἡ om C. 7. προδιατηθεῖσαν C.

Habuit igitur tum quoque novum quendam et insolitum regis transgressio portum: neque enim ad aulam et regias domos rex accessit neque in novum pagum vel locum qui exciperet regios satellites aut famulos: sed ad Helenopolin ei erat (versa) pactio itineris, ubi etiam regium tentorium antea definitum et constitutum erat, Helenopolin dico, praedictam prudentibus ex cognomine Eleeinopolin (miseram urbem). neque enim id ipsum, quod a vernis ad Helenopolin rex deflexisset orientale iter, omen bonum videbatur iis, qui accuratius res perquirerent: atque cur etiam regio tentorio stante fracto ligno, quod id sublevaret, fecit, ut hoc repente corrueret? ita ut non abhorreret a loci nomine regis in eo versatio: sed hominum, qui nunc existunt, simplex stultitia et pravitas eorumque in specie fidei mores infidi et incerti sine dolore hoc quoque et studio passa sunt.

Procedebat igitur rex et ab oriente longius progrediebatur, donec in provinciam quae Anatolica dicitur, incidit, tum magis quam antea parsimonia in omnibus qui apud eum erant constrictus. passus igitur illos tentoria facere in campis frumenti plenis qui circumfluenti hos fluvio adiacebant, in praecipiti et aspero loco suam mansionem fecit

τιθεμένων, πρός τι ἄναντες καὶ τραχὺ χωρίον τὴν ἰδίαν κατασκήνωσιν ἐποιήσατο, δωματίοις ἐπιστέγοις ἐπιγαννύμενος, καὶ φεύγων τὴν ἐκ τῆς σκηνοπηγίας ἐνσκήνωσιν. ἔνθα δή τι καὶ συνέβη τῶν προτέρων οὐκ ἔλαττον εἰς κακοδαιμονίας οἰώνισμα. πῦρ γάρ ποθεν ἐναχθὲν τοὺς δόμους ἐκείνους, ἐν οἷς ὁ βασιλεὺς ἐγκατῴκιστο, μετὰ πολλῆς τῆς ἠχῆς ἐξαφθὲν κατενέμετο. καὶ πολλοὶ μὲν συνέδραμον εἰς τὴν αὐτοῦ κατάσβεσιν καὶ ἀπόπαυσιν, ὀλίγον δέ τι τοῖς βασιλικοῖς παρεβοήθησαν πράγμασιν· οἱ γὰρ τοῦ βασιλέως ἵπποι, ὅσοι τὰ πρῶτα τῶν ἄλλων ἐκέκτηντο, καὶ τὰ τῶν ὅπλων τιμιώτερα καὶ χαλινοὶ καὶ ὀχήματα βρῶσις ὁμοῦ τοῦ πυρὸς γεγόνασι καὶ κατάποσις. μόλις δ' οὖν ἠδυνήθησάν τινα τῶν ἄλλων ἀποφυγεῖν τὴν τοῦ πυρὸς ἐρωήν. ἕτεροι δὲ τῶν ἵππων καὶ ἡμιόνων ἡμίφλεκτοι γεγονότες ἐβάδιζον ἐν τῇ στρατιᾷ, οὐδὲν λυσιτελὲς παρεχόμενοι, μαρτυρίαν δὲ διεμφαίνοντες τῆς ἐν τοῖς βασιλείοις προσγενομένης κακότητος καὶ τῆς συμβολικῆς ἐν ἅπασι διαθέσεως.

Ἀλλὰ ταῦτα μὲν ὕστερον τὸ ἀποτέλεσμα συνεπέραινεν· f. 196 v.
ὁ δὲ βασιλεὺς διαπεραιωθεὶς τὸν Σαγγάρην ποταμὸν διὰ τῆς τοῦ Ζόμπου καλουμένης γεφύρας, ἤρξατο τὰς ὑπολειπομένας συναθροίζειν δυνάμεις· ἦσαν γὰρ οἱ τῆς στρατιᾶς διεσκεδασμένοι κατὰ λόφους καὶ σήραγγας καὶ κρησφύγετά τινα καὶ ἄντρα διὰ τὴν προδεδηλωμένην τῶν βαρβάρων ἐπίτασιν. καταλέξας δ' οὖν ὅσους αὐτῷ βουλομένῳ ἐνῆν, πλείστους δ'

domibus tectis gaudens et fugiens castra quae tentoriis figendis fiunt: ubi etiam aliquid accidit, quod prioribus non minus ad infaustae fortunae omen pertineret. ignis enim alicunde illatus domos illas, in quibus rex habitabat, multo cum clangore accensus devastavit: atque multi quidem ad restiguendum eum et delendum concurrerunt, pauci autem regiis succurrerunt rebus. equi enim regis, quotquot summa aliorum praemia obtinuerant, et armorum quae erant maxime aestimata, et frena et carri cibus simul ignis facta sunt et potus. vix igitur potuerunt quaedam ceterorum effugere ignis impetum. alii autem equorum mulorumque semiusti ibant in exercitu nihil utile praebentes, testimonium autem ostendentes mali quod regiis rebus acciderat, et significatae in omnibus dispositionis. sed haec quidem postea eventum habuerunt.

Rex autem transgressus Sagarem fluvium per pontem, qui Zompus dicitur, coepit relictas colligere vires. erant enim milites dispersi in collibus et vallibus et latebris quibusdam et specubus propter commemoratum antea barbarorum impetum. collectis igitur, quotquot

ἀποπεμψάμενος, τῆς εἰς τὰ πρόσω πορείας εὐθυμότερον εἴχετο, διαφόρως ἀποξενῶν ἑαυτὸν τοῦ στρατοῦ εἰς τὰς οἰκείας ἐπαύλεις καὶ κτημάτων ἐπιδείξεις οἰκείων καὶ πολυτελεστέρων οἰκοδομῶν διατάξεις. διαπεραιωθέντος οὖν τοῦ στρατοῦ τὸν Ἅλυν λεγόμενον ποταμὸν αὐτὸς οὐ συνδιεπεραιώθη τηνικαῦτα αὐτῷ, ἀλλ' εἰς νεοπαγὲς φρούριον, ἐκ προστάξεως αὐτοῦ συνοικοδομηθέν, ἐπιμείνας ἐκεῖθέν τινας ἡμέρας διέτριψεν. εἶτα διαπεραιωθεὶς καὶ αὐτός, κἀν τῇ τοῦ Χαρσιανοῦ ἐπαρχίᾳ, τὴν διαίρεσιν ἐκ τοῦ στρατοῦ εἰς κτήσεις οἰκείας συνδιεγράψατο· καὶ τὸ ἀπ' ἐκείνου ἀδιαίρετος ἦν, τῇ Καισαρέων μὴ προσμίξας τὸ σύνολον, ἕως εἰς τὴν λεγομένην Κρύαν πηγὴν ἐνηυλίσατο. ἐστὶ γὰρ ὁ τόπος οὐδενὸς τῶν χρηστῶν τὸ παράπαν ἀπολειπόμενος, τό τε [τὸ] ὕδωρ διειδὲς ἅμα καὶ πότιμον καὶ ψυχρότατον, δένδρα τε συνηρεφῆ μετὰ δαψιλοῦς τῆς πόης ἐκτρέφον καὶ ξυλίσασθαι εὔπορος, παντοίοις τε ῥόδοις κατάκομος καὶ κρινωνιαῖς, λόφοις τε ἠρέμα πρὸς ἑαυτοὺς ἀνάγουσιν εὔθετος, καὶ οἷον εἰπεῖν ἀστυκώμη καὶ ἀγρόπολις διὰ τῆς συμμιγοῦς ποριμότητος γνωριζόμενος. ἐκεῖσε δ' ὁ βασιλεὺς ἡμέρας τινὰς στρατοπεδευσάμενος, ὡς εἶδε τὴν χώραν ἀφειδῶς κατακειρομένην ἐκ τῶν στρατιωτῶν καὶ μᾶλλον ἐκ τοῦ μισθοφορικοῦ καὶ ἀλλογενοῦς, καὶ ἅπαν λήιον ἐξώρως ἀποτεμνόμενον καὶ τοῖς βοσκήμασι λαφυραγωγούμενον, δηχθεὶς τὴν ψυχὴν ἀπηνέστερον προσηνέχθη τισὶ τῶν

18. *ποριμότατα* C. rectum quid esset, vidit et interpres.

ex voluntate potuit, plurimis autem emissis profectionem longius fortius instituit, abalienans se vario modo ab exercitu in privatis castris et possessionum ostentatione suarum, et pretiosiorum constitutione aedificiorum. cum igitur exercitus transiret Halyn qui dicitur fluvium, ipse non transibat tum cum eo: sed in recens facto castello quod ex eius constitutione aedificatum erat remanens inde nonnullos dies degit. deinde transgressus et ipse etiam in Charsiani provincia divisionem ex castris ad suas possessiones descripsit, et ex illo tempore indivisus erat Caesareae omnino non accedens: donec in loco, qui fons gelidus dicitur, castra posuit. est enim locus nulla omnino rerum utilium destitutus: atque aquam lucidam simul et ut bibi possit et frigidissimam, et arbores densa fronde tectas proferens et facultatem ligni praebens, et variis rosis obsitus et liliis, et collibus, qui lente ad se efferunt, compositus, et, ut ita dicam, urbanus pagus et rustica urbs propter commixtam facultatem apparens. ibi autem rex dies nonnullos versatus cum videret terram crudeliter direptam per milites et magis per mercenarios et alienos et omnes segetes intempestive abscissas et peco-

Νεμίτζων λεγομένων, οὓς ὁ παλαιὸς λόγος Σαυρομάτας καὶ αὐτοὺς ἐγίνωσκεν, Ἀλλ' οἵγε θράσει καὶ θυμῷ ζέοντες καὶ ἀπονοίᾳ βαρβαρικῇ πρὸς ἐκδίκησιν τῶν ἰδίων ἰταμῶς διανέστησαν, καὶ τῶν ἵππων περὶ τὴν τῶν ἀριστῶν ἐπιβάντες ὥραν τῆς τοῦ βασιλέως σκηνῆς καὶ αὐτοῦ βασιλέως κατεξαναστῆναι συνέθεντο. γνωσθείσης δὲ τῆς αὐτῶν ἐπιθέσεως βοή τε περὶ τὸ στρατόπεδον γέγονε, καὶ ταχὺ διαβοηθέντος τοῦ πράγματος συνέστη μὲν ὁ βασιλεὺς καὶ διηυτρεπίσθη τὰ πρὸς τὸν πόλεμον, ἐπιβὰς δὲ τοῦ ἵππου καὶ τὴν στρατιὰν ὡς εἰς μάχην συναρμοσάμενος κατέπληξε τοὺς ἰδιοξένους, εἰς τὸ πεδίον εὐσυντάκτως γενόμενος· καὶ ὑποσπόνδους αὐτοὺς ποιησάμενος, τὴν ἐσχάτην τούτοις χώραν ἐκ τῆς σωματοφυλακίας καὶ τῆς πρώην ἐγγύτητος ἀπενείματο, ἐν τούτῳ καὶ μόνῳ τὸ πρόστιμον αὐτοῖς τοῦ τοιούτου ἐγκλήματος ἐγκαταθέμενος.

Ἐκεῖθεν δ' εἰς Σεβάστειαν καὶ τὰ πρόσω κεχωρηκὼς ἀπῄει τὴν τῶν Ἰβήρων καταλαβεῖν ἐπειγόμενος, ὅτε καὶ δύο ἀτραπῶν ἐκ Σεβαστείας διαιρουμένων καὶ εἰς τὸ θέμα Κολωνείας συναγουσῶν τὴν ἐν ἀριστερᾷ πορευθῆναι θελήσας ὁ βασιλεὺς πολλῶν πτωμάτων θέαν ἀνθρωπίνων προσέλαβεν. ἐν ἐκείνῳ γὰρ τῷ τόπῳ συνέστη τῷ παρελθόντι ἔτει ὁ πόλεμος τοῖς τε Ῥωμαίοις καὶ τοῖς Τούρκοις στρατηγοῦντος Μανουὴλ κουροπαλάτου τοῦ Κομνηνοῦ, καὶ τὸ Ῥωμαϊκὸν ἡττήθη f. 197 r.

4. an τοῦ ἀριστᾶν?

ribus abreptas, ictus in animo durius tractavit quosdam Nemitzorum qui dicuntur, quos quidem antiquus sermo Sauromates et ipsos noverat. sed hi audacia et animo ferventes et insania barbara ad ultionem sui audacter surrexerunt, et equos circa prandiorum ascendentes tempus tentorio regis regique ipsi se opponere statuerunt. cognito autem eorum impetu clamor circa castra factus est et celeriter divulgata re aderat rex et instituit quae ad bellum opus erant: ascendens autem equum et exercitum ut ad pugnam instruens admirationem movit suis hospitibus cum in campo esset bene compositus, et postquam pactione eos coniunxit, extremam his terram propter satellitum officium et nuper existentem coniunctionem attribuit, in hac etiam sola re poenam iustam iis talis accusationis imponens.

Inde ad Sebastiam et longius progressus abiit Iberorum terram occupare contendens: quando etiam duabus e Sebastia divisis viis et in Coloneam provinciam simul ferentibus cum sinistra proficisci vellet rex multorum casuum spectaculum mortalium accepit. In illo enim loco exstitit praeterito anno bellum Graecis et Turcis, duce Manuele

στρατόπεδον. ἐφάνη δὲ καὶ τοῦτο τοῖς στρατοπεδευομένοις οὐκ εὔθετον θέαμα.

Διελθὼν οὖν ἡμέραν ἐξ ἡμέρας τὴν προκειμένην ὁδόν, κατέλαβε τὴν Θεοδοσίου πόλιν, ἐπὶ μὲν τῷ πρὸ τοῦ χρόνῳ παραμεληθεῖσαν καὶ ἀοίκητον γενομένην διὰ τὸ ἐν τῇ πολιτείᾳ τοῦ Ἄρζη πλησίον οὔσῃ καὶ ἐν καλῷ τῆς θέσεως ὁρωμένῃ μεταθέσθαι τοὺς ἀνθρώπους τὴν οἴκησιν, καὶ μεγάλην ἐγκαταστῆσαι χωρόπολιν καὶ παντοίων ὠνίων, ὅσα Περσική τε καὶ Ἰνδικὴ καὶ ἡ λοιπὴ Ἀσία φέρει, πλῆθος οὐκ εὐαρίθμητον φέρουσαν, πρὸ ὀλίγων δὲ χρόνων ἀνοικοδομηθεῖσαν καὶ κατοχυρωθεῖσαν, τὴν Θεοδοσίου πόλιν λέγω, τάφρῳ καὶ τείχεσι διὰ τὴν τῶν Τούρκων ἐκ τοῦ ἀνελπίστου γειτνίασιν, δι' ὧν ἐξ ἐπιδρομῆς ἡ πολιτεία τοῦ Ἄρτζη παμπληθεὶ τὴν σφαγὴν προὐπέμεινε καὶ τὴν ἅλωσιν. ἐκεῖσε τοίνυν ἐπιμείνας ὁ βασιλεὺς οὐκ ὀλίγας ἡμέρας διεκηρυκεύσατο πᾶσι διμήνου τροφαῖς ἐφοδιασθῆναι, ὡς διὰ χώρας ἀοικήτου καὶ καταπεπατημένης τοῖς ἔθνεσι διαπορεύεσθαι μέλλουσι. πάντων δὲ τὸ προσαχθὲν δι' ἐπιμελείας ποιησαμένων, προαπέστειλε μὲν ὁ βασιλεὺς ἐκ τοῦ μισθοφορικοῦ Σκύθας εἰς τοῦ Χλίατ προνομήν τε καὶ διασκύλευσιν, τοῦτο καὶ πρότερον ποιησάμενος, ἐπαπέστειλε δὲ καὶ Γερμανοὺς τοὺς λεγομένους Φράγγους μετά τινος ἡγουμένου τούτων, ἀνδρὸς εὐσθενοῦς κατὰ χεῖρα· Ῥουσέλιος τούτῳ τὸ ὄνομα. ἐκεῖνος δὲ μετὰ τῆς λοιπῆς στρατιᾶς

curopalato Comneno. et Graecus quidem exercitus victus erat. apparuit autem etiam hic militibus non bene compositum spectaculum.

Progrediens igitur diem ex die proposita via occupavit Theodosii urbem, quae superioribus annis neglecta et deserta fuerat, cum in civitatem Arzae prope sitam et bono situ apparentem transposuissent domicilium et magnum constituissent oppidum et variarum mercium, quotquot Persis et India et reliqua Asia profert, multitudinem innumerabilem ferens; quae tamen ante paucos annos restituta et firmata erat, Theodosii urbem dico, fossa et muris propter Turcarum inexspectatam vicinitatem, quorum incursione civitas Artzae prorsus caedem exspectabat et occupationem. ibi igitur versatus rex non paucos dies edixit ut omnes alimentis duorum mensium spatio instruerentur ut per terram desertam et a paganis calcatam profecturi. postquam omnes imperatum diligenter perfecissent, emisit rex ex mercenariis Scythas ad Chliat praedandum et diripiendum, cum hoc etiam antea fecisset: misit praeterea etiam Germanos, Francos dictos, cum quodam hos ducente viro manu prompto (Rusellius huic erat nomen). ille autem cum reliquo exercitu secutus non

κατόπιν ἐλαύνων οὐ προέθετο συμμῖξαι τοῖς προαποσταλεῖσι καὶ τῷ Χλίατ προσβαλεῖν· ἀλλ' ἐπείπερ ἔφθη κατὰ τὸ παρελθὸν ἔτος χειρώσασθαι Ῥωμαϊκὴν πόλιν Μανζικίερτ λεγομένην ὁ τῶν Περσῶν ἀρχηγὸς (σουλτάνον οἶδε τοῦτον ἡ ἐκείνων καλεῖν φωνή), καὶ φύλακας ἐγκαταστῆσαι Τούρκους ἱκανοὺς μετὰ καὶ Διλιμιτῶν, διέγνω λοιπὸν ὁ βασιλεὺς πρότερον εἰς τὸ ἄστυ τοῦτο παραβαλεῖν καὶ ἀναρρύσασθαι καὶ τῇ Ῥωμαίων ἀποκαταστῆσαι, καὶ οὕτω τοῖς ἀλλοτρίοις προσεπιβαλεῖν, ἤτοι τῷ Χλίατ, μὴ ἐκ πολλοῦ συγκειμένῳ τῷ διαστήματι. καταφρονήσας οὖν τῶν καστροφυλακούντων ἐν τῷ Μαντζικίερτ πολεμίων ὡς οὐχ ἱκανῶν ὑποστῆναι τὴν τούτου ἔφοδον, καὶ ἑτέραν μοῖραν ἀποτεμόμενος πλείστην τοῦ στρατοῦ, ἑνὶ τῶν ἐπισήμων ἐγχειρίζει τὴν στρατηγίαν αὐτοῦ, Ἰωσὴφ μαγίστρῳ τῷ Τραχανιώτῃ, προσεπιδοὺς αὐτῷ καὶ στῖφος πεζῶν οὐκ εὐκαταφρόνητον. ἦν δὲ τὸ ἐγχειρισθὲν ἐκείνῳ στρατιωτικὸν τὸ ἔκκριτόν τε καὶ δυσμαχώτατον, κἀν ταῖς συμπλοκαῖς καὶ τοῖς ἄλλοις πολέμοις προκινδυνεῦον καὶ προμαχόμενον, καὶ εἰς πλῆθος πολὺ προέχον τῶν ὑποκρατηθέντων τῷ βασιλεῖ. καὶ γὰρ ἐν ταῖς προηγησαμέναις μάχαις οὐ τοσαύτη περιέστη τοῖς Ῥωμαίοις ἀνάγκη μετὰ τοῦ βασιλέως, ὥστε καὶ τὴν αὐτοῦ μοῖραν, τὸ λεγόμενον συνήθως ἀλλάγιον, διακινδυνεῦσαι καὶ πόλεμον ἀγωνίσασθαι· ἀλλὰ προαρπαζόντων τὴν νίκην τῶν λοιπῶν ἔμενον οἱ τῷ βασιλεῖ

1. προσέθετο C. 23. λοιπῶν ἀλλαγίων ἔμενον C.

commisit ut coniungeretur cum antea missis et Chliat aggrederetur: sed quoniam antevenerat eum praeterito anno subiiciendo Graecam urbem Manzikert dictam Persarum dux (sultanum novit hunc illorum vocare lingua) et custodes imponendo Turcas sufficientes cum Dilimitis quoque, statuit iam rex antea hoc oppidum ingredi et revocare, et Graecorum imperio restituere, et ita aliena aggredi, nimirum Chliat, quod non longo abesset spatio. contemnens igitur hostes in urbe Manzikert castellum servantes ut non sufficientes ad subeundum huius impetum, et alteram partem abscindens maximam exercitus, uni nobilium tradit imperium eius, Iosepho magistro Trachaniotae, addens ei etiam agmen peditum non spernendum. erat autem traditus illi exercitus et electus et impugabilis in conserendis manibus et ceteris bellis primum periculum et certamen suscipiens, et multitudine longe superans regi subiectos. etenim in praeteritis pugnis non tanta erat Graecis necessitas cum rege, ut etiam eius pars, vulgo dicti „mutantes," periculum subiret et bellum decertaret, sed praeoccupantibus victoriam ceteris „mutantibus" manebant ordines regi coniuncti extra

περιαρτώμενοι λόγοι πολεμικῶν ἀγωνισμάτων ἐκτός, καὶ τρόπον τινὰ τῆς ἐναγωνίου μάχης ἐπιλελησμένοι καὶ συμπλοκῆς.

Καὶ ὁ μὲν Τραχανιώτης τοὺς ἐπιλέκτους, ὡς f. 197 v. προδιείληπται, προσλαβόμενος, ἄρας ἐκεῖθεν τῆς ἐπὶ τὸ Χλίατ φερούσης ἥπτετο, παραβοηθήσων τοῖς προαποσταλεῖσι Σκύθαις καὶ Φράγγοις (ἀπήγγελτο γὰρ μετὰ πλήθους μυριάνδρου τοὺς ἐναντίους αὐτοῖς ἐπιφέρεσθαι), καὶ ἅμα συντηρήσων ἐκτὸς τοῦ ἄστεος τοὺς καρπούς, ἵνα μὴ διαρπαγέντες ὑπὸ τῶν ἔνδον χλιατηνῶν καὶ συγκομισθέντες σπάνιν παράσχωσι τῷ στρατῷ μεταθεμένου τοῦ βασιλέως ἐκεῖσε καὶ χρονίζοντος ἐπὶ πολιορκίᾳ τοῦ ἄστερος, καὶ διπλοῦς τούτοις ὁ πόλεμος περιρρεῖ, τὸ μὲν ἐκ τῶν ἐναντίων τὸ δὲ ἀπὸ τοῦ λιμοῦ. τοῦτο γὰρ ὁ βασιλεὺς διασκοπήσας τὸν στρατὸν διεχώρισεν, ἐλπίζων ταχέως τὸ Μαντζικίερτ, ὅπερ καὶ γέγονε, παραστήσασθαι, δι' ὀλίγου δὲ καταστῆσαι τὰ ἐπ' αὐτῷ, καὶ οὕτως τοῖς οἰκείος παλινοστῆσαι, εἰ δέ τις καὶ πόλεμος αὐτοῖς ἐξ ἀπροόπτου συνεπιστῇ, διὰ ταχυδρόμων μετακαλέσασθαι τοὺς οἰκείους, μεγάλῳ διαστήματι μὴ ἀπέχοντας. ἀπεκομίζετο γὰρ αὐτῷ παρὰ τῶν σκοπῶν πρὸς τὴν Περσίδα τὸν σουλτάνον ἐπείγεσθαι. καὶ κατὰ τοῦτον τὸν λόγον ἡ διαίρεσις αὐτῷ τοῦ στρατοῦ καὶ οὐκ ἄλογος γέγονε, καί γε ἦν οὐκ ἀπὸ λογισμοῦ στρατηγικοῦ ἐννόημα· εἰ μὴ πεπρωμένη τις, μᾶλλον δὲ θεῖος λόγος ἀπόρρητος, τὴν ἔκβασιν εἰς τὸ ἐναντίον ἐπέστησε, καὶ πρὸς τῷ τέλει

11. περιρρέῃ? 22. λόχος ἢ λόγος C. 23. περιέστησε?

bellica certamina, et quodammodo pugnae certaminis obliti et complexus.

Atque Trachaniotes quidem delectos, ut antea dictum est, accipiens, et inde profectus viam ad Chliat ferentem tenuit, auxilio venturus antea missis Scythis et Francis: (nuntiatum enim erat cum multitudine innumerabili hostes iis obviam ire) et simul conservaturus extra urbem fruges, nec direptae ab intus versantibus Chliatenis et congestae inopiam excitarent exercitui. transgresso rege illuc et versato ad oppugnandam urbem vel duplex his bellum adfluxit, et ex hostibus et ex fame. hoc enim rex studens exercitum divisit, cum speraret fore ut celeriter Mantzikiertum subiiceret, id quod revera est factum, brevi autem componeret eius res et hoc modo domum rediret, sin vero etiam bellum ipsis ex improviso instaret, ut per celeres nuntios advocare posset suos qui haud magno abessent spatio. nuntiabatur enim ei a custodibus, ad Persidem sultanum contendere: atque ex hac ratione divisio exercitus ab eo, nec sine causa facta erat, neque erat profecto abhorrens ab arte imperatoria consilium nisi sors quaedam sive potius divinae insidiae vel ratio secreta eventum econtra

τῶν ἔργων καὶ τῇ ἐκεῖθεν ἀπαναχωρήσει καὶ αὐθημερώσει προσμίξει τοῦ διαιρεθέντος στρατοῦ προκατέλαβεν ὁ σουλτάνος ἀκηρυκτί, καὶ τὰ δοκηθέντα τελεσθῆναι διεκωλύθησαν. οἱ δὲ πολλοί, ἀγνοοῦντες τὸ τῆς διαιρέσεως αἴτιον, μῶμον ἐκείνῳ προσάπτουσιν ὡς οὐκ εἰς δέον ποιησαμένῳ τὸν τοῦ στρατοῦ διαμερισμόν, τῆς δὲ ὑπὲρ ἡμᾶς αἰτίας οὐδεμίαν ἔννοιαν κατὰ φρένα καὶ κατὰ θυμὸν ἐντιθέασι.

Παραβαλὼν δ' ὁ βασιλεὺς εἰς τὸ Μανζικίερτ τὴν μὲν παρεμβολὴν μετὰ τῆς ὅλης παρασκευῆς ἀγχοῦ που θεῖναι καὶ χάρακα θεῖναι κατὰ τὸ εἰθισμένον παρεκελεύσατο, αὐτὸς δὲ τὸ ἔκκριτον ἀναλαβὼν τοῦ στρατοῦ περιῆλθε τὸ ἄστυ, κατασκοπῶν ὅπῃ περ εὐχερὲς τὰς προσβολὰς κατὰ τοῦ τείχους ποιήσασθαι καὶ τὰς ἑλεπόλεις προσαγαγεῖν. εἶχε γὰρ ταύτας ἐκ παρασκευῆς ξύλοις παντοίοις καὶ μεγίστοις κατωργανωμένας, καὶ φερομένας δι' ἁμαξῶν τῶν χιλίων μὴ ἀποδεουσῶν. ἤλαυνε δὲ καὶ τῶν ἄλλων βοσκημάτων εἰς δαπάνην τοῦ στρατοῦ μυριομέτρους ἀγέλας. τῶν δὲ πολεμίων ἔνδον ἀλαλαζόντων τὸ ἐνυάλιον καὶ τὰ ξίφη παραγυμνούντων καὶ ὅπλοις ἑκηβόλοις χρωμένων, μετὰ τῆς ἀσπίδος ὁ βασιλεὺς περιιππεύσας τὸ τεῖχος ἐπανῆλθεν εἰς τὴν παρεμβολήν. οἱ δὲ πεζοὶ τῶν Ἀρμενίων προσβαλόντες τῷ ἐκτὸς τῆς ἀκροπόλεως τείχει, καὶ πολλὰς προσβολὰς ποιησάμενοι, αὐτοβοεὶ αἱροῦσιν αὐτό, τοῦ

1. αὐθημερὸν ὡσεὶ πρ.? 9. που τεθεῖναι C. an που τεθῆναι καὶ χαρακωθῆναι?

constituisset, et finem operum et reditum et improvisam mixtionem divisi exercitus accelerasset sultanus nullo misso praecone, et quae perficere statuta essent impedirentur. multitudo autem ignorans divisionis causam vituperationem ei imponit, quippe qui non necessitate commotus instituisset exercitus distributionem, causae autem nostrae nullam habent rationem in corde et animo.

Aggrediens autem rex Manzikertum, castra cum toto apparatu prope poni et vallum duci ex more iussit: ipse autem cum delectis militibus urbem circumivit, explorans, ubi facile machinae ad murum poni et arietes adduci possent. habebat enim hos consulto e vario eoque maximo ligno constructos et vectos curribus haud minus mille: aliorum quoque iumentorum immensos greges ad exercitus usum secum agebat: hostibus autem intus bellicum tollentibus clamorem et gladios stringentibus et armis missilibus utentibus rex postquam scutum ferens circum moenia equitasset, in castra rediit: Armeniorum autem pedites murum extra arcem situm iterum iterumque aggressi toto cum impetu expugnaverunt, cum sol iam ad occasum vergeret. elato igitur hac re rege experti sunt ex hostibus legati misericordiam,

ἡλίου πρὸς δυσμὰς ἀποτρέχοντος. ἡσθέντος δὲ τοῦ βασιλέως τῷ γεγονότι, κατέλαβον ἀπὸ τῶν ἐναντίων καὶ πρέσβεις, συμπαθείας τυχεῖν ἐξαιτούμενοι καὶ τῶν ἰδίων πραγμάτων συγχώρησιν, καὶ τοιαύταις ὁμολογίαις παραδοῦναι τὴν πόλιν τῷ βασιλεῖ. συνθέμενος δὲ πρὸς τοῦτο, καὶ τοὺς πρέσβεις δώροις τιμήσας, ἀπέστειλε τὸν παραληψόμενον αὐτίκα τὸ κάστρον. f. 198 r. οἱ δ' ἔνδον φρουρὰν ἐν τοιούτῳ καιρῷ εἰσδέξασθαι μὴ καταδεξάμενοι, ἵνα μὴ κακόν τι διὰ τῆς νυκτὸς τοῖς ἐναντίοις ἐπιτεχθῇ, ἔδοξαν ἠλογηκέναι καὶ καταψεύσασθαι τῶν σπονδῶν. διὰ τοῦτο καὶ ταχὺ σαλπίσας ὁ βασιλεὺς τὸ πολεμικόν, ἐξῆλθε πανστρατιᾷ τῆς παρεμβολῆς, καὶ τοῖς τείχεσι προσεπέλασε. καταπλαγέντες δὲ οἱ Τοῦρκοι καὶ πρὸς ἀπολογίας τραπόμενοι, καὶ πλείονα πίστιν τῆς ἑαυτῶν ἀπολυτρώσεως αἰτησάμενοι καὶ λαβόντες, ἐξίασι μὲν ἐκ τῆς πόλεως μετὰ τῆς οἰκείας ἀποσκευῆς, καὶ τῷ βασιλεῖ γονυκλινοῦσιν, οὐ κεναῖς δὲ χερσὶν ἀλλὰ πάντες ξιφήρεις, καὶ τῷ βασιλεῖ γυμνῷ πανοπλίας οἱ πλείονες προσεγγίζοντες· ὅτε δὴ αὐτὸς συμπαρὼν οὐκ ἐπῄνεσα τὴν τοῦ βασιλέως ἁπλότητα μέσον θανατώντων ἀνδρῶν καὶ τόλμῃ καὶ ἀπονοίᾳ συζώντων ἑαυτὸν ἀθωράκιστον καταμίξαντος.

Ἕτερον δέ τι συνηνέχθη, ζῆλον μὲν τοῦ βασιλέως δικαιοσύνης φαντάζον, ἄμετρον δὲ τὴν τιμωρίαν καὶ οὐκ εὐσεβῆ συντιθέμενον. ἐγκληθείς γάρ τις τῶν στρατιωτῶν ὡς

17. ὅ,τι C. 19. θανατούντων C. 20. καταμίξαντα C.

precantes et suarum rerum veniam atque ut talibus pactionibus traderent urbem regi: pactus autem hoc et legatos donis honorans illico quendam misit cui castellum traderent: qui autem in oppido erant praesidium in tali tempore accipere non sustinentes, ne, quid mali ipsi per noctem ab hostibus experirentur, ratione carere sponsionemque fefellisse visi sunt. quamobrem statim bellicum canens rex omnibus cum copiis castris egressus moenibus appropinquavit. attoniti autem Turcae et ad excusationem versi melioremque ipsorum redemptionis fidem poscentes et accipientes urbe egrediuntur cum apparatu suo regemque genu flexo venerantur, non quidem vacuis manibus sed omnes gladios gestantes regique nudo omni armatura plures numero appropinquantes. equidem vero, qui tum adessem regis simplicitatem minime probavi, cum hominibus letiferis et audacia atque intemperantia ferventibus armorum expers se immisceret.

Sed aliud quid accidit, iustitiae quidem studium regis celebrans, immodicam vero poenam neque piam exhibens. accusatus enim miles quod asellum Turcicum furatus esset ad regem adducebatur vinctus,

ὀνίσκον Τουρκικὸν ὑφελόμενος, παρήχθη μὲν κατ' ὄψιν τῷ βασιλεῖ δεδεμένος, τιμωρία δ' ἐψηφίσθη τοῦ ἁμαρτήματος ὑπερφέρουσα· οὐ γὰρ ἐν χρήμασιν ἡ ζημία διώριστο ἀλλ' ἐν ῥινὸς ἐκτομῇ. πολλὰ δὲ παρακαλέσαντος τοῦ ἀνθρώπου, καὶ πάντα τὰ ἑαυτοῦ προεμένου, καὶ προβαλλομένου μεσίτην τὴν πάνσεπτον εἰκόνα τῆς πανυμνήτου δεσποίνης θεοτόκου τῆς Βλαχερνιτίσσης, ἥτις εἰώθει τοῖς πιστοῖς βασιλεῦσιν ἐν ἐκστρατείαις ὡς ἀπροσμάχητον ὅπλον συνεκστρατεύεσθαι, οὐκ εἰσήει οἶκτος τῷ βασιλεῖ, ἀλλ' οὐδ' αἰδὼς τῆς ἐκ τοῦ θείου εἰκονίσματος ἀσυλίας· ὁρῶντος δ' αὐτοῦ καὶ πάντων, καὶ αὐτῆς τῆς εἰκόνος βασταζομένης, ἀπετμήθη τὴν ῥῖνα ὁ δείλαιος, κράξας μέγα καὶ στενάξας τὸ βύθιον. τότε δὴ τότε μεγάλην ἡμῖν ἔσεσθαι τὴν ἐκ τοῦ θείου νέμεσιν προωττευσάμην αὐτός.

Ἀντεισαγαγὼν δὲ εἰς τὸ ἄστυ πλῆθος Ῥωμαϊκὸν καὶ στρατηγὸν ἐπιστήσας, ἐπανῆλθεν εἰς τὴν παρεμβολήν, παιάνοις καὶ εὐφημίαις καὶ νικητικοῖς ἐπιφωνήμασι σεμνυνόμενος. τῇ δ' ἐπαύριον μέλλοντος αὐτοῦ συνθήμασιν ἐγγράφοις καὶ δαπάνῃ τῶν ἔνδον κατοχυρῶσαι τὸ φρούριον καὶ αὐτίκα πρὸς τὸ Χλίατ ἀναδραμεῖν, φήμη τις ἐπεφοίτησε πολεμίους ποθὲν ἐπιτεθῆναι τοῖς εἰς τὴν λείαν ἐξιοῦσι στρατιωτῶν ὑπηρέταις προσαπαγγέλλουσα, καὶ διαταράττειν καὶ κατατρύχειν αὐτούς. φθανούσης δὲ τὴν ἑτέραν ἑτέρας, ᾠήθη ὁ βασιλεὺς

5. an μεσῖτιν? 13. προωπτευσάμην?

poena autem statuta est peccato maior: neque enim mulcta puniebatur, sed naribus abscindendis: cum vero multum precatus esset homo et omnia sua proiiceret et protenderet imaginem reverendissimam dominae Blachernensis dei matris hymnisque celebratae, quae quidem solebat cum fidelibus regibus in expeditionibus quasi invictum telum proficisci, tamen non incessit misericordia regem, sed ne reverentia quidem sanctitatis divinae imaginis: in conspectu autem eius et omnium atque adeo ipsius imaginis tactae miser naribus privatus est, magnum tollens clamorem et ex alto pectore suspirans. tum vero equidem magnam nobis ultionem a deo eventuram esse divinatus sum.

Quum vero Graecorum multitudinem in urbem induxisset et ducem iis praefecisset, in castra rediit, paeanibus et cantibus ac carminibus triumphalibus celebratus: postero autem die cum pactionibus scriptis ac largitione incolarum castellum sibi conciliare et statim Chliatum reverti vellet, fama percrebuit, hostes alicubi instare servis inter milites praedandi causa egressis eosque dispergere ac perdere. nuntio autem nuntio instante rex ducem sultani quendam cum exercitus parte

ἡγεμόνα τοῦ σουλτάνου τινὰ μετά τινος μερικῆς δυνάμεως ἐπιστῆναι καὶ διακλονεῖν τοὺς σποράδας τῆς Ῥωμαϊκῆς ὑπηρεσίας, καὶ ἀπέστειλεν ἐπὶ τῷ τούτους ἀποκρούσασθαι Νικηφόρον μάγιστρον τὸν Βρυέννιον μετὰ τῆς ἀρκούσης δυνάμεως· ὃς καὶ κατὰ μέτωπον στὰς ἀκροβολισμούς τινας καὶ ἱππομαχίας οὐκ ἀκριβεῖς (κατ' ὀλίγους γὰρ ἀλλήλοις συνέπιπτον) ἐποιεῖτο. ἐν δὲ τῇ ἀστάτῳ ταύτῃ περιφορᾷ, τῶν Τούρκων ἐκηβόλων ὄντων, πολλοὶ τῶν Ῥωμαίων ἐτραυματίσθησαν, f. 198 v. *ἔπεσον δὲ καὶ ἕτεροι (ῥωμαλεώτεροι γὰρ τῶν ἄλλων, ὧν πεῖραν ἐλάβομεν, Τούρκων καὶ θρασύτερον προσρηγνύμενοι καὶ ἀγχεμάχοις τοῖς ἐπερχομένοις ἀντικαθίστανται), ἕως ὁ δηλωθεὶς στρατηγὸς φόβῳ κατασεισθεὶς δύναμιν ἑτέραν παρὰ τοῦ βασιλέως ἐζήτησεν. ὁ δὲ καταγνοὺς αὐτοῦ δειλίαν (ἠγνόει γὰρ τὸ ἀληθὲς) προσέθετο μὲν οὐδέν, ἐκκλησίαν δὲ συστησάμενος ἐδημηγόρησε τὰ περὶ τοῦ πολέμου παρὰ τὸ εἰωθός, ἥψατο δὲ καὶ τραχυτέρων ῥημάτων. ἐν δὲ τῷ μέσῳ τὴν ἐπιφώνησιν ὁ ἱερεὺς τοῦ εὐαγγελίου ἐσήμανε. περὶ οὗ ἔθεντό τινες ἐν ταῖς καρδίαις ὡς ἔσται τὰ ἐπ' αὐτῷ λαληθησόμενα τῶν ἐπικαιμένων πραγμάτων ἐπίβασις. εἰ δὲ τούτων καὶ αὐτὸς μέρος ἐγεγόνειν, οὐκ ἀναγκαῖον εἰπεῖν. εἶχε δὲ τὸ εὐαγγέλιον, ἵνα τἆλλα παρῶ, τὸ "εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν. εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν, ὅτι οὐκ οἴδασι*

19. an *ἀπόβασις*?

impetum facere putavit et Graecorum servos vagantes lacessi: ad quos repellendos Nicephorum Bryennium magistrum cum sufficientibus copiis misit, qui quidem ex adverso constitutus proelia eminus facta et equestres pugnas neque tamen certi discriminis (pauci enim inter se pugnabant) iniit. in hac autem incomposita fluctuatione Turcis armorum missilium peritissimis multi Graecorum vulnerati sunt: perierunt autem etiam alii: validiores enim ceteris, quibuscum in manus veniebamus, Turcis et fortius aggressi vel cominus obvenientibus se opponunt, donec dux ille commemoratus, timore perculsus, alias copias a rege peteret: qui timiditatis eum accusans (ignorabat enim verum) addidit quidem nihil, sed concione convocata de rebus bellicis praeter morem disseruit: vehementioribus quoque usus est verbis. interea vero sacerdos evangelii voces exposuit, quamobrem quidam in animis suspicati sunt, illum in eo dicturum esse, quod ad praesentem rerum statum pertineret: quorum in numero num ipse fuerim, dicere non est necesse: continebat vero evangelium, ut cetera omittam, haec verba: „si me persecuti sunt, vos quoque persequentur: si mea verba

τὸν πέμψαντά με. ἀλλ' ἔρχεται ὥρα ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν προσφέρειν τῷ θεῷ." εὐθὺς οὖν ἀγωνιᾶν οἱ τοῦτο προσημηνάμενοι κατηρξάμεθα, καὶ ἀψευδὲς εἶναι τὸ λαληθὲν ἐπὶ τῆς σημειώσεως διεγνώκειμεν. ζέοντος δὲ τοῦ πολέμου ἐπαπέστειλεν ὁ βασιλεὺς καὶ τὸν μάγιστρον Βασιλάκην καὶ κατεπάνω Θεοδοσιουπόλεως μετά τινῶν ἐγχωρίων στρατιωτῶν, ὡς τῶν λοιπῶν ὄντων μετὰ τοῦ Τραχανειώτου εἰς τὸ Χλίατ. προστεθεὶς οὖν τῷ Βρυεννίῳ μέχρι τινὸς τοὺς ἀκροβολισμοὺς καὶ αὐτὸς ὑπεδέχετο. συνθεμένων δὲ τῶν στρατιωτῶν κατόπιν αὐτοῦ ἀκολουθεῖν, πρωταγωνιστεῖν αὐτὸς καθυπέσχετο, καὶ εὐθὺς ἐξορμήσας νῶτα δεδωκότων τῶν ἐναντίων ἐδίωκε. συνακολουθήσας δ' αὐτῷ μετὰ τοῦ πλήθους ὁ Βρυέννιος, εἶτα τοὺς ῥυτῆρας ἐκ συνθήματος ἐν ἀγνοίᾳ τοῦ Βασιλακίου ἀνέχειν τοὺς ἀμφ' αὐτὸν προτρεψάμενος, ἀφῆκεν αὐτὸν μετὰ τῶν πειθομένων τούτῳ καὶ μόνων ἀκρατῶς διώκειν ἐπὶ πολύ. ἐπεὶ δὲ τῷ χάρακι τῶν ἐναντίων προσέμιξε, διαπαρέντος τοῦ ἵππου προσέσχε τῇ γῇ, βάρος τῶν ὅπλων ἐπιφερόμενος· διὸ καὶ περιχυθέντες αὐτὸν οἱ πολέμιοι ζωγρίᾳ λαμβάνουσι.

Καταλαβούσης δὲ ταύτης τῆς ἀγγελίας τὸν βασιλέα καὶ τὸν στρατόν, δειλία καὶ κινδύνων ἐλπὶς τοῖς Ῥωμαίοις ἐπέσκηψεν, ἐπεὶ καὶ οἱ τραυματίαι φοράδην ἀγόμενοι καὶ ταῖς

contempserunt, vestra quoque contemnent: haec vero omnia vobis facient, quod quis me miserit ignorant. sed adest tempus, ubi omnes qui vos occident, deo servire videbuntur." statim vero trepidare coepimus, qui hac ex re significationem ceperamus: vera enim esse quae dicebat, in significatione cognoveramus. ardente autem bello rex et Basilacen magistrum et Theodosiopolis praefectum cum innatis quibusdam milititus Chliatum misit, reliquis cum Trachaniote profectis. additus igitur Bryennio aliquamdiu proelia eminus facta et ipse excepit. militibus autem eum a tergo sequi adnuentibus ipsum se prae omnibus pugnaturum esse pollicitus est, statimque profectus, cum hostes terga dedissent, eos persequebatur, simulque cum eo Bryennius cum multitudine: tum vero frena, ut convenerat, ignorante Basilacio tollere suos iussit et dimisit eum cum iis, qui huic soli parerent. ut vehementer longe persequerentur. cum autem vallo hostium appropinquasset, equo transfosso in terram incidit armorum gravitate suppressus. itaque hostes circumfusi vivum eum capiunt.

Quo nuntio ad regem allato et ad exercitum, Graeci timiditate et periculorum metu oppressi sunt, cum etiam vulnerati apportarentur propter vulnerum dolorem suspirantes. coactus igitur rex egres-

ἐκ τῶν πληγῶν ὀδύναις ἐπιστενάζοντες ἦσαν. ἀναγκασθεὶς δ' ὁ βασιλεὺς ἐξῆλθε μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὴν τῶν πραττομένων θέαν, καὶ ὥστε εἴ τις αὐτῷ ἐπίοι πόλεμος, ἀγωνίσασθαι. μέχρι δ' ἑσπέρας ἐπί τινων λόφων ἑστὼς ὑψηλῶν, ἐπείπερ οὐκ εἶδέ τινα τὸν ἀντικαταστησόμενον (οἱ γὰρ Τοῦρκοι πονηρίᾳ καὶ ἐπινοίᾳ βαθυτάτῃ συζῶντες διὰ μηχανῶν τὸ πᾶν κατορθοῦσι καὶ συστολῶν ἀπηγκωνισμένων), ὑπέστρεψεν εἰς τὴν παρεμβολήν, ἄρτι τοῦ ἡλίου τὸ ὑπὲρ γῆν ἡμισφαίριον ἀπολείποντος. οἱ δὲ Τοῦρκοι ὥσπερ ἀπὸ μηχανῆς κατόπιν περιχυθέντες τοῖς ἐκτὸς τῆς παρεμβολῆς Σκύθαις καὶ τοῖς πωλοῦσι τὰ ὤνια ῥαγδαίως προσέβαλον, ὑλακαῖς ἀσήμοις καὶ τόξου βολαῖς καὶ περιιππεύσεσι φόνον οὐ μικρὸν καὶ κίνδυνον αὐτοῖς ἐπιφέροντες· ὅθεν καὶ ἠναγκάσθησαν οἱ τὴν ἔφοδον ὑφιστάμενοι ἐντὸς γενέσθαι τοῦ χάρα-
f. 199 r. κος. ἀθρόοι τοίνυν ἄλλος κατ' ἄλλον ὡς ἀπὸ διωγμοῦ τὴν εἴσοδον βιαζόμενοι, μεγάλης ταραχῆς τοὺς ἔνδον ἐπλήρωσαν, οἰομένους καὶ τοὺς ἐναντίους συνεισπεσεῖν, καὶ πᾶσαν ὁμοῦ τὴν παρεμβολὴν μετὰ τῆς ὅλης ἀποσκευῆς γενέσθαι ἁλώσιμον. νὺξ γὰρ ἀσέληνος ἦν, καὶ διάκρισις οὐκ ἦν τῶν φευγόντων ἢ τῶν διωκόντων, καὶ τίνες τῆς ἐναντίας μοίρας εἰσί· τὸ γὰρ τῶν Σκυθῶν μισθοφορικόν, ἐμφερὲς κατὰ πάντα τοῖς Τούρκοις ὄν, ἀμφίβολον ἐποίει τὸ νῦν ἐπικείμενον. τότε δὴ τότε καὶ φόβος ἐξαίσιος καὶ λόγος ἀπαίσιος καὶ βοὴ συμμι-

sus est cum reliqua multitudine ad eorum quae fierent adspectum et tanquam bellum gerendum sibi instaret: cum vero ad vesperum usque collibus quibusdam insedisset altis, neminemque qui ipsum aggressurus esset conspexisset (Turcae enim improbitate et dolo quam maxime imbuti insidiis omnia agunt audacibusque artibus) in castra rediit, sole iam nostrum terrae dimidium relinquente. Turcae autem tanquam per insidias a tergo circumfusi eos, qui extra castra erant, Scythas et qui merces vendebant, magno cum impetu aggressi sunt, incertis ululatibus et arcus iactibus et equis circumvecti caedem non parvam et periculum iis afferentes: quamobrem etiam coacti sunt, qui portis adstarent, intra aggerem redire. itaque alii alios sequentes cum sic ut in persecutione in portam irruerent, eos qui intus erant magna trepidatione implerunt, quippe qui hostes quoque simul ingredi putarent totaque castra una cum omni apparatu expugnari. nox enim luna carebat, neque ullum erat discrimen fugientium vel persequentium neque qui ab aliena starent parte. Scythae enim mercenarii et omnino Turcis simillimi ancipitem tum rerum statum reddiderunt. tum vero ingens timor et rumor infaustus et clamor turbulentus et tu-

γῆς καὶ ἄσημος κρότος καὶ πάντα μετὰ θορύβων καὶ κινδύνων ἐδείκνυτο· καὶ πᾶς τις θανεῖν ἐπεθύμει μᾶλλον ἢ τοιοῦτον ἰδεῖν καιρόν. καὶ τὸ μὴ κατιδεῖν ὡς εὐτυχὲς ἐνομίζετο, καὶ τοὺς μὴ τοιοῦτον ἰδόντας ὡς εὐτυχεῖς ἐμακάριζεν.

Ἀλλ' ἐν τούτῳ πάθους τῶν Ῥωμαίων ὄντων, οὐκ ἠδυνήθησαν οἱ πολέμιοι ἐντὸς τοῦ χάρακος εἰσπεσεῖν, εὐλαβούμενοι καὶ οὗτοι τὸ ἀπρόσφορον τοῦ καιροῦ καὶ τὰς κοινὰς ἐννοίας εἰς ἑαυτοὺς ἐμπλέκοντες. οὐ μὴν γεγόνασιν ὀπισθόρμητοι, ἀλλὰ δι' ὅλης νυκτὸς περιηχοῦντες ἦσαν ἐκτὸς δρόμοις καὶ περιδρόμοις τὴν Ῥωμαίων παρεμβολήν, τόξοις καὶ σκυλμοῖς βάλλοντες καὶ πανταχόθεν περιβομβοῦντες καὶ περιφοβοῦντες αὐτούς, ὡς ἅπαν διανυκτερεῦσαι ἠνεῳγμένοις καὶ ἀγρύπνοις τοῖς ὄμμασι· τίς γὰρ ἂν καὶ εἶχεν εἰς ὕπνον τραπῆναι, τοῦ κινδύνου τὴν ῥομφαίαν ἐσπασμένην μονονουχὶ προδεικνύοντος.

Οὐ μὴν ἀλλ' οὐδ' εἰς τὴν ἐπιοῦσαν ἡμέραν τῆς ἱππασίας καὶ τῆς εἰς μάχην προκλήσεως ἔληξαν οἱ πολέμιοι, ἀλλὰ καὶ τὸν ἔξωθεν παραρρέοντα ποταμὸν ὑφ' ἑαυτοὺς ποιησάμενοι δίψει παραστήσασθαι τοὺς Ῥωμαίους ἐφιλονείκουν. ἐν ταύτῃ δὲ τῇ ἡμέρᾳ μοῖρά τις Σκυθική, ἔξαρχον ἔχουσα Ταμίν τινα κατονομαζόμενον, τοῖς ἐναντίοις προσερρύη· ὅπερ οὐκ εἰς μικρὰν ἀγωνίαν τοὺς Ῥωμαίους ἐνέβαλεν, ὑποπτεύον-

4. ἐμακάριζον?

multus incertus, et ab omni parte pericula et turba apparebant, omnesque mori malebant quam talem videre tempestatem: atque haec non videre ut fortuna habebatur, iisque qui tale non videbant, tanquam beatis gratulabantur.

Sed in hac difficultate versantibus Graecis non potuerunt hostes aggerem invadere caventes et ipsi temporis importunitatem et communes difficultates secum volventes: neque vero ab impetu destiterunt, sed per totam noctem extra magno cum clamore equitabant et circumvehebantur, Graecorum castra arcus iactibus et machinis iacientes et undique circumsonantes et terrentes eos, ita ut omnes apertis et insomniis oculis noctem degerent. quis enim somno adverti posset, periculo gladium tantum non strictum minitante.

Verumenimvero ne sequenti quidem die hostes a circumequitando et ad praelium lacessendo destiterunt, sed postquam etiam flumen extra praeterfluens occuparunt, siti Graecos subiicere studebant. hoc vero die agmen quoddam Scytharum, duce quodam Tami vocato, ad hostes defecit, quod magno Graecos percellebat timore, quum reliquos etiam Scythas iam ab hoc tempore tanquam hostes cum illis conven-

τας καὶ τοὺς λοιποὺς τοῦ ἔθνους, ὅτι τὸ ἀπὸ τοῦδε πολεμίοις ἐοικότες συνδιατρίβουσι τούτοις καὶ συνδιαγωνίζεσθαι μέλλουσιν. ἐξιόντες δέ τινες τῶν πεζῶν μετὰ τόξων πολλοὺς τῶν Τούρκων ἀνεῖλον καὶ τῆς παρεμβολῆς ἐκστῆναι συνέπεισαν. ὁ δὲ βασιλεὺς ἤθελε μὲν ἀγχεμάχῳ πολέμῳ καὶ ἀντιθέτῳ παρεμβολῇ κρῖναι τὸ τέλος παραντίκα τῆς μάχης, τοὺς δ' ἀπόντας εἰς τὸ Χλίατ περιμένων στρατιώτας, πλῆθος ὄντας οὐκ εὐαρίθμητον καὶ συνήθως ἀεὶ προπολεμοῦντας καὶ ἠσκημένους μᾶλλον τὴν πυρρίχειον ὄρχησιν, τὸν ἀγῶνα τοῦτον ὑπερετίθετο. ὡς δ' ἀπεγνώκει τὴν ἐκ τούτων βοήθειαν, καί τι διακωλῦσαι τούτους πρὸς τὴν ἄφιξιν ἰσχυρὸν ὑπελάμβανεν, ἐσκέψατο λοιπὸν εἰς τὴν ὑστεραίαν μετὰ τῶν συνόντων αὐτῷ προθύμως κατὰ τῶν ἐναντίων ἐπαγωνίσασθαι. εἶχε δ' ὅμως τοῦτον καὶ αὖθις ἐλπίς, ὡς οὐδὲ κἂν εἰς τὴν αὔριον ὑστερήσωσιν· ἠγνόει γὰρ ὡς ὁ στρατηγὸς τούτων μαθὼν τὴν τοῦ σουλτάνου κατ' αὐτοῦ τοῦ βασιλέως ἐπέλευσιν, ἄρας τοὺς ἀμφ' αὐτὸν ἅπαντας, διὰ τῆς Μεσοποταμίας φυγὰς ἀγεννῶς εἰς τὴν Ῥωμαίων ἐνέβαλε, μηδένα λόγον τοῦ δεσπότου μήτε μὴν τοῦ εἰκότος ὁ δείλαιος θέμενος.

f. 199 v. Ὁ γοῦν βασιλεὺς κατὰ τὸ συγκείμενον τὴν εἰς τὸν πόλεμον παρασκευὴν αὔριον ἐξαρτύσας τὰ κατ' αὐτὸν διετίθετο, ἔτι τῆς βασιλέως σκηνῆς ἐντὸς καθιστάμενος, ὁπότε τὴν εἰς τοὺς Σκύθας ὑποψίαν περιαιρῆσαι βουλόμενος αὐτὸς ἐγὼ ὅρκῳ

12. τῶν om C.

turos unaque cum iis pugnaturos suspicarentur. peditum vero quidam castris egressi arcubus multos Turcarum interemerunt et a castris recedere coegerunt. rex autem cominus et instructa acie discrimen iam adducere voluit pugnae. quum autem milites, qui Chliati abessent, exspectaret, immensam multitudinem et qui inter primos pugnare consuevissent, ad bellicam saltationem magis exercitati, pugnam in posterum distulit: desperans autem eos subventuros esse et grave aliquid quominus auxilium ferrent eos impedire suspicans, iam suis cum copiis postero die hostes strenue aggredi statuit. nihilominus iterum etiam speravit, eos, licet postero die venirent, haud defuturos esse: ignorabat enim, ducem eorum, quum sultanum in ipsum regem profectum esse comperisset, omnibus qui ipsum sequerentur, convocatis, per Mesopotamiam in Graecorum terram turpiter aufugisse, nulla domini ac ne decori quidem habita ratione, miserrimum illum.

Atque rex quidem secundum rerum statum apparatu bellico in posterum diem instructo res suas ordinavit, adhuc in regio tentorio considens, quando ego, cum vellem suspicionem in Scythas illam tol-

κατασφαλίσασθαι τούτους τῷ βασιλεῖ συνεβούλευσα. καὶ δῆτα τὴν βουλὴν ἐπαποδεξάμενος τελεστὴν τὴν τοῦ ἔργου καὶ διοριστὴν αὐτίκα με προεβάλετο. οὐκοῦν καὶ κατὰ τὸ πάτριον αὐτοὺς καθορκώσας, ἦ μὴν ἀνεπιβούλευτον τηρῆσαι τὴν εἰς τὸν βασιλέα πίστιν καὶ τοὺς Ῥωμαίους, οὕτως αὐτοὺς ἀκριβεῖς τῶν σπονδῶν διατέθεικα φύλακας, καί γε τῶν κατὰ σκοπὸν οὐ διήμαρτον· οὐδεὶς γὰρ ἐκ τούτων οὐδ' ἐν αὐτῷ τῷ πολέμῳ τοῖς πολεμίοις προσετέθη.

Ἐν ὅσῳ δὲ τα τοιαῦτα ἐπράττετο, καὶ οἱ στρατιῶται κατὰ τάξεις καὶ λόχους ἐπὶ τῶν ἵππων ἐφίσταντο, πρέσβεις ἧκον ἐκ τοῦ σουλτάνου τὴν εἰρήνην ἀμφοτέροις ἐπικηρυκευόμενοι. ὁ δὲ βασιλεὺς ἐδέξατο μὲν αὐτούς, καὶ λόγων αὐτοῖς κατὰ νόμον τῶν πρέσβεων μεταδέδωκεν, οὐ πάνυ δὲ τούτους φιλανθρώπως ἐδέξατο. ὅμως δ' οὖν συνεπινεύσας καὶ τὰ προσκυνούμενον σημεῖον αὐτοῖς ἐπιδέδωκεν, ἵνα τῇ ἐπιδείξει τούτου ἀβλαβεῖς πρὸς αὐτὸν ἐπανέλθοιεν, κομίζοντες ἀγγελίας ἃς ἂν ἐκ τοῦ σουλτάνου διενωτίσοιντο. δεδήλωκε γάρ, τῷ ἀνελπίστῳ τοῦ μηνύματος ἐπαρθείς, ἵν' ὁ σουλτάνος καταλιπὼν τὸν τόπον τῆς παρεμβολῆς πορρωτέρω στρατοπεδεύσηται· αὐτὸς δὲ ὁ βασιλεὺς ἐν ἐκείνῳ τῷ τόπῳ, ὃς τὰς Τουρκικὰς εἶχε δυνάμεις πρότερον, ἐπιθήσει τὸν χάρακα, καὶ τηνικαῦτα πρὸς συμβάσεις αὐτῷ παραγένηται. ἔλαθε δὲ τὴν

2. τελευτὴν C. 3. προεβάλλετο C. 5. σποδοντῶν C. 18. ἐπαρθείση C.

lere, iureiurando eos adstringendi regi consilium dedi: atque revera consilio accepto operi absolvendo perficiendoque statim me praeficiebat: itaque etiam secundum patrios mores eos sacramentum fidei in regem incorruptae conservandae iubens Graecos quoque eodem modo accuratos pactionum reddidi custodes neque inceptis, quae studerem, excidi: nemo enim horum ne in ipso quidem praelio ad hostes defecit.

Dum autem haec fiunt, et milites secundum ordines et turmas armati equos ascendnnt, legati a sultani parte advenerunt pacem utrisque nuntiantes. rex autem excepit quidem eos et colloquium iis secundum morem legatorum concessit: sed omnino non hos humano modo excepit: tamen igitur adnuens iis signum adulandi etiam dedit, ut hoc signo ostento integri ad ipsum venirent nuntios afferentes, quos a sultano accepissent. aperte enim inexspectato nuntio elatus erat, nimirum sultanum castrorum loco relicto ulterius castra positurum esse, regem vero ipsum illo in loco, quo Turcarum copiae essent, prius aggere iacto tum cum eo conventurum esse. nescius au-

νίκην διὰ τοῦ νικητικοῦ σημείου τοῖς ἐναντίοις παραπεμψάμενος, καθὼς οἱ τὰ τοιαῦτα διακριβοῦντες συμβάλλουσιν· οὐ γὰρ ἔδει μάχης προκειμένης τοιοῦτον σύμβολον ἐξ ἑαυτοῦ πρὸς ἐναντίους μεταθεῖναι.

Τὸ δ' ἀπὸ τοῦδε δυσάντητος ἡμῖν ὁ λόγος διὰ τὸ ἐργῶδες τῶν ἀτυχημάτων καὶ λίαν ἀπόφημον, καὶ τὴν εἰς τοὺς Ῥωμαίους ἐπισυμβᾶσαν χαλεπωτάτην δυσκληρίαν.

Οὔπω τέλος ἔσχε οὐδ' ἀναβολὴν ἡ τῶν πρέσβεων ἄφιξις, καί τινες τῶν ἐγγυτάτων τῷ βασιλεῖ πείθουσιν αὐτὸν ἀποβαλέσθαι τὴν εἰρήνην ὡς ψευδομένην τὸ ἔργον καὶ ἀπατῶσαν μᾶλλον ἢ τὸ συμφέρον ἐθέλουσαν. δεδιέναι γάρ φασι τὸν σουλτάνον διὰ τὸ μὴ ἀξιόλογον ἔχειν δύναμιν καὶ περιμένειν τοὺς κατόπιν αὐτοῦ βαδίζοντας, καὶ τῷ προσχήματι τῆς εἰρήνης μετεωρίζειν τὸν χρόνον, ὡς ἂν ἐπικαταλάβοι τὸ ὑστεροῦν τῆς δυνάμεως. τοῦτο ῥηθὲν διανίστησι τὸν βασιλέα πρὸς πόλεμον. καὶ οἱ μὲν Τοῦρκοι κατὰ σφᾶς αὐτοὺς τὰ τῆς εἰρήνης ἐπραγματεύοντο, ὁ δὲ βασιλεὺς σαλπίσας τὸ ἐνυάλιον τὸν μόθον παραλόγως ἐκράτησε. καταλαβοῦσα δ' ἡ φήμη τοὺς ἐναντιοὺς ἐξέπληξε. τέως δ' οὖν καθοπλισάμενοι καὶ αὐτοὶ τὸ μὲν ἄχρηστον πλῆθος εἰς τοὐπίσω προήλαυνον, αὐτοὶ δὲ κατόπιν φαντασίαν ἐδίδουν πολεμικῆς ἀντιπαρατάξεως. τὸ δὲ πλεῖστον φυγή τις κατεῖχεν αὐτούς, συντεταγμένας

11. ἐθέλουσαν interpres: C. ἐθέλουσι. φησι C.

tem victoriam victrice imagine hostibus miserat, ut ii qui in talia inquirunt coniiciunt: neque enim oportebat pugna instante tale signum ab ipso ad adversos transferri.

Inde ab his autem iam difficilis narratio propter atrocem ac nimis infaustam calamitatem et ob gravissimam infelicitatem Graecos ingruentem.

Nondum finem tenebat neque dilatus erat adventus legatorum, cum quidam e proximis regi persuadent, ut pacem abiiceret tanquam simulatam revera et decipientem magis quam utilitatem spectantem. timuisse enim, dicunt, sultanum, quippe qui non haberet memoratu dignam vim et exspectare qui ab ipsius tergo progrederentur et pace simulata tempus ducere, ut sibi adderet relictos milites: quae quidem verba regem ad bellum perducunt. atque Turcae quidem inter se de pace deliberaverunt: rex vero cum bellicum cecinisset pugna praeter opinionem vicit. quae fama cum ad adversos pervenisset, eos timore perculsit. interea vero et ipsi armati turbam inutilem in tergum repulerunt, ipsi autem bellicae aciei spectaculum iam inde ab hoc praebuerunt: plurimum vero terroris iis iniecerunt Graecorum pha-

νας ἰδόντας τὰς τῶν Ῥωμαίων φάλαγγας ἐν τάξει καὶ κόσμῳ καὶ πολεμικῷ παραστήματι. καὶ οἱ μὲν προῄεσαν εἰς τοὐπίσω, ὁ δὲ βασιλεὺς κατόπιν αὐτῶν πανστρατιᾷ ἐπεδίωκεν, ἕως ἄρα δείλη ὀψία κατέλαβεν. ἐπεὶ δ᾽ ὁ βασιλεὺς τοὺς ἀντιτεταγμένους καὶ ἀντιπολεμοῦντας οὐκ εἶχε, τὴν δὲ παρεμβολὴν ἐψιλωμένην στρατιωτῶν καὶ πεζοφυλάκων ἐγίνωσκε, διὰ τὸ μηδ᾽ εὐπορεῖν ἱκανοῦ πλήθους ὥστε καὶ παρατάξεις ἐνταῦθα καταλιπεῖν, ἤδη προεξαντληθέντων τῶν πλείστων, ὡς προδιείληπται, ἔγνω μὴ πλεῖον ἐπιτεῖναι τὴν δίωξιν, ἵνα μὴ λόχον πεποιηκότες οἱ Τοῦρκοι ἀφυλάκτῳ ταύτῃ ἐπίθωνται, καὶ ἅμα διασκοπῶν ὡς εἰ πλεῖον ἐκμακρυνθείη, καταλήψεται τοῦτον ἐν τῇ ἐπανόδῳ ἡ νύξ, καὶ τηνικαῦτα οἱ Τοῦρκοι παλίντροπον θήσουσι τὴν φυγήν, ἑκηβόλοι τυγχάνοντες. διὰ ταῦτα καὶ τὴν βασιλικὴν σημαίαν ἐπιστρέψας νόστου ἐπιμνησθῆναι διήγγελλεν. οἱ δὲ πόρρω τὰς φάλαγγας ἔχοντες στρατιῶται, τὴν ἐπιστροφὴν τῆς βασιλικῆς σημαίας ἰδόντες, ᾠήθησαν ἥττῃ τὸν βασιλέα περιπεσεῖν. ὡς δ᾽ οἱ πολλοὶ πληροφοροῦσιν, ὅτι τῶν ἐφεδρευόντων αὐτῷ τις, ἐξάδελφος ὢν τῷ τοῦ βασιλέως προγονῷ Μιχαήλ, προβεβουλευμένην ἔχων τὴν κατὰ τούτου ἐπιβουλήν, αὐτὸς τὸν τοιοῦτον λόγον τοῖς στρατιώταις διέσπειρε, καὶ ταχὺ τοὺς οἰκείους ἀναλαβὼν (ἐμπεπίστευντο γὰρ παρὰ τῆς τοῦ βασιλέως καλοκαγαθίας οὐ μικρόν τι μέρος λαοῦ) φυγὰς εἰς

langes, quas acie instructa et secundum ordines et disciplinam collocatas et bellico cum habitu videbant. atque hostes quidem porro regressi sunt, rex vero omnibus cum copiis eos secutus est, donec vesper adesset. cum autem rex sibi oppositos et resistentes non haberet, castra autem nudata militibus peditibusque vigilantibus cognosceret: quia non satis secum habuit copiarum, ita ut etiam ordines ibi relinqueret defatigatis iam ut supra dictum plerisque, statuit non ulterius eos persequi, ne Turcae insidiis factis castra a praesidiis relicta aggrederentur, simulque cogitans, noctem se redeuntem occupaturam esse, si ulterius viam extenderet et Turcas e fuga regressuros tum esse, quippe qui telis bene uterentur. quamobrem regium signum revertens reditus meminisse omnes iussit. qui vero ulterius acie aberant milites, regium signum retro versum videntes, in cladem regem incidisse putarunt: ut autem plerique persuasum habent, insidiantium ei aliquis, Michaelis regis parentis ex fratre filius, antea iam molitus huic insidias, ipse talem famam per milites divulgavit, et celeriter suis receptis (credita enim erat ei haud parva militum pars a regis maiestate) fugitivus in castra rediit: hunc autem imitati qui propius adstarent ordines ad unum omnes fugam sine pugna accipiebant

τὴν παρεμβολὴν ἐπανέδραμε. μιμησάμενοι δὲ τοῦτον οἱ πλησιέστεροι λόχοι εἷς καθ' ἕνα τὴν φυγὴν ἀμαχητὶ διεδέξαντο, κἀκείνους ἕτεροι. καὶ οὕτως ὁ βασιλεὺς ἰδὼν τὸ παράλογον τῆς ἐξαγωνίου φυγῆς, ἔστη μετὰ τῶν περὶ αὐτόν, τὴν τῶν οἰκείων φυγήν, ὡς ἔθος, ἀνακαλούμενος. ἦν δὲ ὁ ἐπακούων οὐδείς. τῶν δ' ἐναντίων οἱ ἐπὶ λόφων ἱστάμενοι, τὸ τῶν Ῥωμαίων ἰδόντες ἐξαίφνης ἀτύχημα, τῷ σουλτάνῳ καταγγέλλουσι τὸ γενόμενον, καὶ τὴν ἐπιστροφὴν αὐτῷ κατεπείγουσιν. εὐθὺς οὖν ἐπανελθόντος αὐτοῦ μάχη τις ἀθρόον τῷ βασιλεῖ προσρήγνυται· καὶ κελεύσας τοὺς ἀμφ' αὐτὸν μὴ ἐνδοῦναι μηδὲ μαλακόν τι παθεῖν, ἠμύνατο μὲν ἐρρωμένως μέχρι πολλοῦ. ἐν δὲ τῷ μέσῳ τῆς τῶν ἄλλων φυγῆς περιαντλησάσης ἔξω τὸν χάρακα, συμμιγής τις ἦν ἐκ πάντων βοὴ καὶ ἄτακτος δρόμος, καὶ λόγος οὐδεὶς ἀπηγγέλλετο καίριος, τῶν μὲν λεγόντων ἰσχυρῶς ἀντιπαρατάξασθαι τὸν βασιλέα μετὰ τῶν ὑπολελειμμένων αὐτῷ καὶ τοὺς βαρβάρους τρέψασθαι, τῶν δὲ σφαγὴν ἢ ἅλωσιν καταγγελλόντων αὐτοῦ, καὶ ἄλλων ἄλλα συνειρόντων καὶ παλίντροπον ἑκατέρου μέρους τὴν νίκην καταλεγόντων, ἕως ἤρξαντο καὶ τῶν σὺν αὐτῷ Καππαδοκῶν πολλοὶ κατὰ μοίρας τινὰς ἐκεῖσε ἀποφοιτᾶν. εἰ δέ τι καὶ αὐτὸς τοῖς φεύγουσιν ἀντίξους γεγονὼς πολλοὺς ἠμυνάμην, f. 200 v. τὴν ἀνάκλησιν ἐπιτρέπων τῆς ἥττης, ἕτεροι λεγέτωσαν. τὸ δὲ μετὰ τοῦτο καὶ τῶν βασιλικῶν ἵππων πολλοὶ μετὰ τῶν

18. συναιρόντων C. 23. ἱπποτῶν? an ὀπαδῶν?

atque illos alii secuti sunt. atque ita rex cum videret milites de improviso e pugna fugientes, restitit cum iis, qui ipsi adstabant, milites ex consuetudine a fuga revocans: sed erat, qui eum exaudiret nemo. hostium vero qui collibus insisterent, Graecorum videntes subitam fortunam (adversam) sultano factum nuntiant et eum ad revertendum impellunt. quo statim vehementem rex incidit in pugnam: et cum eos, qui cum ipso essent, recedere vel timide se gerere vetuisset, strenue pugnavit per magnum temporis spatium: interea vero cum aliorum fuga ulterius in castra se effunderet, commixtus omnium erat clamor cursusque inordinatus neque ullum dextrum pronuntiabatur verbum: alii enim regem cum iis qui reliqui essent strenue obsistere barbarosque in fugam vertere nuntiabant, alii eum perditum vel captum ferebant, alii alia dictitabant et utriusque partis victoriam diversam pronuntiabant, donec inciperent etiam Cappadocum, qui cum eo essent, multi secundum turmas illuc reverti: num vero equidem quoque fugientibus obsistens multos arcuerim, cladem resarciens, alii dicunto. postea vero multi equitum regiorum, cum equis revertentes, quid fieret, interrogati, se regem non vidisse re-

ἵππων ἐπαναστρέφοντες μὴ ἰδεῖν τὸν βασιλέα, τί γέγονεν, ἐρωτώμενοι ἀπεκρίναντο. καὶ ἦν σεισμὸς οἷος καὶ ὀδυρμὸς καὶ πόνος καὶ φόβος ἀκίχητος, καὶ ἡ κόνις αἰθέριος, καὶ τέλος οἱ Τοῦρκοι πανταχόθεν ἡμῖν περιρρέοντες. ὅθεν καὶ ὡς εἶχεν ἕκαστος ὁρμῆς ἢ σπουδῆς ἢ ἰσχύος, φυγῇ τὴν ἑαυτοῦ σωτηρίαν ἐπίστευσεν. οἱ δ' ἐναντίοι κατόπιν διώκοντες οὓς μὲν ἀνεῖλον οὓς δὲ ζωγρίᾳ εἷλον, ἑτέρους δὲ συνεπάτουν. καὶ ἦν τὸ πρᾶγμα λίαν ἐπώδυνον καὶ πάντα θρῆνον ὑπερβάλλον καὶ κοπετόν. τί γὰρ ἐλεεινότερον τοῦ στρατόπεδον ἅπαν βασιλικὸν φυγῇ καὶ ἥττῃ παρὰ βαρβάρων ἀπανθρώπων καὶ ἀποτόμων ἐλαύνεσθαι, καὶ τὸν βασιλέα βαρβαρικοῖς ὅπλοις ἀβοήθητον περιεστοιχίσθαι, καὶ τὰς βασιλείους σκηνὰς καὶ τὰς ἡγεμονικὰς ἅμα καὶ στρατιωτικὰς ὑπὸ τοιούτων ἀνδρῶν κυριεύεσθαι, καὶ ἅπαν ἀνάστατον τὸ Ῥωμαϊκὸν καθορᾶσθαι, καὶ βασιλείαν ἐν ἀκαρεῖ κατανοεῖν συμπεσοῦσαν.

Καὶ τὰ μὲν τοῦ λοιποῦ πλήθους ἐν τούτοις· τὸν δὲ βασιλέα περιστοιχίσαντες οἱ πολέμιοι οὐκ εὐχείρωτον ἔσχον εὐθύς, ἀλλ' ἅτε στρατιώτης καὶ πολεμικῆς ἐμπειρίας εἰδήμων καὶ κινδύνοις προσομιλήσας πολλοῖς, καρτερῶς ἠμύνατο τοὺς προσπίπτοντας, καὶ πολλοὺς ἀνελὼν τέλος ἐπλήγη φασγάνῳ τὴν χεῖρα, τοῦ τε ἵππου βέλεσι κατακοντισθέντος ἐκ ποδὸς μαχόμενος ἵστατο. καμὼν δ' ὅμως πρὸς ἑσπέραν ἁλώσιμος καὶ ὑπόσπονδος, φεῦ τοῦ πάθους, ἐγένετο. καὶ τῇ μὲν νυκτὶ

sponderunt: atque erat perturbatio tanquam et ululatus et labor et fuga rapida: pulvis ad coelum tollebatur, atque postremo Turcae undique nobis circumfluebant: quamobrem etiam quisque pro viribus vel celeritate vel opibus fugae salutem commendavit. hostes vero a tergo insequentes alios interfecerunt, alios vivos ceperunt, alios calcarunt: atque erat res nimis tristis omnique luctu ac planctu maior. quid enim miserius quam exercitum omnem regium in fugam et cladem a barbaris inhumanis et crudelibus pelli et regem barbaris armis absque auxiliis circumdatum esse et regis ducumque tentoria simul et militum talibus ab hominibus expugnata esse, quam omnia Graeca perturbata regnumque brevi lapsurum videre: atque reliquus quidem exercitus ita se habebat.

Regem vero circumvenientes hostes non tractabilem invenerunt illico: sed ut miles et experientiae bellicae peritus periculisque usus multis aggredientes strenue arcuit: multisque interfectis postremo ictus est gladio in manu et equo telis deiecto pedes pugnavit. defatigatus tamen ad vesperum (miserabile dictu!) sub conditionibus dediticius factus est. atque nocte quidem illa ut vulgi aliquis terrae

ἐκείνῃ ἔτι, ἴσως τοῖς πολλοῖς, ἐπὶ γῆς ἀτίμως καὶ περιωδύνως κατέδραθε, μυρίοις πανταχόθεν καὶ ἀφορήτοις περικλυζόμενος τοῖς ἐκ τῶν λογισμῶν καὶ τῶν κατ' ὄψιν ἀνιαρῶν κύμασι· τῇ δ' ἐπαύριον ἀγγελθείσης τῷ σουλτάνῳ καὶ τῆς τοῦ βασιλέως ἁλώσεως, χαρά τις ἄπλετος ὁμοῦ καὶ ἀπιστία κατέσχεν αὐτόν, οἰόμενον ὡς ἀληθῶς μέγα τι καὶ ὑπερμέγεθες εἶναι τὸ μετὰ τῆς ἥττης τοῦ βασιλέως καὶ αὐτὸν ἐκεῖνον δορυάλωτον καὶ οἰκέτην λαβεῖν. οὕτως ἀνθρωπίνως καὶ νουνεχῶς τὸ προτέρημα τῆς νίκης οἱ Τοῦρκοι ἐδέξαντο, μήτε μεγαλαυχήσαντες οἷα φιλεῖ περὶ τὰς εὐτυχίας ὡς ἐπίπαν περιπολεῖν, μήτε τῇ οἰκείᾳ δυνάμει τὸ γεγονὸς ἐπιτρέψαντες, ἀλλὰ τὸ πᾶν τῷ θεῷ ἀναφέροντες, ὡς μεῖζον ἢ κατὰ τὴν ἑαυτῶν ἰσχὺν ἀποτελέσαντες τρόπαιον. διὰ τοῦτο καὶ προσαχθέντος τῷ σουλτάνῳ τοῦ βασιλέως ἐν τῇ εὐτελεῖ καὶ στρατιωτικῇ ἀμπεχόνῃ, καὶ αὖθις διαπορῶν ἦν καὶ μαρτυρίαν περὶ τούτου ζητῶν. ὡς δ' ἐπληροφορήθη παρά τε ἄλλων καὶ τῶν εἰς αὐτὸν ἀφικομένων ποτὲ πρέσβεων, τὸν τῶν Ῥωμαίων βασιλέα τυγχάνειν τὸν παριστάμενον, εὐθὺς ἐξανέστη καὶ αὐτός, καὶ περιπτυξάμενος τοῦτον "μὴ δέδιθι" ἔφη, "ὦ βασιλεῦ, ἀλλ' εὔελπις ἔσο πρὸ πάντων, ὡς οὐδενὶ προσομιλήσεις κινδύνῳ σωματικῷ, τιμηθήσῃ δ' ἀξίως τῆς τοῦ κράτους ὑπεροχῆς. ἄφρων γὰρ ἐκεῖνος ὁ μὴ τὰς ἀπροόπτους
f. 201 r. τύχας ἐξ ἀντεπιφορᾶς εὐλαβούμενος." ἐπιτάξας οὖν αὐτῷ

sine honore et miserrimus insedit, innumerabilibus undique et intolerabilibus considerationis et aegritudinis quae ante oculos esset undis submersus. postero autem die cum etiam regem captum esse sultano nuntiatum esset, gaudium immensum simul et dubitatio eum tenebat, cum putaret magnam revera rem et ingentem esse, quod praeter cladem regis etiam illum ipsum captum et servum haberet. ita modo humano et prudenter commodum victoriae Turcae acceperunt, neque gloriantes, ut in rebus secundis plerumque fieri solet, neque ipsorum copiis factum tribuentes, sed totum ad deum referentes quippe qui maiora quam pro ipsorum vi trophaea confecissent. quamobrem etiam postquam adductus est ad sultanum rex vili et militari veste indutus, rursus ille haesitabat et testimonium de illo quaerebat: cum autem ei persuasum esset et ab aliis et a legatis qui olim ad illum ventitabant, illum qui adstaret esse Graecorum regem, tum surrexit et ipse et amplexus hunc. ne timeas, inquit, rex: sed tranquillo sis animo coram omnibus, cum in nullum corporis periculum incasurus sis: sed honoraberis digne potentiae principatu : imprudens enim ille, qui improvisos casus ex ultione non timeat. imperans igitur ut ei

σκηνὴν ἀποτευχθῆναι καὶ θεραπείαν ἁρμόζουσαν, σύνδειπνον αὐτὸν αὐτίκα καὶ ὁμοδίαιτον ἀπειργάσατο, μὴ παρὰ μέρος καθίσας αὐτόν, ἀλλὰ σύνθρονον ἐν εὐθύτητι τῆς ἐκκρίτου τάξεως καὶ ὁμόδοξον κατὰ τὴν τιμὴν ποιησάμενος. οὕτω δὶς τῆς ἡμέρας συνερχόμενος τούτῳ καὶ συλλαλῶν, καὶ πρὸς παράκλησιν ἀνακτώμενος διὰ πολλῶν ἐπασμάτων ἀναγόντων εἰς τὴν βιωτικὴν περιπέτειαν, μέχρις ἡμερῶν ὀκτὼ τῶν ὁμοίων αὐτῷ ἐκοινώνει καὶ λόγων καὶ ἁλῶν, μηδὲ μέχρι καὶ βραχυτάτου λόγου πρὸς τοῦτον ἐμπεπαρῳνηκώς, ἢ ὅσον δοκούντων τινῶν σφαλμάτων ἐν τῇ ἐλάσει τῆς στρατιᾶς ὑπομνήσας, ὁπότε καὶ ἡ τοῦ θεοῦ κρίσις μετὰ τῶν ἄλλων κἀνταῦθα δικαία καὶ ἀρρεπὴς κατεφάνη. οὐ γὰρ οἱ ἄλλοι μόνον ἀλλὰ καὶ αὐτὸς ὁ ἁλωθεὶς βασιλεὺς ἄξιον εἶναι νικᾶν αὐτὸν ἀπεφήνατο, εἰ νόμον μὴ ἔχων ἀγαπᾶν τοὺς ἐχθροὺς ἀνεπαισθήτως ποιεῖ τὸν θεῖον νόμον ἐκ φυσικῆς καὶ ἀγαθῆς διαθέσεως· οὐ γὰρ τοῖς ὑπερόπταις ὁ παντέφορος ὀφθαλμὸς ἀλλὰ τοῖς ταπεινοῖς καὶ συμπαθέσι τὸ κράτος χειροτονεῖ, ἐπεὶ μὴ ἔστι προσωποληψία, κατὰ τὸν θεῖον Παῦλον εἰπεῖν, παρὰ τῷ θεῷ. καὶ γὰρ ἔν τινι συλλόγῳ διερωτήσαντος τοῦ σουλτάνου τὸν βασιλέα "τί ἂν ἔδρασας εἰ οὕτως ἔσχες αὐτὸς ἐμὲ ὑποχείριον;" ἀνυποκρίτως καὶ ἀθωπεύτως ἐκεῖνος ἀπήγγειλεν "ὅτι πολλαῖς ταῖς πληγαῖς κατεδαπάνησά σου τὸ σῶμα γίνωσκε." ὁ δὲ "ἀλλ' ἐγὼ" φησὶν "οὐ μιμήσομαί σου τὸ αὐστηρὸν καὶ ἀπό-

tentorium pararetur et cultus idoneus, coenae eum statim et victus socium reddidit, cum eum non praeter ordinem constitueret, sed assidentem ingenue electo concilio et aeque honore celebratum faceret. ita bis per diem ad hunc veniens et confabulans cum eo et ad solatium restituens multis sermonibus, qui vitae mutationem revocarent, per octo dies cum eo eadem communicabat verba et salem, cum ne in minimo quidem sermone hunc offenderet neque quosdam in persecutione exercitus errores commemoraret, quando etiam dei iudicium ut in ceteris ita hic quoque iustum et immotum apparuit. neque enim ceteri solum sed et ipse rex captus dignum eum esse victoria declaravit, quoniam legem non habens diligendi hostes sensim sibi statuit legem divinam e bona naturae suae dispositione: neque enim superbis omnia contemplans (dei) oculus sed tenuibus et misericordibus victoriam tribuit, cum non sit, ut secundum Paulum divum loquamur, coram deo nobilitatis respectus: cum enim per colloquium interrogasset sultanus regem, quid tu, inquit, fecisses, si ita me ipse subditum habuisses, ille sincere et sine ulla assentatione respondit: accipe, me tuum corpus multis verberibus confecturum fuisse. tum hic: sed

τομον.“ διακαρτερήσαντες οὖν ἐν τούτοις ἀμφότεροι μέχρι τῶν δηλωθεισῶν ἡμερῶν, καὶ σπονδὰς ποιησάμενοι καὶ συνθήκας εἰρηνικάς, εἶτα καὶ κῆδος ἐπὶ τοῖς ἰδίοις παισὶ συστησάμενοι, μόνην δεξίωσιν ἁδρὰν τοῦ βασιλέως αὐτῷ προσομολογήσαντος ἐκεῖθεν ἀπ' ἀλλήλων διεχωρίσθησαν, ἀπολύσαντος αὐτὸν τοῦ σουλτάνου σὺν πολλῇ τῇ περιπλοκῇ καὶ τῇ συντακτηρίῳ τιμῇ πρὸς τὴν οἰκείαν βασιλείαν, προσεπιδόντος δὲ καὶ τῶν Ῥωμαίων ὁπόσους ᾐτήσατο, καὶ πρέσβεις ἐκ τῶν οἰκείων.

Εἰς δὲ τὸ Μαντζικίερτ τὸ κάστρον φθάσαντες πολλοὶ τῶν Ῥωμαίων καταφυγεῖν κατεῖχον αὐτό. ὡς δ' ὁ βασιλεὺς ἐπανῆλθε, δι' ἄλλης ὁδοῦ ἀφέντες τοῦτο ἐκεῖνοι νυκτὸς ἐξέφυγον. ἀφ' ὧν καί τινες πολεμίοις περιπεπτωκότες διεκινδύνευσαν· οἱ δ' ἄλλοι πρὸς τὰ σφέτερα διεσώθησαν. ὁ δὲ βασιλεὺς κατηντηκὼς εἰς Θεοδοσιούπολιν μετὰ Τουρκικῆς τῆς στολῆς, καὶ ὑποδεχθεὶς φιλοτίμως, ἡμέρας τινὰς ἐκεῖσε διεκαρτέρησε, θεραπευόμενος μὲν τὴν χεῖρα, συνδιαναπαύων δὲ καὶ τὸ ἄλλο σῶμα καὶ ἀνακτώμενος, Ῥωμαϊκήν τε σκευὴν ἄρτι καινίζων, καὶ τὴν ἄλλην ἐκεῖσε κατασκευάζων ἐπίτευξιν διὰ τὸ μέλλειν εἰς τὰ πρόσω τῆς Ῥωμαίων χωρεῖν. ἄρας οὖν ἐκεῖθεν μετὰ βασιλικῆς τῆς σκευῆς τε καὶ προπομπῆς διῄει τὰς Ἰβηρικὰς κώμας, ὀλίγους πάνυ καταλαβὼν τῶν φυγάδων τῆς μάχης στρατιωτῶν, οὓς καὶ αὐτοὺς μετὰ τῶν συνελευθερωθέντων εἶχε μεθ' ἑαυτοῦ. τὸ δ' ἄλλο πλῆθος συνεί-

equidem, inquit, non imitabor austeros tuos et crudeles mores. postquam igitur in his ambo versati sunt usque ad declaratos dies et fidem et pacis pacta iunxerunt, deinde etiam affinitatem in liberis suis composuerunt, dextra tantum fidei teste data inde discesserunt a se invicem, cum sultanus eum dimitteret multo cum amplexu et honoribus prosecutionis ad ipsius regnum, atque adderet etiam Graecorum, quotquot requisivit, et legatos ex suis.

Ad Mantzikertum autem castellum celeriter multi Graecorum confugientes id tenuerunt. cum autem rex alia via rediret, relicto eo illi nocte fugerunt: ex quibus etiam alii in hostes incidentes periculum subierunt, ceteri in sua incolumes venerunt. rex autem, cum advenisset Theodosiopolin cum agmine Turcico et honorifice exceptus esset, dies nonnullos ibi moratus est, curans manum suam simulque reliquum reficiens corpus et restituens Graecumque apparatum novans atque cetera ibi parans impedimenta quia longius in Graecorum terram processurus erat. profectus igitur inde cum regio apparatu et comitatu Ibericos pagos peragravit, paucos omnino recipiens fugitivorum proelii militum, quos et ipsos cum liberatis secum habebat, re-

λεκτο παρὰ τῶν προσοίκων τῶν ἐκεῖσε κωμῶν τε καὶ πόλεων. συνῆσαν δὲ τούτῳ καὶ πρέσβεις παρὰ τοῦ σουλτάνου προσε- f. 201 v.
φοδιασθέντες αὐτῷ.

Ταύτης οὖν τῆς φήμης αὐτήκοοι καὶ ἡμεῖς γεγονότες ἐν Τραπεζοῦντι (ἐκεῖσε γὰρ κατηνέχθημεν, διαπόντιον τὴν πορείαν ποιῆσαι σκεψάμενοι) ἀμήχανον ἅμα καὶ ἄπιστον τὸ πρᾶγμα ἡγούμεθα, καὶ διὰ τοῦτο τὴν διὰ θαλάσσης ὁδὸν ἠνύομεν ἀμεταστρεπτί, πλοιάρια τῶν ἐγχωρίων ἱκανὰ μισθωσάμενοι. συνῆσαν γὰρ καὶ τῆς βασιλικῆς αὐλῆς ἄνδρες ἐκ τῶν πρώτων τῆς συγκλήτου βουλῆς, παραδόξως τὸν κίνδυνον συνδιαφυγόντες ἡμῖν. ἕτεροι δὲ κατεκόπησαν ἐν αὐτῷ τῷ πολέμῳ καὶ τῷ δρασμῷ, μεθ᾽ ὧν καὶ Λέων ἐκεῖνος ὁ ἐπὶ τῶν δεήσεων, ἀνὴρ λόγῳ καὶ γνώσει διαφανέστατος, καὶ ὁ μάγιστρος Εὐστράτιος, καὶ πρῶτος ἀσηκρῆτις ὁ Χοιροσφάκτης. ἑάλω δὲ καὶ ὁ πρωτοσβέστης Βασίλειος ὁ Μαλέσης, τὰ πρῶτα φέρων τῷ βασιλεῖ, τὸ τοῦ λογοθέτου τῶν ὑδάτων ὀφφίκιον περιεζωσμένος, λόγῳ καὶ αὐτὸς καὶ πείρᾳ πολλῶν ὑπερκείμενος.

Μέχρι μὲν οὖν τούτων ἀσύγχυτος ἡμῖν ὁ λόγος καὶ οἷον ἀπερικτύπητος καὶ ὁμαλώτερον βαίνων, κἂν εἰ καὶ προσάντεις εἶχε καὶ οἰκτρὰς τὰς ἐπεξηγήσεις. τὸ δ᾽ ἀπὸ τοῦδε τίς ἂν κατὰ μέρος τὸ πλῆθος τῶν ἐπισυμβάντων χαλεπῶν διηγήσαιτο; οὐ πρόσαντες ἡμῖν τὸ προκείμενον μόνον, ἀλλὰ

16. περιεζωσμένοι C.

liqua autem multitudo collecta est a vicinis illorum pagorum et urbium: aderant huic etiam legati, a sultano ei additi.

Quam quidem famam cum etiam nos Trapezunte audivissemus, (illuc enim delati eramus, trans mare proficisci conati) fieri non posse simul et fide carere rem putabamus, atque propterea iter maritimum perficiebamus sine mutatione, cum naves incolarum idoneas conduxissemus. aderant enim etiam ex aula regia viri primarii consilii qui praeter spem nobiscum periculum effugerant. alii autem occisi sunt in ipso bello et fuga, inter quos etiam Leo ille, qui a supplicibus libellis erat, vir oratione et prudentia illustrissimus: et magister Eustratius, et primus a secretis, Choerosphactes: captus est etiam primus vestiarius Basilius Malesas, principatum habens apud regem et rationum aquarum descriptoris officio praeditus, oratione et ipse et experientia multis superior.

Hactenus igitur composita nobis erat oratio neque quasi circumfusa, et aequalius procedebat, etiamsi adversas exhiberet et miseras expositiones. inde autem quis ex ordine multitudinem difficultatum, quae accesserunt, enarrare possit? neque enim adversum solum

καὶ λίαν ἀπρόσβατον διὰ τὴν τῶν γενομένων ἀπηνῆ σκυθρωπότητα.

Ἤλαυνε μὲν οὖν ὁ βασιλεὺς ἐξ ἑώας πρὸς τὴν ἑσπέραν μέχρι Κολωνείας αὐτῆς· ἐπὰν δὲ γένοιτο ἐντὸς τοῦ Μελισσοπετρίου (κάστρον δὲ τοῦτο ἐπί τινος λόφου κείμενον), ἤρξαντο τούτῳ προσομιλεῖν τὰ δεινά. ὁ γὰρ σύμβουλος αὐτῷ καὶ πρῶτα τῇ στρατηγίᾳ Παῦλος πρόεδρος, ὃν ἀπὸ τοῦ κατεπανικίου τῆς Ἐδέσσης μεταπεμψάμενος ὁ βασιλεὺς ἐν τῷ πρὸς Πέρσας ἐλαύνειν εὗρεν ἐν Θεοδοσιουπόλει σχεδιάζοντα τὴν ταύτης ἀρχὴν διὰ τὸ τὸν δοῦκα προαλωθῆναι μετὰ τοῦ βασιλέως, καὶ πάντα ἐδόκει αὐτῷ συναιρόμενον, νύκτωρ διαδρὰς τὴν βασιλίδα κατέλαβε, μαθὼν τὰ γεγενημένα κατ' αὐτὴν καὶ τὴν τῆς Αὐγούστης προαίρεσιν. αὕτη γὰρ ἀπογνοῦσα τὴν τοῦ βασιλέως ἀπόλυσιν μετεπέμψατο μὲν καὶ τὸν τοῦ πρώτου ἀνδρὸς καὶ βασιλέως ὁμαίμονα Ἰωάννην τὸν Καίσαρα μετὰ δύο αὐτοῦ υἱῶν, ὧν ὁ εἷς ὁ Ἀνδρόνικος νέηλυς ἦν ἐκ τῆς στρατιᾶς καταλαβὼν ἐν φυγῇ, διεπέμψατο δὲ καὶ δόγματα πρὸς πάσας τὰς ἐπαρχίας, μὴ ὅλως ἀπαντῆσαι τῷ Διογένῃ διαταττόμενα καὶ τὴν βασιλικὴν τούτῳ προσκύνησιν προσενεγκεῖν καὶ τιμήν. ἀλλὰ τοῦ Καίσαρος εἰσιόντος μετὰ τῶν δύο υἱέων καὶ τῇ βασιλίδι προσμίξαντος ἐν τῷ παλατίῳ, μεταστρέφεται κατ' αὐτῆς ἡ βουλὴ τῆς τοῦ ἀνδρὸς ἀποκηρύξεως καὶ διώξεως. διὸ καὶ τὸν μὲν πρῶτον υἱὸν αὐτῆς, ὃν ἐκ τῆς τοῦ Δούκα συναφείας ἀπέτεκεν, αὐτοκράτορα καὶ δεσπότην φη-

1. ἀπρόβατον C.

(argumentum) propositum est, sed etiam valde inaccessum propter factorum crudelem asperitatem.

Profectus igitur est rex mane ad vesperum usque ad Coloneam. cum autem intra Melissopetrium (castellum est hoc, in colle situm) esset, coeperunt ei accidere mala. consilii enim eius particeps et belli princeps, Paulus praeses (quem ex praefectura Edessae arcessitum rex, cum ad Persas proficisceretur, Theodosiopoli invenit ex tempore procuratorem, quia dux cum rege captus erat, et in omnibus se adiuvare arbitrabatur) nocte fugiens regiam cepit, cum audivisset facta de ea et augustae voluntate. haec enim desperans regis liberationem arcessivit etiam primi viri et regis fratrem Ioannem Caesarem cum duobus eius filiis, quorum alter Andronicus redux erat ex expeditione, reversus per fugam. misit autem etiam decreta ad omnes provincias, omnino non obviam ire Augusto iubentia et regiam huic salutationem tribuere et honorem. sed postquam Caesar ingressus est cum duobus filiis et reginae se coniunxit in palatio, mutatur contra eum voluntas virum deiiciendi et persequendi: quamobrem etiam primum eius

μίζουσιν, ἐν τῷ τοῦ χρυσοτρικλίνου βασιλείῳ θρόνῳ καθιδρύσαντες αὐτόν, καὶ τὴν ἀρχὴν ἐγχειρίζουσι μόναρχον· τήν τε δέσποιναν καὶ μητέρα τούτου καθαιροῦσι μετὰ σφοδρᾶς τῆς ἐπιφορᾶς, εἶτα καὶ πλοίῳ παραδόντες ὑπερόριον τίθενται κατὰ τὸν ἑῷον πορθμόν, ὃν Στενὸν οἱ πολῖται κατονομάζουσιν ἐκ τῆς θέσεως, ἐγκαταστήσαντες ταύτην τῷ παρ' αὐτῆς συστάντι φροντιστηρίῳ καὶ λεγομένῳ Πιπερούδη, μελαμφοροῦσαν ἐπαποδείξαντες καὶ κεκαρμένην τὰς τρίχας, καὶ τῷ τάγματι τῶν μοναζουσῶν καταζεύξαντες.

Ὁ δ' οὖν Διογένης μέχρι τοῦ θέματος τῶν Ἀρμενια- f. 202 r. κῶν προϊών, ἐπεὶ τὰ κατ' αὐτὸν ἐπληροφορήθη, καὶ ὡς τοῖς πολίταις καὶ τοῖς ἀνακτόροις ἐπικεκήρυκται, φρούριόν τι κατασχὼν Δόκειαν κατονομαζόμενον ἐκεῖσε κατεστρατοπεδεύσατο. ὁ δὲ Καῖσαρ καὶ ὁ τὰ σκῆπτρα νέον ἐγχειρισθεὶς τούτου ἀνεψιός, μετὰ τὸ πάντα τὰ κατὰ τὴν βασιλεύουσαν διαθεῖναι κατὰ τὸ βεβουλευμένον αὐτοῖς, καὶ τοὺς μὲν τῆς συγκλήτου βουλῆς οἰκειώσασθαι καὶ τιμᾶν αὐτοὺς προκατάρξασθαι, πρὸς δὲ τοὺς τῆς ἀγορᾶς τὰ συνήθη δημηγορῆσαι καὶ ὡς τὴν πατρῴαν βασιλείαν ψήφῳ θεοῦ εἰς ἑαυτὸν ἀνεκτήσατο, καὶ ὑποσχέσεσι φιλανθρώποις εὐέλπιδας τούτους ποιήσασθαι, στρατιὰν πέμψαι κατὰ τοῦ Διογένους ἐσκέψαντο. καὶ στρατηγὸν αὐτοκράτορα προχειρισάμενοι τῶν τοῦ Καίσαρος υἱῶν ἕνα, Κωνσταντῖνον ὀνόματι, τὸ ἀξίωμα πρωτοπρόεδρον, τοὺς παρατυχόντας τῶν στρατιωτῶν αὐτῷ ἐγχειρίζουσι, καὶ ταχέως

2. an τὴν δὲ?

filium, quem ex Ducis coniunctione genuerat, imperatorem et dominum renuntiant, in aurei triclinii regio solio collocantes eum et imperium ei tradunt unicum, et dominam matremque eius deiiciunt ingenti cum impetu: deinde etiam navi traditam exsulem ferunt ad orientale fretum (quod angustum cives vocant ex situ), includendam monasterio ab ea condito et vocato Piperude, vestibus nigris indutam et crinibus tonsis ordini monacharum adscriptam.

Augustus igitur usque ad provinciam Armeniacam progressus, postquam quae ad eum pertinebant comperit, proscriptum se esse a civibus et palatio, castello capto, quod Dosceia vocatur, ibi castra posuit. Caesar autem et, cui sceptrum nuper traditum erat, huius affinis postquam, quae constituta erant in reginam disposuerunt, et senatores sibi conciliarunt et honorare eos coeperunt, in foro autem res consuetas locuti sunt, et quomodo regnum paternum ex sententia dei sibi reconciliasset, et postquam promissis humanis bona hos spe impleverunt, exercitum mittere contra Augustum statuerunt. atque cum ducem summum Caesaris filiorum unum creassent, Constantinum, dig-

τῆς βασιλευούσης ἐκπέμπουσιν· ὃς καὶ ἄλλους τῶν ἐπαρχιῶν συλλεξάμενος, οὓς δὲ καὶ διὰ γραμμάτων βασιλικῶν ἑαυτῷ συστησάμενος, ἁδράν τινα δύναμιν ἔδοξε συναγηοχέναι, καὶ πλησίον τοῦ κρησφυγέτου τῆς Δοκείας τὸν χάρακα ἔθετο. προσερρύησαν δὲ τῷ Διογένῃ τῶν Φράγγων οἱ πλείους, κἀκ τούτου ἔχειν τὸ ἰσχυρὸν προσεδόκα. ἔκτοτε οὖν παροδικαὶ μάχαι τοῖς μέρεσι διερρήγνυντο· οὐδεμία δ' αὐτοτελὴς τὴν ἔκβασιν ἔκρινε, συναπτομένων ἀλλήλοις κατ' ἄνδρας καὶ αὖθις ἀπαλλαττομένων τῶν ἀντιθέτων στρατιωτῶν. ὡς δὲ πολλοὺς τῶν Καππαδοκῶν ὁ βασιλεὺς κηρύγμασί τε καὶ γράμμασι μετεπέμψατο, ὧν ἦρχε Θεόδωρος πρόεδρος ὁ Ἀλυάτης, ἀνὴρ γένους ἐπιφανοῦς τὰ πολεμικὰ καὶ θεαθῆναι θαυμασιώτατος, μεγέθει καὶ ὄγκῳ τῶν πολλῶν διαφέρων καὶ ἱκανῶς ἐν πολλοῖς στρατευσάμενος, ἔδοξεν ὁ Διογένης πολὺ τῶν ἐναντίων προέχειν, καὶ ταχὺ τοῦ τῆς Δοκείας ἄρας φρουρίου πρὸς τὴν τῶν Καππαδοκῶν ἤλαυνεν, ἐξ ἧς περ αὐτὸς τὴν γένεσιν ἔσχηκεν. ἀλλ' οἱ τῆς μοίρας τοῦ τὴν βασιλείαν ἐν Κωνσταντινουπόλει κατέχοντος, παρὰ δόξαν προσθήκην δεξάμενοι κατὰ τὴν νύκτα ἐκείνην, οὐ πολὺ τὸ ἔλαττον ἀπενέγκασθαι διεγνώκεσαν. κατέλαβε γὰρ αὐτοὺς μεθ' ἑτέρων ἐκ τῆς βασιλίδος ἀποσταλεὶς σύμμαχος ὁ Φράγγος ἐκεῖνος Κρισπῖνος ὃν ὁ Διογένης μὲν ἐπ' αἰτίαις ἀποστασίας καθελὼν ἐκ τῆς στρατιᾶς ὑπερόριον εἰς Ἄβυδον ἐποιήσατο, ὁ δ' ἀντιβα-

10. τῶν στρατιωτῶν Καππαδοκῶν C.

nitate praesidem summum, suppetentes milites ei tradunt, et celeriter ex urbe emittunt: qui quidem postquam et alios provinciarum collegit, alios etiam litteris regiis sibi composuit, plenam sibi manum visus est conduxisse et prope latebras Dokeiae castra posuit. affluxerunt autem Augusto Francorum plurimi atque ex his se habiturum praesidium exspectabat. inde igitur pugnae intermissae inter partes disrumpebantur, nulla autem per se finita eventum decernebat, cum viritim inter se congrederentur et rursus discederent oppositi milites. cum autem multos militum Cappadocum rex nuntiis et litteris arcesseret, quibus imperabat Theodorus praeses Alyates, vir quod res bellicas attinet ex genere illustri et adspectu valde admirabilis, magnitudine et auctoritate multitudini praestans et satis in multis expeditionibus spectatus, Augustus sibi visus est multum hostibus praestare: atque celeriter ex castello Doceae profectus ad Cappadocum provinciam iter fecit, ex qua ipse originem duxit. sed qui a parte regnum Constantinopoli obtinentis stabant praeter spem accessionem accipientes illa nocte non ita statuerant inferiores discedere. convenit enim eos cum aliis ex regia missus socius Francus ille Crispinus, quem Augustus nomine defectionis exercitu exuens exsulem Abydum miserat; quem tamen qui postea ei

σιλεύσας ὕστερον Μιχαὴλ ἐκ τῆς ὑπερορίας μεταγαγὼν εὐεργεσίαις καὶ τιμαῖς κατελάμπρυνε καὶ πρὸς τὴν ἑαυτοῦ ἀνέρρωσεν εὔνοιαν. οὗτος οὖν γενναιότατος κατὰ χεῖρα τελῶν, καὶ ἀλκιμώτατος, εἴπερ τις ἀνθρώπων, δοκῶν διὰ τὸ πεῖραν δοῦναι τῆς ἑαυτοῦ δοκιμότητος ἐκ τῶν φθασάντων αὐτοῦ ἀνδραγαθημάτων, πολλὴν ἐνέσταξε προθυμίαν τοῖς στρατιώταις, ἐν ὥρᾳ καταλαβὼν πολεμικῆς ἐπιδόσεως. διὰ ταῦτά τοι καὶ ἄραντος ἐκ Δοκείας τοῦ Διογένους ἐπεφάνησαν καὶ οἱ τοῦ βασιλέως τὰς σημαίας ὑπερτεταμένας ἐκφέροντες. ἀλλ' ὁ Ἀλυάτης τούτων κατεπαρθείς, πολλοὺς τῶν στρατιωτῶν συναγηοχώς, πόλεμον τούτοις προσέμιξεν. ἐρρωμένως δὲ f. 202 v. ἀντιταξαμένων αὐτῶν, καὶ μᾶλλον ἐπιφημισθέντος τοῦ Κρισπίνου παρεῖναι καὶ τοῖς Φράγγοις τῇ πατρίῳ διαλεχθέντος φωνῇ, πρὸς φυγὴν οἱ τοῦ Ἀλυάτου ἀτάκτως ὥρμησαν· ἀφ' ὧν τινὲς μὲν ἀκοντίοις ἀπέθανον, ἁλοὺς δ' αὐτὸς τοὺς ὀφθαλμοὺς ἐξεκόπη, μετὰ σκηνικῶν σιδήρων περιωδύνως τὰς ὁράσεις ἀποβαλών. ὅπερ πολλὴν ἐνῆκε τοῖς στρατιώταις ἀνίαν διὰ τὸ τοῦ ἀνδρὸς ἐπίσημον κατὰ γένος καὶ γενναιότατον.

Περιώδυνος δ' ὁ Διογένης ἐκ τῆς φήμης γενόμενος, ὅμως τὸ λοιπὸν ἄγων πλῆθος εἰς τὴν Καππαδοκῶν ἐνέβαλε γῆν· καὶ εἴς τι φρούριον ἀνιὼν Τυροποιὸν οὕτως ὀνομαζόμενον, ἐπὶ λόφου κείμενον ὀχυροῦ, ἐκαραδόκει τὸ μέλλον, πανταχόθεν ἐπικαλούμενος στρατιώτας εἰς τὴν ἑαυτοῦ ἀρω-

6. ἐνέταξε C.

contrarius fuit rex Michael ex exsilio reducens beneficiis et honoribus illustrabat et in suam restituebat benevolentiam. hic igitur nobilissimus in manus opere et validissimus si quis hominum visus quia spectata erat eius virtus in prioribus eius factis, multam excitavit voluntatem militibus, tempore eos accipiens bellici studii. propterea etiam profecto e Docea Augusto apparuerunt etiam regii signa expansa efferentes. sed Alyates his elatus postquam multos militum coegit bellum his admiscuit. fortiter autem his resistentibus et magis adhortante Crispino ut adessent et cum Francis patria lingua loquente, in fugam Alyatae milites sine ordine se praecipitarunt: inter quos nonnulli iaculis ceciderunt, ipse captus oculis privatus est instrumentis tentorii ferreis misere visum amittens: id quod multam iniecit militibus aegritudinem propter viri splendorem generis et nobilitatem.

Dolore autem Augustus ex fama impletus, tamen reliquam ducens multitudinem in Cappadocum incidit terram: et ad castellum quoddam ascendens Tyropoeum (i. e. caseum faciens) nominatum et

γήν. ἐπεὶ δὲ παρὰ τοῦ τὴν Βύζαντος βασιλεύοντος μετεπέμφθη ὁ τῆς μεγάλης Ἀντιοχείας κατεπάνω, Χατατούριος ἐπονομαζόμενος, ἐξ Ἀρμενίων δ' ἕλκων τὸ γένος, καὶ προσετάγη πόλεμον τῷ Διογένῃ ἐπενεγκεῖν, ἀφίκετο μὲν εἰς Τυροποιὸν μετὰ πολλῆς τῆς δυνάμεως ἱππέων τε καὶ πεζῶν, κατοικτισάμενος δὲ τὸν Διογένην τῆς τύχης, καὶ ἅμα χάριτας τούτῳ προσομολογεῖν ἔχων ὡς παρ' ἐκείνου τὴν ἀρχὴν τῆς Ἀντιοχείας λαβών, συνέθετο τούτῳ καὶ τῆς ἐκείνου μοίρας ἐγένετο, καί τινας τῶν στρατιωτῶν, οἷς ἐκ βασιλέως διώριστο συνάρασθαι τούτῳ τῶν κατὰ Διογένους μόθων, τῶν ἵππων ἀποστερήσας καὶ τῆς ἄλλης ἀποσκευῆς γυμνοὺς ἐκεῖθεν ἀπήλασεν. εἶτα μικρόν τι διαλιπὼν σὺν τῷ βασιλεῖ καὶ τοῖς ἀμφ' αὐτὸν στρατιώταις εἰς τὴν τῶν Κιλίκων χώραν διέζευξεν, ὁμοῦ μὲν παραχειμασίαν ἐν αὐτῇ ποιησόμενος (παρήμειπτο γὰρ τὸ φθινόπωρον), ὁμοῦ δὲ δύναμιν ἑτέραν ἐν τῷ ἀσφαλεῖ συλλεξόμενος καὶ τοὺς ἀπὸ τοῦ σουλτάνου πεμφθησομένους μετὰ διορίαν τοιαύτην καταλαβεῖν.

Ἔλαθον δὲ τὸ ἧττον αἱρετισάμενοι καὶ τὰ χείρω καθ' ἑαυτῶν βουλευσάμενοι. τοῦ γὰρ τροπωσαμένου τὴν πρώτην τὸν Διογένην ἐν τῇ κατὰ τὸν Ἀλυάτην συμβολῇ τῇ βασιλίδι ἐπαναστρέψαντος, διεσκορπίσθη ἅπαν τὸ σὺν αὐτῷ στρατιωτικὸν ὡς τοῦ χειμῶνος ἐγγίσαντος, καὶ ἦν εὐχερὲς τοῖς ἀμφὶ τὸν Διογένην μετὰ τοσούτου πλήθους εἰς τὴν Ῥωμαίων ἐμβα-

16. συλλεξάμενος C.

in colle situm munito, exspectabat futurum undique advocans milites auxilio. cum autem a rege Byzantio arcessitus esset magnae Antiochiae Capitaneus, Chataturius nominatus, et ex Armenia genus ducens, et iussus esset bellum Augusto inferre, advenit Tyropoeum multo cum exercitu equitum et peditum: miseratus autem Augustum propter fortunam simulque gratias huic referre volens utpote qui ab illo imperium Antiochiae accepisset, huic accessit et ab eius parte stabat, et nonnullos milites, quibus a rege imperatum erat, ut cum hoc contra Augustum bellum sustinerent, equis privans et cetero apparatu nudos inde expulit. deinde paululum intermittens cum rege et eius militibus ad Cilicum terram profectus est, tum in ea hiberna faciens (vergebat enim auctumnus), tum alium exercitum tuto colligens eosque qui a sultano mitterentur, post talem dilationem excepturus.

Ignorarunt autem, se inferiorem partem elegisse et peiora sibi consuluisse. cum enim qui primum in fugam verterat Augustum in proelio contra Alyaten inito, ad regiam rediret, totus eius exercitus dispersus est, cum hiems appropinquasset, atque facile fuit Augusto

λεῖν, ὅση κατὰ Πισιδίαν καὶ Ἰσαυρίαν καὶ αὐτὴν Λυκαονίαν, εἴς αὐτήν τε τῶν Παφλαγόνων καὶ Ὀνωριάδα, καὶ πάντας τῷ πλήθει βιάσασθαι γενέσθαι ὑφ' ἑαυτόν, εἶτα καὶ εἰς Βιθυνίαν εἰσδῦναι, καὶ πᾶσαν ἄδειαν ἐμφράξαι τοῖς ἐκ τοῦ Βυζαντος στρατιώτας κατ' αὐτοῦ συναγεῖραι καὶ πόλεμον ἐπεγεῖραι τούτῳ ἄξιον λόγου καὶ πράγματος· οἱ γὰρ τῆς ἑσπέρας στρατιῶται τὴν κατ' αὐτοῦ ἐξομόσαντες ἀπιστίαν διὰ τὸ προκατασφαλισθῆναι ὅρκοις μὴ ἄν ποτε συμφρονῆσαι τοῖς κατ' αὐτοῦ γενησομένοις . . . νῦν δὲ μὴ καλῶς βουλευσάμενος κακοῖς ἀπλέτοις καὶ περιωδύνοις περι . . .'ρη πράγμασιν. ἐμβαλὼν γὰρ εἰς τὴν τῶν Κιλίκων χώραν, δυσδιοδεύτους (f. 203 r.) αὐλῶνας ἔχουσαν ἐκ τῶν Ταύρου ὀρῶν, ἔμενε κατὰ χώραν ὥσπερ ἑαυτὸν ἐγκαθείρξας ἐπὶ τῷ μένειν ἀπρόϊτον, ἄδειαν δὲ τοῖς ἀντιτεταγμένοις παρέσχεν ἀδεῶς στρατιώτας ἀγείρειν καὶ τὸν πολεμικὸν ποιεῖσθαι κατάλογον. ἐκπεμφθεὶς γὰρ ὁ ἕτερος τῶν υἱέων τοῦ Καίσαρος Ἀνδρόνικος πρωτοπρόεδρος, καὶ προβληθεὶς δομέστικος τῆς ἀνατολῆς, ἐν παρασκευῇ πάντας τοὺς στρατιώτας πεποίηκε, σιτηρέσια διανείμας αὐτοῖς καὶ κατὰ μικρὸν ἅπαντας προοικειωσάμενος, συναιρομένου τοῦ Κρισπίνου. καὶ οὕτως μετὰ τὸ συστῆσαι τὴν ὅλην σύνταξιν τῶν δυνάμεων προήει κατὰ τοῦ Διογένους ὡς τῆς Κιλίκων ἐπιβησόμενος, καὶ τὴν συνήθη κλεισοῦραν τὴν τοῦ λεγομένου καταλιπὼν Ποδαντοῦ διὰ τῆς τῶν Ἰσαύρων εἰς ταύ-

5. στρατιώταις C.

cum tanta multitudine in Graecorum terram incidere, quod attinet Pisidiam et Isauriam et Lycaoniam et Paphlagoniam et Onariadem omnesque multitudine sibi subiicere, deinde etiam in Bithyniam ingredi et omnem occasionem obstruere militibus Byzantiis, quominus contra eum opes cogerent et bellum moverent huic dignum verbo et facto. occidentales enim milites infidelitatem in eum eiuraverant, cum essent antea iureiurando obstricti se nunquam conspiraturos cum eius hostibus; tum autem non bene sibi consulens, malis ingentibus et miseris circumfusus est rebus. ingressus enim in Cilicum terram invias valles montium Tauri habentem, mansit in loco quasi se cingens ut ibi remaneret: occasionem autem hostibus praebuit tuto milites cogendi et bellicum instituere delectum. missus enim alter filiorum Caesaris, Andronicus praeses primus et designatus domesticus orientis, apparatu praeditos omnes milites reddidit, stipendia iis tribuens et brevi omnes sibi concilians adiuvante eum Crispino. atque ita postquam totum ordinem exercituum composuit, progressus est contra Augustum, Cilicum terram invasurus: et consuetis Podanti dicti angustiis relictis per Isauriam in hanc incidit, cum

την ἐνέβαλεν, οὐ πάνυ τι ἀπεχούσης τῆς τῶν Ταρσῶν πόλεως. δυσδιεξόδευτοι δ' ὄντες καὶ τραχεῖς καὶ ἀνάντεις καὶ λίαν στενόποροι οἱ διατειχίζοντες τῶν ὀρῶν αὐχένες τὴν Κιλικίαν οὐ μετρίαν ἐποίουν οὐδ' εὔοδον τῷ στρατῷ τὴν εἰσέλευσιν. ὅθεν καὶ εἴ τινες τῶν τοῦ Διογένους τὰς ἀκρωρείας κατεῖχον, καὶ μᾶλλον ἑκηβόλοι καὶ τοῖς ποσὶν ἐπιβαίνοντες, οὐκ ἂν ἠδυνήθη ποτὲ τὸ τοῦ Ἀνδρονίκου στρατόπεδον τὴν πορείαν διὰ τούτων ποιήσασθαι, εἰ μὴ καὶ μᾶλλον δέους ἐπειγομένου τοῖς στρατιώταις πρὸς φυγὴν ὥρμησαν. τούτου δὲ παραμεληθέντος εἰς κίνδυνον περιέστη τῷ Διογένῃ τὰ πράγματα. μετὰ γὰρ τὸ κατελθεῖν εἰς τὸ πεδίον τὸν σὺν τῷ Ἀνδρονίκῳ στρατὸν ὁ Χατατούριος ἐπελθὼν πόλεμον τούτοις συνέρρηξεν. οὐ διὰ πολλῆς δὲ γενομένου τῆς ὥρας αὐτοῦ ὡς ἂν τῶν Ῥωμαϊκῶν δυνάμεων τῷ τε πλήθει καὶ τῇ ἀρετῇ ὑπερεχουσῶν, πεσὼν ἐκ τοῦ ἵππου ὁ Χατατούριος πεζὸς ἑάλω, καὶ τῷ στρατηγοῦντι παρέστη γυμνὸς καὶ ἐλεεινὸς τῇ παρούσῃ τύχῃ καὶ τῇ ἐλπίδι τῶν μελλόντων κακῶν. τῶν δ' ἄλλων συμφυγόντων εἰς τὸ τῆς Ἀδάνης κάστρον, ἐν ᾧ περ ὁ Διογένης ἐκάθητο, πολιορκία τὴν τοιαύτην πόλιν ἀκριβῶς διεδέξατο· περικαθίσαντες γὰρ αὐτὴν οἱ μετὰ τοῦ Ἀνδρονίκου Ῥωμαῖοι σπάνει τῶν ἀναγκαίων τοὺς ἔνδον οὐκ εἰς μικρὰν τὴν ἀγωνίαν ἐνέβαλον. τέως δ' οὖν περὶ σπονδῶν διαλεχθέντων ἀλλήλοις, συνέδοξεν ἀποθέσθαι μὲν τὴν βασιλείαν τὸν Διογένην, συναποθέσθαι δὲ καὶ τὴν τρίχα, καὶ

1. *Ταρσέων?* 11. *τὸν* om C. 13. *γενομένης* C.

omnino non ita abesset Tarsus urbs. inviae autem et asperae et praecipites et valde angustae montium valles, quae terram defendebant, Ciliciam non aptam reddebant neque expeditam exercitui invasionem. quamobrem etiam si qui ex Augusti militibus cacumina obtinuissent et magis in iaculando et pedibus in ascendendo expediti, non potuisset unquam Andronici exercitus iter per haec facere, nisi potius metu militibus instante in fugam se verterent. qua tamen re neglecta periculum subierunt Augusto res. postquam enim degressus est in campum cum Andronico exercitus, Chataturius aggressus bellum his iniecit: sed cum non in longum extenderetur eius aevum, quasi Graecorum vires et multitudine et virtute superiores essent, delapsus equo Chataturius pedes captus est, et coram duce stetit nudus et miser fortuna instante et exspectatione futurorum malorum. cum autem ceteri in Adanam castellum fugissent, in quo Augustus residebat, oppugnatione hanc urbem certo accepit. obsidentes enim eam qui cum Andronico erant Graeci inopia rerum necessariarum intus inclusos non parvo labori iniecerunt. cum igitur de foedere inter se colloqueren-

οὕτω τὸν βίον ἕλκειν ἄχρι βιοτῆς ἁπάσης τοῖς μοναχοῖς συγκαταλεγόμενον.

Γέγονε τοῦτο, καὶ μετὰ μικρὸν ἐξῆλθε τοῦ κάστρου μελανειμονῶν καὶ τὰ καθ' ἑαυτὸν ὡς ἔσχεν ἀποκλαιόμενος, ὅτε καὶ πολλοῖς εἰσῄει δριμὺς καὶ ἀκάθεκτος ἐπὶ τοῖς δρωμένοις φόβος καὶ ἔλεος, λογιζομένοις τὸ ἄστατον τῶν πραγμάτων καὶ πρὸς ἐναντιότητα περιπετὲς καὶ ὀξύρροπον. ἦσαν γὰρ ἅπαντες οἱ τούτῳ πολλάκις συστρατευσάμενοι καὶ δορυφόρων τάξιν πληρώσαντες, καὶ τὸ κράτος αὐτῷ περιφημίζοντες ὄλβιον, καὶ προσιτοὶ γενέσθαι τούτῳ δι' εὐχῆς ὅτι μεγίστης ποιούμενοι, εἶτα καὶ συνεξελθόντες αὐτῷ ἐκ Συρίας καὶ τῇ Ἀδάνῃ ἐμβαλόντες, βασιλικῶς δουλικῶς προσεδρεύσαντες. ἀναπεμπαζόμενοι τοίνυν τήν τε προτέραν εὐτυχίαν καὶ τὴν παροῦσαν ἀτυχίαν, ὅπως εἰς ἄκρον ἐναντιότητος ἥκασι, κατηφιῶντες ἦσαν καὶ ἀμηχανοῦσιν ἐῴκεσαν. νόστου δ' ἐπιμνησθέντος τοῦ στρατηγοῦ, ἐπανήρχετο μὲν ἡ στρατιὰ τὴν ἐπ' οἴκου ἐλαύνουσα, παρεπέμπετο δὲ καὶ ὁ Διογένης, εὐτελεῖ f. 203 v. τῷ ὑποζυγίῳ καὶ μοναχικῷ καταστήματι δι' ἐκείνων τῶν κωμῶν καὶ τῶν χωρῶν πορευόμενος, δι' ὧν τὸ πρόσθεν μετὰ βασιλικῆς τῆς δορυφορίας ἰσόθεος ἐγνωρίζετο. μέχρι δὲ τοῦ Κοτυαείου τὴν πορείαν ὀδυνηρῶς ποιησάμενος (καὶ γὰρ νοσηλευόμενος ἦν ἀπὸ κοιλιακῆς διαθέσεως, ἥτις ἐκ κωνείου τούτῳ κατασκευασθέντος παρὰ τῶν ἐναντίων ἐπιγενέσθαι ἐλέ-

5. πολὺς C. 12. an βασιλεύοντι?

tur, placuit, Augustum deponere imperium, deponere etiam crinem atque ita totam vitam ducere, monachis adscriptum.

Factum est hoc: atque brevi post egressus est castello, sordida indutus veste et conditionem suam deflens, quando etiam multus incessit et acer et irresistibilis spectantes metus et misericordia, cum secum reputarent incertitudinem rerum et in contrariam partem inclinationem. omnes enim cum hoc saepe profecti erant, et comitum ordinem explentes et victoriam ei celebrantes beatam et propius huic accedere maxime precantes, deinde etiam cum eo e Syria venerant, et Andanam ingressi regi humiliter affuerant. reputantes igitur priorem fortunam et instans malum, quomodo summam mutationem subiissent, attoniti erant incertisque animi similes. cum autem reditus meminisset dux rediit exercitus domum proficiscens, mittebatur autem etiam Augustus vili iumento et monachico habitu per illos pagos illaque loca, per quae proficiscens antea cum regio comitatu tanquam deus spectabatur. postquam usque ad Cotyaeum iter misere fecit, (etenim laborabat ex abdominis dispositione, quae cicuta huic parata a contrariis accidisse dicebatur), retentus est ab iis, qui eum agebant, donec a

γετο) κατεσχέθη παρὰ τῶν ἀγόντων αὐτόν, ἕως ἐκ βασιλέως πρόσταξίς τις ἐπιφοιτήσει τὸ ποιητέον περὶ αὐτοῦ ἐπιτάττουσα. ἀλλ' ἧκεν ἡμέραις ὕστερον ἡ πάντων ἀθηνεστέρα καὶ ἀποφημοτέρα κατὰ τοῦ τὰ τοιαῦτα δεδυστυχηκότος ἀπόφασις, διοριζομένη τοὺς ὀφθαλμοὺς τούτου παραυτίκα διορυγῆναι.

Τί φῄς, ὦ βασιλεῦ καὶ οἱ σὺν σοὶ τὴν ἀνοσίαν βουλὴν κατασκευασάμενοι. ἀνδρὸς ὀφθαλμοὺς μηδὲν ἀδικήσαντος, ἀλλὰ τὴν ἑαυτοῦ ψυχὴν ὑπὲρ πάσης τῆς Ῥωμαίων εὐετηρίας, καὶ τοῖς πολεμικωτάτοις ἔθνεσιν ἀντιταξαμένου μετὰ καρτεροῦ τοῦ συντάγματος, ἐξὸν ὂν αὐτῷ ἀκινδύνως τοῖς βασιλείοις προσμένειν καὶ στρατιωτικοὺς πόνους καὶ φόβους ἀποτινάσσεσθαι; ἐκείνου οὗ καὶ τὴν ἀρετὴν πολέμιος αἰδεσθεὶς ἠσπάσατό τε γνησίως καὶ λόγων καὶ ἁλῶν ὡς ἀδελφῷ μεταδέδωκε, καὶ σύνθρονον τὸν αἰχμάλωτον ἐποιήσατο, καὶ ὡς ἀγαθὸς ἰατρὸς φάρμακον ἀκεσώδυνον τὰς τοιαύτας παρηγορίας τῷ φλεγμαίνοντι τῆς λύπης ἐπέθηκεν, ὥστε δικαίως τὴν νίκην ὑπ' ἀθλοθέτῃ θεῷ λαβεῖν ὁ σουλτάνος διαγινώσκεται, τοιοῦτος ἀποδειχθεὶς ἄνθρωπος, καὶ τοσοῦτον ὄγκον φρονήσεως καὶ ἀνεξικακίας ἐπιδειξάμενος. σὺ δὲ τί προστάττεις, ὦ βασιλεῦ; ἀποστερηθῆναι καὶ αὐτοῦ τοῦ φωτὸς καὶ τῆς δεδομένης αὐτῷ θεόθεν τῶν ὁρωμένων κατανοήσεως τίνα τοῦτον; τὸν πατρὸς ἐπὶ σοὶ πρᾶξιν εἰληφότα καὶ νόμῳ καὶ πράγ-

rege mandatum deferretur, quid in eum faciendum esset, iubens: sed delata est nonnullis diebus post omnium crudelissima et immanissima contra eum, qui talia perpessus erat, declaratio, imperans, ut oculi huius extemplo effoderentur.

Quid censes, o rex et qui tecum impium consilium pararunt: hominis oculi, qui nihil iniusti fecisset, sed suam vitam pro omni Graecorum fortuna idque inimicissimis populis opposuisset cum firmo exercitu; cum ei liceret, sine periculo in regia manere, et militares labores et horrores excutere, illius, cuius etiam virtutem hostis veritus eum amplexus est sincere, et sermones et mensam ut cum fratre communicavit, et regni consortem captivum reddidit, et tanquam medicus bonus medicinam dolores lenientem talia solatia aestuanti moerore imposuit, ita ut iure victoriam deo praemia disponente reportasse sultanus cognoscatur, talis declaratus homo, et tantam gravitatem mentis et patientiae ostentans. tu vero, quid imperas, rex, ut privetur et ipso viro et data ei divinitus videntium cognitione, hic qualis! qui patris tuo aevo negotium susceperit et lege et facto, qui regnum amiserit et tibi hoc proiecerit, qui ex purpura sordidus factus

ματι, τὸν ἀποβεβληκότα τὴν βασιλείαν καὶ σοὶ ταύτην προέμενον, τὸν ἐκ πορφυρίδος ῥακοδυτήσαντα, τὸν εἰς βίον μονήρη μεταλλαξάμενον καὶ τοῖς γηΐνοις πᾶσιν ἀποταξάμενον, τὸν ἀσθενῆ καὶ παρειμένον καὶ ἀκεσωδύνου μᾶλλον θεραπείας καὶ ψυχαγωγίας ἐπιδεόμενον, τὸν ἀπειρηκότα τοῖς ὅλοις, ἀσθενοῦντα καὶ κακουχούμενον, τὸν ὡς κάλαμον συντετριμμένον καὶ ὄμβροις δακρύων ἐκτετηκότα τοὺς ὀφθαλμοὺς καὶ τὸ πρόσωπον. ἀλλ' εἰ καὶ ταῦτα τοιαῦτα καὶ τοσαῦτα πρὸς πειθὼ παρακλήσεως, μᾶλλον δὲ πλείω τούτων, ὅσῳ καὶ τὸ ἀγγελικὸν σχῆμα σιωπηρῶς σοι παρίσταται πρὸς παράκλησιν, ἀλλὰ σὺ πάντως τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ τοῦ βασιλεύειν ἐπιμανῶς καὶ ἀκορέστως τὸ πλεῖον τῆς ῥοπῆς ἐπιδώσειας, μήτε τὸ σχῆμα αἰδούμενος μήτε τὴν μητρῴαν θηλήν, ἧς οἱ παῖδες ἐκείνου καὶ σοὶ ἀδελφοὶ κοινῶς μετεσχήκατε. ὄψεται δὲ πάντως καὶ σέ ποτε ὄμμα τιτανῶδες καὶ κρόνιον, καὶ τὰς τύχας σοι πρὸς τὴν ὁμοίαν παραστήσει κακότητα.

Ἀλλὰ ταῦτα μὲν ὡς ἐν τῷ τραγῳδίας τρύφει διὰ τὸ f. 204 r. πάθος παρεκβατικώτερον εἴρηται. ἐπιφοιτήσαντος δὲ τοῦ παγκακίστου τούτου καὶ ἀνοσίου προστάγματος, δεύτερος πάλιν ἀγὼν ὁ περὶ ψυχῆς καὶ φόβος οἷος καὶ κλόνος ἀπαραμύθητος τὸν ἐν τοσούτοις κατέλαβε δυστυχήμασι. διὸ καὶ λιταῖς τοῖς ποσὶ τῶν ἐκεῖσε ἀρχιερέων ἐκυλινδεῖτο, καὶ τὴν ἐκ τούτων βοήθειαν, ὅση τις ἧ ἰσχύς, μετὰ κατωδύνου καὶ ἀφορή-

sit, qui in vitam solitariam transierit, et terrenis omnibus se abdicaverit, qui infirmus et relictus fuerit et magis dolores leniente cultu animique moderamine indiguerit, qui defatigatus omnibus aegrotaverit et vexatus sit, qui ut calamus confectus sit et imbribus lacrimarum maceratus in oculis et ore. sed etiamsi haec talia et tanta ad suadelam admonitionis sive potius his maiora pertinent, praesertim cum habitus monasticus tacite tibi adstet ad admonitionem: sed tu omnino animo et cupiditati regnandi avide et impotenter plurimum momenti tribueres, neque habitum veritus neque maternam mammam, cuius filii illius tuique fratres aeque participes fuistis. videbit autem omnino etiam et aliquando oculus puniens et perficiens, et fortunam tibi pro simili constituet pravitate.

Sed haec quasi in tragoediae frusto propter dolorem latius sunt dicta. allato autem permalo hoc et impio edicto alterum rursus certamen vitae et terror ingens et turba immutabilis hunc tantis malis circumdatum deiecit: quamobrem etiam precibus ante pedes summorum ibi versantium pontificum se proiecit, et horum auxilium, quanta est vis cum misero et intolerabili impetu, invocabat calide. aderant

του τῆς συντριβῆς ἐξεκαλεῖτο θερμῶς. παρῆσαν γὰρ ἐκεῖσε ὅ τε Καλχηδόνος ὁ Ἡρακλείας καὶ ὁ Κολωνείας, τὰς σπονδὰς αὐτῷ συντελέσαντες. ὑπεμίμνησκε δὲ αὐτοὺς καὶ ὅρκων καὶ τῶν ἐκ τοῦ θείου νεμέσεων. οἱ δέ, καί περ βοηθῆσαι τούτῳ βουλόμενοι, ὅμως ἀσθενῶς ἔσχον ἀνδρῶν ἀπηνῶν ἅμα καὶ αἱμηστῶν ἀναρπασάντων αὐτὸν καὶ ὡς ἱερεῖον ἀγόντων ἐπὶ τὸ σφάγιον. καὶ εἰς τὸ κάστρον ἐγκλείσαντες, θαμὰ πρὸς πάντας ἐπιστρεφόμενον καὶ τὴν τῶν ἀρχιερέων κατόπιν παρρησίαν ἰδεῖν διηνεκῶς ἐπευχόμενον, οἰκίσκῳ τινὶ παραπέμπουσι, καί τινα Ἰουδαῖον ἀμαθῆ τὰ τοιαῦτα τὴν τῶν ὀφθαλμῶν αὐτοῦ διαχείρισιν ἐπιτρέπουσι. δήσαντες αὐτὸν ἐκ τεσσάρων, καὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πολλοὺς δι' ἀσπίδος ἐπιστηρίξαντες, φέρουσι τὸν Ἰουδαῖον περιωδύνως ἄγαν καὶ ἀπηνῶς σιδήρῳ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκταράττοντα, βρυχωμένου κάτωθεν καὶ ταύρειον μυκωμένου καὶ μηδένα τὸν οἰκτείροντα ἔχοντος. οὐ μὴν ἅπαξ τοῦτο παθὼν ἀφείθη τῆς τιμωρίας, ἀλλὰ τριχῇ τὸν σίδηρον τοῖς τούτου κατέβαψεν ὄμμασιν ὁ τῆς θεοκτόνου τυγχάνων σειρᾶς, ἕως καὶ πληροφορίαν δι' ὅρκου κείμενος ἔθετο πᾶσαν τὴν οἰκονομίαν ἐκχυθῆναι καὶ ἀπορρεῦσαι τῶν ἑαυτοῦ ὀφθαλμῶν. ἐγερθεὶς οὖν αἵματι διαβρόχους ἔχων τοὺς ὀφθαλμούς, θέαμα δ' οἰκτρὸν καὶ ἐλεεινὸν καὶ θρῆνον ἐπιφέρον τοῖς ὁρῶσιν ἀκάθεκτον, ἡμιθνὴς ἔκειτο, προκατειργασμένος μὲν καὶ τῇ νόσῳ, τότε δὲ

10. τινι Ἰουδαίῳ ἀμαθεῖ? 14. ἐκταράττοντες C.

enim ibi pontifices Chalcedoniae, et Heracleae et Coloneae, qui foedus cum eo perfecerant: admonuit eos et iurisiurandi et ultionis divinae. illi autem quamvis auxilium ei praebere volentes tamen infirmi erant, cum homines crudeles et feri eum raperent et quasi animal agerent ad sacrificium: et castello includentes hunc frequenter ad omnes respicientem et pontificum postea orationem liberam experiri perpetuo precantem conclavi immittunt: atque Iudaeo cuidam imperito talium rerum oculorum eius confectionem imponunt, vincientes eum ex quatuor partibus et pectori atque abdomini multos scuto imprimentes, ferunt Iudaeum, cum misere nimis et crudeliter ferro oculos eius effoderent ululantis ex intimo pectore et tauri instar mugientis neque quenquam misericordem habentis: neque tamen semel hoc passus liberatus est ultione, sed ter ferrum huius oculis immersit iste assecla coniunctionis deum cruciantis, donec vel fidem iureiurando iacens dedit, totum nexum effusum esse et effluxisse oculorum. experrectus igitur sanguine madidos habens oculos, et spectaculum lamentabile et miserum quodque planctum afferret videntibus intolera-

τοῖς ὅλοις ἀπαγορεύων καὶ τῆς βασιλικῆς ἐκείνης λαμπρότητος καὶ τῆς μέχρις οὐρανοῦ φθανούσης δόξης, μᾶλλον δὲ τῆς ὑπὲρ τῶν Ῥωμαίων ἀνδραγαθίας τοιαῦτα κομισάμενος τὰ ἐπίχειρα. προαχθεὶς οὖν ἐν εὐτελεῖ τῷ ὑποζυγίῳ μέχρι τῆς Προποντίδος αὐτῆς, ὥσπερ πτῶμα σεσηπὸς εἵλκετο, τοὺς μὲν ὀφθαλμοὺς κατορωρυγμένους ἔχων, τὴν δὲ κεφαλὴν σὺν τοῖς προσώποις ἐξῳδηκυῖαν, καὶ σκώληκας ἐκεῖθεν δεικνὺς ἀποπίπτοντας. ἡμέρας δ' ὀλίγας διαλιπὼν ἐπωδύνως τὸν 1071 Oct. βίον, καὶ πρὸ τῆς τελευτῆς ὀδωδώς, ἀπολείπει, τῇ νήσῳ τῇ Πρώτῃ τὸν χοῦν ἀποθέμενος κατὰ τὴν ταύτης ἀκρώρειαν, ἔνθα νέον ἐκεῖνος ἐδείματο φροντιστήριον, κηδευθεὶς μὲν πολυτελῶς παρὰ τῆς πρὶν βασιλίδος καὶ ὁμευνέτιδος Εὐδοκίας, τῆς τοῦ κρατοῦντος μητρὸς (ἐκείνη γὰρ αἰτησαμένη τὸν υἱὸν τὴν νῆσον ταύτην καταλαβεῖν τούτῳ τὰ τῆς ὁσίας φιλοφρόνως ἐτέλεσε), μνήμην δὲ καταλιπὼν τοῖς μετέπειτα τῶν τοῦ Ἰὼβ ἐκείνου δυστυχημάτων ὑπερβαίνουσαν τὴν ἀκρόασιν. τοῦτο δὲ θαυμασιώτατον ἅμα καὶ γενναιότατον τοῖς f. 204 v. πᾶσι διήγημα καταλέλοιπεν, ὅτι ἐπὶ τοῖς τηλικούτοις πειρασμοῖς καὶ ἀπαραμίλλοις κακοῖς οὐδὲν βλάσφημον ἢ μικρόψυχον ἀπεφθέγξατο, ἀλλ' εὐχαριστῶν διετέλει καὶ χρόνων προσθήκην ἐπιζητῶν ἐν κακοῖς, ἵνα εὐαρεστήσῃ, φησίν, τῷ ποιήσαντι, τὸν τῆς ἀσκήσεως δρόμον διανύων ἐπιπονώτερον.

Ἀλλ' ὁ μὲν ἐν τοσούτοις ἀνιαρῶς τὸ ζῆν καταστρέψας,

14. ὀσσίας C.

bilem, semimortuus iacebat: antea iam confectus vel morbo, tum vero omnibus se abdicans postquam et regii illius splendoris et ad coelum usque erectae gloriae, atque adeo meritorum de Graecis suorum talia accepit praemia. Vectus igitur simplici iumento usque ad Propontidem, quasi cadaver putrescens trahebatur, oculos defossos habens, caput autem cum ore tumefactum, et vermes inde exhibens decidentes: paucis autem diebus intermissis misere vitam atque ante mortem olens relinquit, insulae Protae (primae) sepulcrum tradens in eius iugo, ubi nuper ille monasterium exaedificaverat; curatus magnifice a priore regina et uxore Eudocia imperatoris matre: (illa enim a filio petens, ut insulam hanc occuparet, huic res religiosas benevole perfecit:) atque memoriam relinquens posteris, quae gloriam malorum Iobi illius excederet. hoc autem mirabilissimum simul et nobilissimum omnibus argumentum reliquit, quod in tantis periclitationibus et singularibus malis nihil impii aut tenue pronuntiavit, sed gratiam referre perseverabat et temporis accessionem quaerere in malis ut placeret, ait, ei qui proposuisset tentationis cursum, si perficeret eum laboriose.

Sed hic quidem postquam in tantis misere vitam finivit, multum

πολλὴν τοῖς πειραζομένοις παρηγορίαν ἐνέσταξεν (ὅσῳ γαρ ἄν τις καὶ πειρασθείη, οὐκ ἂν τοῖς τούτου κακοῖς παρισωθείη ποτέ)· ὁ δὲ τὴν βασιλείαν διαδεξάμενος, ὁ τούτου προγονὸς Μιχαὴλ, τὴν τῶν Ῥωμαίων ἀρχὴν περιεζωσμένος ἐπιεικής τις ἐδόκει, καὶ γέρων ἐν νέοις διὰ τὸ παρειμένον καὶ ἁπαλὸν ἐλογίζετο. προσελάβετο γὰρ τῶν κοινῶν πραγμάτων διοικητὴν ἄνδρα λόγῳ καὶ πράξει τῶν πολλῶν διαφέροντα, καὶ γνώμης περιχαροῦς καὶ ἀρετῆς ἱκανῶς ἀντεχόμενον, καὶ πᾶσιν ἱλαρῶς προσφερόμενον, ἀρχιερέα μὲν τῆς ἐν Σίδῃ καθολικῆς ἐκκλησίας ὑπάρχοντα, τὴν πρώτην προεδρίαν τῶν πρωτοσυγκέλλων ἐπέχοντα, Ἰωάννην τοὔνομα, εὐνοῦχον δὲ τὴν κατάστασιν, ὑπὲρ εὐνοῦχον δὲ τὴν ἀγαθότητα καὶ τὴν πολιτείαν καὶ τὸ μειλίχιον καὶ σωστικὸν καὶ τὸ εὐπρόσιτον ἐνδεικνύμενον· ὅθεν καὶ τῇ τοῦ βασιλεύοντος ἁπλότητι καὶ ἀφελείᾳ τὰς οἰκείας προσθεὶς ἀρετὰς εὐχάριστον τοῦτον ἐποίει καὶ τοῖς ὑποτεταγμένοις εὐάρεστον, ὅσον γε ἧκει κατὰ τοὺς τότε καιρούς. ἀλλ' ἔμελλε πάντως τῷ εὐγενεῖ τοῦ σίτου παραμιγῆναί τι καὶ ζιζάνιον, ἢ τῇ τῆς νυκτὸς ἐπιφοιτήσει τὴν ἡμέραν ἀναγκαίως ὑποχωρῆσαι. ἦν γάρ τις εὐνοῦχος ὀνόματι Νικηφόρος, ἐκ Βουκελλαρίων ἕλκων τὸ γένος, δεικὸς ἐπινοῆσαι καὶ ῥάψαι πράγματα καὶ πολλὴν τῇ καταστάσει τὴν τρικυμίαν ἐπενεγκεῖν, ὃς εἰς τάξιν τῶν σεκρετικῶν ὑποθέσεων τῷ πατρὶ τοῦ Μιχαὴλ ὑπηρετησάμενος Κωνσταντίνῳ τῷ

iis qui tentantur solatium infudit: quantumvis enim quis tentetur, non tamen huius mala aequet unquam. qui autem regnum suscepit, huius avus Michael, Graecorum imperio cinctus, idoneus videbatur et senex inter iuvenes propter mores remissos et molles habebatur. adhibuit enim rerum communium administratorem, virum verbo et re multitudini excellentem, et iudicii grati et virtutis satis participem, et omnibus comiter utentem, pontificem maximum communi Sid . . . ecclesiae praepositum, principatum Protosyncellorum (i. e. Concellaneorum) obtinentem, Ioannem nomine dictum, eunuchum habitu, qui tamen praeterea bonum et rerum civilium peritum et suavem et servatorem et communem se praebebat, quare etiam regis simplicitati et communitati suae addens virtutes, gratum hunc reddebat et subiectis iucundum, quantum quidem tum temporis decebat. sed futurum erat, ut omnino nobili frumento admisceretur etiam herba prava, vel ut noctis adventui dies necessario cederet. erat enim eunuchus quidam, nomine dictus Nicephorus, a Bucellariis ducens genus, qui valebat cognoscere et instruere res, et multam firmis turbationem inferre: qui quidem in ordine consilii secreti patri Michaelis serviens Constantino

Δούκᾳ, ἐπεὶ καὶ σκαιὸς ἐφάνη καὶ διαβολεὺς καὶ σοφιστὴς τῶν κακῶν ὡς καὶ κατὰ τῆς Αὐγούστης μοιχείας ἔγκλημα τῷ βασιλεῖ ὑποψιθυρίσαι φθόνῳ τοῦ συνεξυπηρετουμένου καὶ συνδιενεργοῦντος αὐτῷ Μιχαὴλ τοῦ Νικομήδου, τῆς μὲν βασιλικῆς παραστάσεως ἀπεπέμφθη, δοὺξ δὲ τῆς κατὰ κοίλην Συρίαν Ἀντιοχείας ἀποδειχθεὶς οὐδὲ τοῖς ἐκεῖσε μέρεσιν ἀπράγμονα καὶ ἀστασίαστον τὴν διαγωγὴν καταλέλοιπε, προφάσεις πολέμων ἐκ κατασκευῆς φρουρίων ἐπισυνείρων, καὶ διανιστῶν τοὺς Σαρακηνοὺς ἀντιπολίσματα συνιστᾶν εἰς τὴν τῆς ἄκρας ἐπίθεσιν. καὶ πολεμεῖν μὲν τούτοις ἢ καταπολεμεῖν μὴ δυνάμενος, ἀντιπολεμεῖν τοῖς Ῥωμαίοις καὶ ἀνθιστᾶν προσοίκους πόλεις τοῖς Ῥωμαϊκοῖς ὁρίοις ἠρέθιζεν· οὐ μὴν ἀλλ' οὐδὲ τοῖς ἐγχωρίοις Ἀντιοχεῦσιν ἀνενόχλητον καὶ ἄλυπον τὴν διαγωγὴν συνετήρησε, ποτὲ μὲν τὰς κτήσεις αὐτῶν ἀφαιρούμενος, ποτὲ δὲ καταβαρύνων αὐτὰς ἀπαιτήσεσι παραλόγοις καὶ ἀπηνέσιν ἐπιφοραῖς. ὃς τῆς ἀρχῆς ταύτης παραλυθείς, καὶ μετὰ ταῦτα πάλιν, οἷα τὰ τοῦ κρατοῦντος τότε περιπετῆ καὶ ἀκυβέρνητα ἐφευρήματα, πεμφθεὶς εἰς δευτέ- f. 205 r.
ραν ἡγεμονίαν, οὐκ ἐλάττω τῶν προτέρων τὴν μοχθηρίαν εἰσήνεγκε. τοῦ δὲ βασιλεύοντος τεθνηκότος, καὶ τῆς Αὐγούστης τὴν αὐτοκράτορα περιελομένης ἀρχήν, ἔσχε τις ἐναντία τύχη τὸν πονηρότατον τοῦτον καὶ ἀδικώτατον. βασιλικὸν γὰρ δόγμα καταλαβὸν αὐτὸν εἰς τὴν Ἀντιόχειαν τῇ τοῦ αἵματος φρουρᾷ παραδέδωκε, καὶ ἦν ἔμφρουρος ἐπὶ χρόνον τινὰ κατ'

4. Νικομηδέως? 8. πολεμίων C.

Ducae, cum tortuosus appareret et calumniator et machinator malorum, ita ut etiam de Augustae adulterio convicium regi insusurraret invidia commotus Michaelis Nicomedi, qui cum eo serviebat et agebat, a regia quidem aula dimissus est, dux autem Antiochiae Coelesyriensis declaratus, ne his quidem partibus intentatam et inturbatam administrationem reliquit: simulationes infestorum apparatu praesidiorum conserens et excitans Saracenos, ut oppida adversa struerent ad arcis impetum, et cum bellare contra hos vel debellare non posset, ad bellandum contra Graecos et resistendum urbes Graecorum finibus vicinas excitabat. sed ne indigenas quidem Antiochenses quiete et sine molestiis agere sivit, modo bonis spoliatos, modo erogationibus temerariis gravatos tributisque crudelibus. qui hoc munere exutus mox iterum, ut erant eius qui tum regnabat praecipitia et turbida consilia, in secundam missus praefecturam non minorem attulit pravitatem. rege mortuo et Augusta regnum adepta, varia fuit pessimi et iniustissimi hominis fortuna. rescriptum enim imperatorium Antiochiae eum deprehensum in vincula tanquam percussorem coniecit, et iacuit

ἐκεῖνον τὸν χῶρον ἐν ᾧ τὸ πρόσθεν περίδοξος ἐγνωρίζετο, τῆς προτέρας εὐετηρίας τοιαύτην δυσκληρίαν ἀνταλλαξάμενος. ἀναρρυσθεὶς δὲ τῇ τοῦ Διογένους ἀναγορεύσει καὶ εἰς νῆσον ἐξορισθείς, ὑποσχέσεσι δὲ χρημάτων δικαστὴς Πελοποννήσου καὶ Ἑλλάδος ἀποπεμφθείς, τὰ κατὰ τὴν ἐπαρχίαν ἐκείνην διοικούμενος ἦν. τοῦτον ἐπὶ κακῷ τῆς τῶν Ῥωμαίων ἀρχῆς μεταπεμψάμενος ὁ τὴν βασιλείαν ἐσχηκὼς Μιχαήλ, καὶ μετὰ μικρὸν εἰς τὴν τῶν κοινῶν πραγμάτων διοίκησιν προστησάμενος, καὶ λογοθέτην ἀποδείξας τοῦ δρόμου, ταῖς ἐκείνου μαγγανείαις καὶ περινοίαις ἁλώσιμος γέγονεν, οἷα φρονήματος ἄμοιρῶν σταθηροῦ καὶ μειρακιωδῶν ἀθυρμάτων μὴ ἀποδέων. προσωπεῖον γὰρ εὐνοίας ὁ Νικηφόρος ἐπιδειξάμενος ἔξωθεῖ μὲν τὸν ἐπιεικέστατον ἄνδρα καὶ λογιώτατον μητροπολίτην τῆς Σίδης τοῦ τὰ κοινὰ διοικεῖν, προφάσεις διὰ παρενθέτων προσώπων κατ' αὐτοῦ ἐσκαιωρηκώς, παραγκωνίζεται δὲ καὶ τὸν τοῦ βασιλεύοντος θεῖον τὸν Καίσαρα, καὶ τῷ βασιλεῖ περιφρονούμενον ἢ μᾶλλον εἰπεῖν ὕποπτον ἀπεργάζεται. καὶ ἁπλῶς πάντας τοὺς οἰκειοτάτους πολεμιωτάτους εἶναι συκοφαντήσας καὶ τῆς τοῦ βασιλέως ἀποστερήσας ἐγγύτητος, ὅλον εἰς ἑαυτὸν ὑποποιεῖται τὸν μειρακίσκον ἄνακτα. καὶ τοῦτο ἦν βασιλικὸν ἐπίταγμα καὶ συντήρημα, ὅπερ τῷ κακίστῳ τούτῳ Νικηφόρῳ συνέδοξεν. ἐντεῦθεν κατηγορίαι καὶ ἀπαιτήσεις ἀθώων ἀνδρῶν καὶ ἀποτίσεις ἀχρεωστήτων, καὶ κρίσεις τῷ δημοσίῳ τὸ πλέον ἢ τῷ δικαίῳ προσνέμουσαι, ἀφ' ὧν δημεύσεις κα-

1. τῆς] καὶ τῆς C.

aliquantisper in carcere, eo loco ubi antea clarus habebatur, antiqua felicitate in tale infortunium conversa. emissus autem cum Diogenes proclamaretur, et in insulam relegatus, pecuniis vero promissis iudex Peloponnesi et Graeciae constitutus illam provinciam administrabat. hunc postquam cum damno imperii Romani arcessit Michael ad regnum evectus, paulo post universa negotiorum cura ei commissa logothetae cursus creato, eius se machinationibus et astutiis captivum tradidit, quippe qui solidae mentis expers delectaretur puerilibus. simulata enim benevolentia Nicephorus virum modestissimum et sapientissimum, Sidae archiepiscopum, a muneribus publicis depellit, insidiatus ei per homines immissos. excludit autem etiam avunculum imperatoris, et imperatori contemptum vel potius suspectum reddit. et omnino coniunctissimum quemque ei infensissimum esse calumniatus ab aditu regis prohibuit, ipsum autem adolescentulum totum sibi subiecit; et id edicebat et servabat rex quod pessimo huic erat visum. inde accusabantur et postulabantur insontes, et pendebant quae non debebant; inde iudicia fisco plus quam iustitiae tribuebant; inde publicabantur bona

θολικαί τε καὶ μερικαί, κατηγορίαι συχναί, φισκοσυνηγορίαι πολλαί, καὶ θρῆνος τῶν πασχόντων καὶ σκυθρωπότης οὔτι μικρά.

Ἀλλὰ τούτων οὕτω γινομένων καὶ κακῶς διαγινομένων θεήλατός τις ὀργὴ τὴν ἑώαν κατέλαβεν· οἱ γὰρ ἐκ Περσίδος ἐπιφανέντες Τοῦρκοι τοῖς Ῥωμαϊκοῖς ἐπιστρατεύσαντες θέμασι, δεινῶς κατελυμαίνοντο καὶ κατῄκιζον ταῦτα ταῖς συνεχέσιν ἐπιδρομαῖς. σκεψάμενος δ' ὁ βασιλεὺς στρατιὰν ἐλάσαι κατ' αὐτῶν ἀξιόλογον, συναγείρει μὲν στρατόπεδον, νεώτερον δὲ τούτοις ἡγεμόνα προβάλλεται. συνίστησι δ' αὐτῷ καί τινα Λατῖνον Ῥουσέλιον ἐπονομαζόμενον, Φράγγους αὐτῷ παραδοὺς τῶν τετρακοσίων οὐχ ἧττονας. ἐν δὲ τῷ Ἰκονίῳ γενομένου τοῦ στρατοπέδου, καὶ φιλονεικίας συνενεχθείσης τινός, ἀποστατεῖ τηνικαῦτα προφανῶς ὁ Ῥουσέλιος, καὶ τοὺς Φράγγους παραλαβὼν ἑτέραν ἐτράπετο, καὶ τὰ καθ' ἑαυτὸν τῷ ἰδίῳ ἐπιτρέπει βουλήματι. ἀνελθὼν οὖν εἰς Μελιτηνὴν καὶ Τούρκοις τισὶ συντυχὼν ἀριστεύει κατ' αὐτῶν, ἐξ ἐφόδου τούτοις ἐπεισπεσών. τὸ δὲ λοιπὸν ἅπαν τῶν Ῥωμαίων στρατόπεδον τῇ Καισαρέων μητροπόλει παραβαλὸν ἐν ταύτῃ τὸν χάρακα τίθησι. σκεψάμενος δὲ ὁ τὴν ἡγεμονίαν τοῦ πο- f. 205 v. *λέμου ἐπέχων (Ἰσαάκιος ὁ Κομνηνὸς οὗτος ἦν) ἐξ ἐφόδου τοῖς ἐναντίοις Τούρκοις συμμῖξαι, προῄει μὲν τῆς νυκτὸς μετὰ μοίρας τινὸς τοῦ στρατοῦ, ἀποτυχὼν δὲ τῆς ἐπιβουλῆς τὸ ἐναν-*

vel universa vel ex parte, rei frequentes, fisco addicta multa, luctus spoliatorum et tristitia non mediocris.

Sed haec cum ita fierent et male perficerentur, divina quaedam ira orientem cepit. Turcae enim ex Perside apparentes postquam provincias Graecas aggressi sunt, valde inquinabant vexabantque eas continuis incursionibus. rex autem cum statuisset manum ducere contra eos memoratu dignam, cogit exercitum et iuniorem his ducem praeficit: eique adiungit etiam Latinum quendam, Ruselium dictum, Francos ei tradens quadringentis non minus. cum autem Iconii versaretur exercitus et dissidium aliquod exortum esset, deficit tum palam Ruselius et Francos recipiens alio se vertit et res suas ex sua ipsius administrat voluntate. ascendens igitur Melitenen et Turcis nonnullis congressus superior iis evadit, cum iis primo impetu obvenisset. reliquus autem omnis exercitus Graecorum urbem Caesarum ingressus in ea vallum iacit: cum autem statuisset qui imperium belli obtinebat (Isaac Comnenus hic erat) primo impetu Turcis adversariis congredi, proficiscebatur noctu cum parte quadam exercitus: aberrans autem a consilio contrarium patitur voluntati suae: et adversariis paratis ob-

τίον πάσχει τῆς ἰδίας βουλῆς, καὶ τοῖς ἐναντίοις παρεσκευασμένοις περιπεσὼν ἀπαράσκευος συῤῥήγνυσι μὲν ἀκούσιον πόλεμον, ἡττᾶται δὲ περιγενομένων αὐτοῦ τῶν ἐναντίων τῷ πλήθει. αἰχμάλωτος δὲ γεγονὼς διὰ τὸ ἐῤῥωμένως ταῖς οἰκείαις χερσὶν ἀντιτάξασθαι καὶ μὴ δοῦναι νῶτα τοῖς πολεμίοις, συναποβάλλει μετὰ τῆς ἄλλης ἀποσκευῆς καὶ τὸν χάρακα, πολλῶν μὲν πεσόντων Ῥωμαίων καὶ ζωγρίᾳ ληφθέντων, πλειόνων δὲ φυγῇ τὴν ἰδίαν σωτηρίαν ἐνεγκαμένων.

Ἀλλὰ τῆς φήμης ταύτης καταλαβούσης καὶ προσπεσούσης τῷ βασιλεῖ, ἔδοξε μὲν σκυθρωπόν τι παθεῖν, οὐ μὴν δὲ τῶν πολιτικῶν ἀδικημάτων ἀπέσχετο, ταῖς τοῦ Νικηφόρου κακαῖς ὑποθημοσύναις πειθόμενος, μηδὲ αὐτός, ὡς ἐφάνη, τὴν φύσιν ἔχων τοῖς συμβουλευομένοις ἀντίθετον. οἱ δὲ Τοῦρκοι τὴν ἰδίαν ἔκτοτε κατέτρεχον ἀδεῶς. ἁδροῦ δὲ χρυσίου τὴν ἐλευθερίαν ἀνταλλαξαμένου τοῦ ἡγεμόνος, καὶ αὖθις κατὰ τῶν ἐναντίων στρατὸν εὐτρεπισθῆναι καὶ πεμφθῆναι διεγινώσκετο. καὶ προχειρίζεται στρατηγὸς αὐτοκράτωρ ὁ Καῖσαρ Ἰωάννης, ὁ τοῦ βασιλεύοντος Μιχαὴλ πατράδελφος. ὃς διαπεραιωθεὶς καὶ μέχρι τοῦ Δορυλαίου πανστρατιᾷ διελθών, κἀκεῖσε τὴν στρατοπεδείαν καταστησάμενος, ἄρας ἐκεῖθεν προσωτέρω ἐπεπορεύετο· καὶ μέχρι τῆς γεφύρας τῆς τοῦ Ζόμπου καλουμένης, ἥτις τὸν Σαγγάρην ποταμὸν ἐπικαθημένη τὴν τῶν ἀνατολικῶν καὶ Καππαδοκῶν ἐπιζεύγνύει ἐπαρχίαν, γενόμενος, πρὸ τοῦ ταύτην περαιωθῆναι τὸν

veniens non praeparatus, accendit invitus bellum, et inferior evadit multitudine eum adversariis superantibus. captivus autem factus, quia fortiter manibus propriis resistebat neque tergum dabat hostibus, amittit praeter ceteros apparatus etiam vallum, postquam multi Graeci ceciderunt et vivi capti sunt, plures fuga salutem reportarunt.

Sed fama huius rei dominante et regi obveniente visus est triste quid passus esse, tamen iniuriis publicis non abstinuit, Nicephori malis consiliis parens neque ipse, ut apparebat naturam habens, consiliariis oppositus. Turcae autem terram inde percursabant intrepidi: quodcum multa pecunia libertatem ducis redemisset, rursus contra hostes exercitum parari et mitti visum est: atque creatur dux imperator Caesar Ioannes, regnantis Michaelis patruus: qui quidem transgressus et usque ad Dorylaeum cum toto exercitu profectus ibique castra ponens, postquam inde discessit, prorsus abiit: et postquam usque ad pontem Zompi nomine dictum venit, qui Sangari fluvio impositus orientis et Cappadocum provinciam coniungit, priusquam hunc transiit, audivit Ruselium castra habere ex adversa Armeniacae provinciae

Ῥουσέλιον ἐμεμαθήκει πρὸς τὴν ἀντιπέραν στρατοπεδεύσασθαι, τὴν ἐκ τῆς τῶν Ἀρμενιακῶν ἄραντα μετὰ πολλῆς καὶ ἀγρύπνου τῆς ἱππασίας καὶ ἐπιτάσεως. πέμψας δὲ ὁ Καῖσαρ περὶ συνθηκῶν αὐτῷ καὶ εἰρήνης, ὡς εἰκός, διελέξατο. οὐκ ἐν ἴσῳ δὲ τῷ τῆς τύχης ἀποτελέσματί τε καὶ συγκυρήματι τὴν πρεσβείαν εἰσήνεγκεν, οὐδ' ἐπὶ φιλοτίμοις ἐπαγγελίαις καὶ δωρεαῖς, ἀλλ' ἐπὶ ταπεινώσει καὶ συμβουλῇ τάχα τοῦ μὴ ἀπηνῶς καὶ χαλεπῶς διαχειρισθῆναι. ὁ δὲ Ῥουσέλιος ἅμα μὲν ταῖς ἰδίαις χερσὶ θαρρῶν, ἅμα δὲ καὶ πολεμικοῦ φρονήματος καὶ γενναιότητος πνέων, οὐκ ἐδέξατο τὴν πρεσβείαν ὡς ἀτιμάζουσαν αὐτοῦ τὴν ἰσχὺν καὶ ἀπειλοῦσαν καὶ οὐχὶ δεξιουμένην αὐτὸν ὑποσχέσεσι. καὶ διὰ τοῦτο πόλεμος ἀμφοῖν ἐπεκηρυκεύθη τοῖς μέρεσιν. ἐπεχείρει μὲν οὖν ὁ Καῖσαρ διὰ τῆς γεφύρας περαιωθῆναι κατ' αὐτοῦ· συνεβούλευε δ' ὁ συστράτηγος (ἦν δ' οὗτος Νικηφόρος κουροπαλάτης ὁ Βοτανειάτης, ἀνὴρ ἐξ ἐνδόξων γενόμενος καὶ προγονικὴν ἔχων τὴν στρατιωτικὴν γενναιότητα, καὶ κατὰ χεῖρα καὶ φρένα πάντων ὑπερφέρων καὶ ὑπερκείμενος, καὶ γένους f. 206 r. λαμπρότητι καὶ περιουσίας ὀλβιότητι κατὰ πᾶσαν ἀνατολὴν τυγχάνων ἐπισημότατος) μὴ διαβῆναι τὸν ποταμόν, ἀλλὰ περιμεῖναι καὶ τὸ λοιπὸν τοῦ στρατοῦ, καὶ ἢ καταμαλάξαι τὸν βάρβαρον ὑποσχέσεσιν ἐκ τῆς ὑπερθέσεως, ἢ περαιούμενον ἐκ τῆς γεφύρας δέξασθαι ἀπαράσκευον, ἢ μετὰ τὴν ἐπιδημίαν τοῦ ἐπιλοίπου στρατεύματος μετὰ πλείονος τούτῳ τῆς

2. ἄραντας C.

parte, profectum cum multa et indefatigata equitandi et impetus arte. legatos mittens Caesar de pactionibus cum eo et de pace, ut aequum erat, egit, neque tamen in pari fortunae eventu et casu legationem induxit, neque generosis promissis et donis, sed contemtu et consilio tantum non asperae et difficilis tractationis. sed Ruselius qui et suis manibus confideret et bellicam cogitationem nobilitatemque spiraret, non accepit legationem, quippe quae eius vim contemneret et minas ferret neque amplecteretur eum promissis: atque hanc ob rem bellum utrisque indictum est partibus. studebat igitur Caesar ponte transgredi contra eum: suadebat autem collega eius imperii (erat hic Nicephorus curopalates Botaniates, homo ab illustribus oriundus et quasi avitam habens militarem nobilitatem, et manu et ingenio omnibus praestans et superior, et generis splendore et rerum abundantia in omni oriente clarissimus), ne fluvium transiret, sed exspectaret etiam reliquum exercitum, atque aut emolliret barbarum promissis dilatando, aut transgressum ex ponte exciperet imparatum, aut post adventum reliqui exercitus maiore cum apparatu huic obveniret. is autem neglecto hoc

παρασκευῆς ἐπελθεῖν. ὁ δὲ παρακούσας τῆς ἀρίστης ταυτησὶ συμβουλῆς, καὶ τὸν ποταμὸν διαβὰς ἐπιπόνως διὰ τὸ τῆς γεφύρας εὐόλισθον, πολέμῳ παραυτίκα τεθορυβημένος προσέπταισε, καὶ τὰς παρατάξεις ἀντιτάξας τοῖς ἐναντίοις καὶ δόξας αὐτοὺς καταπονῆσαι καὶ τρέψαι, μάχῃ καρτερωτέρᾳ παρὰ δόξαν ἐνέπεσεν· ὁ γὰρ Ῥουσέλιος μετὰ τῶν ἐπιλέκτων αὐτῷ ἐπελθὼν κατὰ κράτος τοῦτον νικᾷ καὶ ταῖς ἰδίαις χερσὶν αἰχμάλωτον τίθησι. τὸ δὲ λοιπὸν τοῦ στρατοῦ διασκεδασθὲν πρὸς φυγὴν αἰσχρῶς ὥρμησε. καὶ οὕτω τῶν ἀγώνων ἐκράτησεν ὁ Ῥουσέλιος, τοῦ δηλωθέντος συστρατήγου ἀτρέστῳ καὶ ἀκαταπλήκτῳ φρονήματι μετὰ τῶν ἀμφ' αὐτὸν ἐπανελθόντος εἰς τὴν ἰδίαν κατοικίαν καὶ ἔπαυλιν.

Τί δὲ τὸ ἀπὸ τοῦδε; γέγονε μὲν ὁ Ῥουσέλιος μέγας καὶ περιώνυμος λίαν τῷ μεγέθει τοῦ κατορθώματος, χωρῶν δὲ κατευθὺ τοῦ Βυζαντίου τὸν Καίσαρα σιδηροδέσμιον εἶχε καὶ πολλοῖς ἀνιαροῖς περιέβαλεν. ὡς δὲ προσηγγέλη τὸ τοιοῦτον ἀτύχημα τῷ τε κρατοῦντι καὶ τῷ δήμῳ παντί, πολλή τις ἐνέσκηψε μέριμνα πᾶσι, τὴν τοῦ Φράγγου ἐπιδημίαν ὑπόπτιον ἐξ ἐπιβουλῆς ἔνδον οἰομένου τοῦ βασιλεύοντος. διὸ καὶ καθίσας εἰς τὸν βασίλειον δίφρον, τοιάδε πρὸς τοὺς παρόντας μετὰ πολλῆς τῆς κατηφείας ἐδημηγόρησεν. "ἄνδρες πολῖται καὶ ὅσοι τῆς συγκλήτου βουλῆς, σκυθρωπὴν ἀγγελίαν, καὶ οἵαν οὐδεὶς ὑπέμεινεν ἕτερος, ἄρτι καταλαβοῦσαν ἐνωτι-

optimo consilio fluvium transgressus laboriose propter pontis fragilitatem, et bello statim turbatus decidit, et ordines opponens adversariis, cum sibi visus esset eos fatigaturus esse versurusque, in pugnam validiorem praeter opinionem incidit. Ruselius enim cum delecta manu ei obveniens summa vi hunc vincit et suis manibus captivum reddit: reliquus autem exercitus dispersus fugae se turpiter dedit, atque ita certamine superior fuit Ruselius, cum collega imperii supra dictus intrepido et invicto animo cum suis reversus esset in suam domum et sedem. quid postea? factus est Ruselius valde magnus et clarus magnitudine eventus, et progrediens adversus Byzantium Caesarem vinculis ferreis tenebat multisque molestiis circumdedit.

Quod malum cum nuntiatum esset imperatori et populo universo, magna occupavit aegritudo omnes, cum rex Franci adventum imminere insidiose secum putaret. quamobrem se considens in regio solio, talia ad praesentes multa cum animi demissione palam locutus est: „cives et quicunque concilii senatus estis participes, durum nuntium qualemque nemo exspectavit alius nunc dominantem postquam audivi non multum a moriendo absum. equidem enim sum ille Ionas:

σάμενος μικροῦ δέω θανεῖν. ἐγὼ γάρ εἰμι ἐκεῖνος ὁ Ἰωνᾶς. λοιπὸν ἄρα τέ με καὶ βάλετε εἰς τὴν θάλασσαν· διὰ γὰρ τὰς ἐμὰς πράξεις τὰ τοιαῦτα σκυθρωπὰ καὶ χαλεπὰ συναντήματα τοῖς Ῥωμαίοις ἐπισυμβαίνουσιν." καὶ ὁ μὲν λόγος μετάνοιαν τῶν κακῶς πραττομένων ᾐνίττετο, τὸ δ' ἔργον οὐκ ἦν, καὶ ἡ διόρθωσις ἐδείκνυτο οὐδαμοῦ· ἦν γὰρ ἐκεῖνος ὁ ταῖς κακίσταις ὑποθημοσύναις ὡς ἀκυβέρνητος καταδουλούμενος ἑαυτόν. τέως δ' οὖν προϊόντος τοῦ Ῥουσελίου πρεσβεῖαί τινες ἐκ βασιλέως πεμφθεῖσαι τούτῳ συνήντησαν, ἀξίωμα κουροπαλατικὸν ὑπισχνούμεναι καὶ δωρεὰς φιλοτίμους, εἰ τὴν ἀποστασίαν ἀφεὶς ὑπόσπονδος τῷ βασιλεῖ γένηται. ὁ δὲ μηδενὸς τῶν λεγομένων ἀνήκοος γεγονώς, τῆς πρὸς τὴν βασιλεύουσαν πορείας σπουδαιότερον εἴχετο. εἶχε γὰρ μεθ' ἑαυ- f. 206 v. *τοῦ αἰχμάλωτον, ἐν τῇ τοῦ Καίσαρος τροπῇ τοῦτον προσειληφώς, Βασίλειον σβέστην τὸν Μαλέσην, ἐκ τῆς τῶν Περσῶν αἰχμαλωσίας οὐκ ἐκ πολλοῦ ἐπανιόντα, τῷ Καίσαρι δὲ προσληφθέντα καὶ οἰκειωθέντα διὰ τὸ περιφανὲς τῆς τούτου φρονήσεως καὶ γνώσεως. ἀλλ' εἰ καὶ δορυάλωτον τοῦτον ὁ Ῥουσέλιος ἔλαβεν, ὅμως ἐν τιμῇ μεγίστῃ εἶχε, καὶ ὡς ἔμπρακτον ἄνδρα καὶ λογικώτατον, καὶ πεῖραν αὐτοῦ δεδωκότα διὰ τῶν προτέρων ἐπιστρατεύσεων, ἐν μοίρᾳ τῶν συμβούλων ἐτίθετο, μᾶλλον δὲ πρώτιστον εἶχε, καὶ ὡς γλώσσῃ καὶ χειρὶ τῷ τοιούτῳ ἐν τοῖς πολιτικοῖς ἐκέχρητο πράγμασιν. οὗτος τὰ πολλὰ μὲν ἑλέσθαι τὴν εἰρήνην τῷ Ῥουσελίῳ ὑπετίθει· εἰ δὲ καὶ*

2. *βάλλετε* C. 20. *δεδωκότος* C.

iam tollite me et iacite in mare: propter mea enim facta tales duri et difficiles casus Graecis accidunt." atque verba quidem poenitentiam male factorum significabant: res autem non ita se habebat: neque usquam emendatio apparebat. subiecerat enim se ille pessimis consiliis quasi non gubernatus. interea igitur cum progrederetur Ruselius, legationes a rege missae huic obviam venerunt, dignitatem curopalaticam promittentes, et dona ampla, si seditionem mittens regi pacatus fieret. ille autem nihil dictorum respiciens iter ad urbem studiosius tenuit. habebat enim suum captivum, quem in Caesaris fuga praeterea ceperat, Basilium bestam Malesen, ex Persarum captivitate non diu reversum, a Caesare autem adhibitum et consuetum propter nobilem eius cogitationem et intelligentiam. sed licet bello captum hunc Ruselius accepisset, tamen honore maximo eum habebat et ut strenuum virum prudentissimumque, qui etiam specimen dedisset prioribus expeditionibus, loco consiliariorum eum ponebat, sive potius omnium primum habebat et oratione et manu tali viro in civilibus

μισῶν τὴν τυραννίδα τοῦ Μιχαὴλ, ὡς καὶ πολλὴν παρ' αὐτοῦ δεξάμενος τὴν καταφοράν, καθότι αἰχμάλωτος ὢν ἀντὶ ἐλέους βασιλικοῦ δήμευσιν ὑπέστη δωρεὰν καὶ τῶν ἰδίων τέκνων ἀπάνθρωπον γύμνωσιν, οἷα τὰ τῶν κρατούντων τότε παρανομώτατα κολαστήρια, ὑπεσκέλιζε τὴν τῆς εἰρήνης ἀπόβασιν, ἵνα τοὺς ἀλιτηρίους ἀμύνηται, αὐτὸς μὲν οὐκ οἶδα, λέγουσι δὲ οἱ πολλοί· ὁ δ' ἄνθρωπος φίλος ἐμοὶ γνησιώτατος ὢν ἐξώμνυτο τὴν τοιαύτην ὑπόθεσιν. εἰ δὲ καὶ τυραννοκτόνος ἐπεθύμει γενέσθαι, γενναιότητος τοῦτο πάντως τεκμήριον.

Ἐν τῷ μέσῳ δὲ τὴν ὁδοιπορίαν τοῦ Ῥουσελίου διηνυκότος, καὶ τὰς σκηνὰς ἐν Χρυσοπόλει θεμένου καταντικρὺ τοῦ τῆς βασιλίδος πορθμοῦ, φόβος ἔσχε τὸν βασιλέα, καὶ ἡ τοῦ Βύζαντος τῇδε κἀκεῖσε διεκυμαίνετο· τῶν ἁπανταχῇ γὰρ Φράγγων συναθροισθέντων καὶ συνελθόντων αὐτῷ, στρατὸς ἀξιόλογος τὸ τούτου στρατόπεδον ἐγνωρίζετο· ἐγγὺς γὰρ τῶν τρισχιλίων ἦσαν οἱ συνδραμόντες Φράγγοι αὐτῷ. ἡμέρας δέ τινας ἐν Χρυσοπόλει διακαρτερήσας, ἐν σιδηροπέδαις ἔχων τὸν Καίσαρα, πῦρ ἐνῆκε ταῖς ἐν Χρυσοπόλει τυγχανούσαις οἰκίαις· καὶ ἡ φλὸξ ἀρθεῖσα πολλὴν ἀνήγειρε τὴν βοὴν καὶ τὸν κωκυτὸν τοῖς ἀνθρώποις, ὡς ἂν τοῦ ἀνέμου μεταρριπίζοντος αὐτὴν καὶ καταπληκτικὴν ἀφιέναι φωνὴν μονονουχὶ

utebatur rebus: hic plerumque ut deligeret pacem Ruselio suadebat: etiamsi odisset tyrannidem Michaelis, cum multam ab eo accepisset cladem, quia captivus factus pro misericordia regia publicationem sustinuit donum, et liberorum crudelem spoliationem, quales dominantium tum erant maxime illegitimae castigationes, subornabat pacis eventum, ut deos ultores arceret. ipse hoc non novi, sed dicunt plerique. homo autem utpote valde sincerus, mihi amicus, eiurabat tale consilium: licet tyrannicida vellet esse, nobilitatis hoc omnino est documentum.

Cum autem medium iter Ruselius perfecisset et tentoria Chrysopoli fixisset adversus fretum urbis, metus tenebat regem et Byzantium hic et illic fluctuabat. cum enim undique Franci convenirent et congregarentur, exercitus memoratu dignus huius castra aestimabantur. paene enim ter mille fuerunt Franci, qui ad eum confluxerant. postquam autem dies nonnullos Chrysopoli versatus est, in vinculis ferreis tenens Caesarem, ignem iniecit domibus, quae essent Chrysopoli, et flamma erecta multum excitavit clamorem et gemitum hominibus (sensu caret, neque qui exscripsit verba intellexisse videtur). emollire cupiens rex barbari violentiam, mittit huic suam uxorem cum

τὴν τῶν πυρπολουμένων ὕλην παρασκευάζοντος. καταμαλάξαι δὲ βουληθεὶς ὁ βασιλεὺς τὴν τοῦ βαρβάρου θρασύτητα, πέμπει τούτῳ τὴν ἰδίαν γυναῖκα μετὰ τῶν παίδων αὐτοῦ. μεταπέμπεται δὲ καὶ τοὺς Τούρκους λαθραίως, ἤδη τῇ Ῥωμαίων προσβαλόντας ἐπικρατείᾳ, καὶ πολλαῖς ὑποσχέσεσι πείθει τῷ Ῥουσελίῳ ἀνταγωνίσασθαι. ὁ δὲ Ῥουσέλιος ἄρας ἐκ Χρυσοπόλεως εἰς τὴν Νικομήδειαν σπουδαίως ὑπανεχώρησε. βουλεύεται τοίνυν τοὺς στρατιώτας τῶν Ῥωμαίων ὑποποιήσασθαι καὶ εἰς πλῆθος μέγα τὸν οἰκεῖον ἀγεῖραι στρατόν. καὶ διὰ τοῦτο τῶν δεσμῶν ἀπολύσας τὸν Καίσαρα, καὶ φιλανθρώποις δεξιώσεσι τὰς πρώην κακώσεις παρὰ πᾶσαν θε- f. 207 r. ραπεύσας ἐλπίδα, βασιλέα Ῥωμαίων τοῦτον ἀνίστησιν, εὐφημίαις καὶ παρασήμοις βασιλικοῖς τὸ κράτος αὐτῷ μεγαλοπρεπῶς συγκαταστησάμενος. ἐπεὶ δὲ μετὰ τὴν ἀναγόρευσιν τούτου ἀγγελία τις τῶν Τούρκων αὐτοῖς ἐπῆλθε, πανστρατιᾷ τὸν λεγόμενον Σόφωνα τὸ ὄρος ὑπερβάντες ἀγχοῦ τοῦ φρουρίου τῆς Μεταβολῆς τὴν παρεμβολὴν ἐποιήσαντο. τῶν δὲ σκοπῶν ἀπαγγειλάντων ὥς τινες πολέμιοι, οὐ πλείους τῶν πέντε ἢ ἓξ χιλιάδων, αὐτοῖς ἐπεφάνησαν, εὐθὺς ὁ Ῥουσέλιος τὸ ἐνυάλιον ἀλαλάξαι προσέταττε, καὶ τὸ στρατιωτικὸν ἅπαν ἐξώπλιζε πρὸς τὸν πόλεμον. ἦσαν δὲ πάντες οἱ τούτῳ συστρατευόμενοι Φράγγοι ἑπτακόσιοι καὶ δισχίλιοι· οὐδεὶς γὰρ ἔτι τῶν Ῥωμαίων αὐτοῖς προσερρύη διὰ τὸ τὴν φήμην τῆς

1. παρασκευάζοντα C.

liberis, arcessit etiam Turcas clam iam Graecorum provinciam aggressos et multis promissis persuadet ut Ruselio adversarentur. Ruselius autem castra movens Chrysopoli Nicomediam studiose recessit: studet igitur milites Graecorum sibi conciliare et ad multitudinem magnam suum cogere exercitum: atque ideo vinculis solvens Caesarem et benignis gratiis priores iniurias praeter omnem spem corrigens, regem Graecorum hunc restituit salutationibus et insignibus regiis potentiam ei magnifice constituens. cum autem post declarationem huius nuntius Turcarum iis afferretur, toto cum exercitu Sophonem qui dicitur montem transgressi prope castellum Metabolen castra posuerunt. quodcum speculatores nuntiassent, hostes nonnullos, non plures quinque aut sex milibus sibi apparuisse, statim Ruselius clamorem bellicum tolli iussit et exercitum universum ad bellum apparabat. erant autem omnes, qui cum hoc militarent, Franci septingenti et bis mille. nemo enim etiamtum Graecorum iis adfluxerat, quia fama declarationis Caesaris nondum divulgata et audita erat Graecis. cum autem detinerent cursum et Caesar et quidam nobiliorum, ut clare perspicerent multitudinem adversariorum, non est, Ruselio ille ait, ferendum, coram sex

ἀναγορεύσεως τοῦ Καίσαρος ἔτι μὴ πλατυνθῆναι καὶ ἀκουσθῆναι τοῖς Ῥωμαίοις· ὡς δὲ ἀνέστελλον αὐτοῦ τὴν ὁρμὴν ὅ τε Καῖσαρ καί τινες τῶν ἐξοχωτέρων ἐφ' ᾧ καθαρῶς ἐπιγνῶναι τὸ πλῆθος τῶν ἐναντίων, "οὐκ ἀνεκτὸν" εἶπε "τῷ Ῥουσελίῳ ἐστὶ τὸ πρὸς ἓξ χιλιάδας Τούρκων ἀμφιγνωμονεῖν καὶ τὸν πόλεμον ἀναβάλλεσθαι." ὅθεν καὶ ταχὺ τὰς τάξεις καταστησάμενος ὥρμησεν ἐπ' αὐτούς. σὺν πολλῇ δὲ ῥύμῃ καὶ βοῇ τῶν Φράγγων κατὰ τῶν ἐναντίων καταπληκτικῶς ἐπεληλυθότων, ἐδέξαντο μὲν οἱ Τοῦρκοι τούτους ἐπιόντας ἀντικαταστῆναι βουλόμενοι, μὴ ἐνεγκόντες δὲ τὸ σφοδρὸν καὶ ἀνύποιστον τῆς ἐπιφορᾶς, οἱ μὲν ἔπεσον μαχαίρας ἔργον γενόμενοι, μηδενὸς τῶν Φράγγων κενὴν ἐσχηκότος τὴν χεῖρα σφαγῆς, οἱ δ' ἄλλοι πρὸς φυγὴν ὥρμησαν. κατόπιν δὲ διωκόντων τῶν Φράγγων ἕτεροι πάλιν φονείᾳ χειρὶ παρεδίδοντο. ἀλλὰ τῆς διώξεως ἐπὶ πολὺ γενομένης προῆλθον μὲν οἱ Τοῦρκοι τὴν φυγὴν ἐπιτείνοντες, ἀκρατεῖ δὲ ῥυτῆρι τοὺς Φράγγους παρασκευάζων ὁ Ῥουσέλιος φέρεσθαι τόπον οὐκ ὀλίγον παρήμειψε. πολλὰς δὲ ἀκρωρείας ἀνιών τε καὶ κατιών, ἔλαθε τοὺς πλείστους τῶν στρατιωτῶν ὀπίσω παραλιπών. καὶ μετ' ὀλίγων ἀπολειφθεὶς σὺν τῷ Καίσαρι, ἐν ἵπποις κεκμηκόσι τῷ συνεχεῖ τῆς διώξεως, εἶδε τὸ στῖφος τῶν Τούρκων ἀπειροπληθὲς καὶ θαλάσσης ἀπλέτου μιμούμενον κύματα· ἦσαν γὰρ ὑπὲρ τὰς ἑκατὸν χιλιάδας οἱ βάρβαροι. ὡς δὲ καὶ αὐτὸς ἐθεάθη, καὶ διέκρινε καθ' ἑαυτὸν μὴ ἀκίνδυνον εἶναι τὴν εἰς

milibus Turcarum cunctari et bellum differre: quamobrem etiam celeriter ordinibus instructis profectus est contra eos. cum autem multo cum impetu et clamore Franci contra hostes horrendum in modum ingressi essent, exceperunt quidem Turcae hos advenientes, resistere volentes: sed non ferentes vehementem et intolerabilem impetum, alii ceciderunt gladii opus facti, cum nemo Francorum vacuam haberet manum caede: ceteri autem in fugam se verterunt. a tergo autem eos persequentibus Francis alii rursus internecinae manui tradebantur: sed persecutione maxime aucta processerunt Turcae fugam expandentes. vehementi autem freno Francos incitans Ruselius locum non paulum mutavit et multas arces ascendendo et descendendo nescius plerosque milites a tergo reliquit, et praeter paucos derelictus cum Caesare in equis defatigatis perpetua persecutione, vidit globum Turcarum innumeralibem et maris immensi aequantem undas: erant enim supra centum milia barbarorum. postquam autem et ipse perspexit secumque iudicavit, non sine periculo fieri posse retro fugam, cum equi defatigati essent et hostes ex reditu confidentiam concipere possent,

τοὐπίσω φυγὴν ἅτε τῶν ἵππων αὐτοῦ κεκμηκότων καὶ τῶν ἐναντίων τῇ ἀπονοστήσει θάρσος λαβεῖν δυναμένων, μάχην καθ' ἑαυτὸν συρράξαι διέγνωκεν. ὡς δὲ προέγνων οἱ πολέμιοι τὴν τῶν ἰδίων κατακοπήν, ἐν φόβῳ καὶ κυδοιμῷ γεγονότες μικροῦ ἐδέησαν αὐτοὶ τὴν φυγὴν προλαβεῖν, εἰ μή τινες τῶν Φράγγων τῶν ἵππων καταβάντες ἐψυχαγώγουν αὐτούς, τῇδε f. 207 v. κἀκεῖσε σχολαίῳ ποδὶ παρασύροντες. κατανοήσαντες δὲ τούτους ἀπειρηκότας τῷ κόπῳ ἔστησαν ἐπὶ τὸ αὐτό. τοῦ δὲ Ῥουσελίου μετὰ τῶν ἀμφ' αὐτὸν τὰ δόρατα τούτοις μετὰ σφοδρᾶς τῆς ῥύμης ἐπιστηρίξαντος, ἀντέσχον μὲν οἱ Τοῦρκοι, ἔπεσον δὲ καὶ τότε τούτων συχνοί. περικυκλώσαντες δὲ ὀλίγους ὄντας τοὺς ἀμφὶ τὸν Ῥουσέλιον τοσοῦτοι καὶ τηλικοῦτοι τὸ πλῆθος ὄντες οἱ Τοῦρκοι, βέλεσι συχνοτάτοις αὐτοὺς κατετίτρωσκον, τοῖς ἑκηβόλοις τόξοις ἀεὶ κεχρημένοι. καὶ τοὺς ἵππους ἐκ τούτων ἀσυμφανῶς κατασφάττοντες, καὶ διὰ πολλῶν χειρῶν καὶ βελῶν τούτους ἐν κύκλῳ περισχόντες ἀδιεξοδεύτῳ καὶ παναλκεῖ, πεζοὺς τῇ τῶν ἵππων σφαγῇ κατεστήσαντο. καὶ οὕτω πολλοὶ μὲν τῶν Φράγγων μετὰ Τούρκων πλειόνων τηνικαῦτα θανόντες κατέπεσον, ἥλω δὲ ζωγρίᾳ ὅ τε Καῖσαρ καὶ ὁ Ῥουσέλιος. οἱ δ' ὑπολειφθέντες τῶν Φράγγων εἰς τὸ τῆς Μεταβολῆς φρούριον συμφυγόντες, ἔνθα περ ἡ γυνὴ τοῦ Ῥουσελίου ἐτύγχανε, δι' ἀκριβείας ἐποιοῦντο τὴν ταύτου φυλακὴν καὶ συντήρησιν. οἱ δὲ Τοῦρκοι τὸν Ῥουσέλιον ἐν ποδοκάκῃ βαλόντες ἰσχυροτάτῃ ἀσφαλῶς συνετήρουν,

pugnam ipse conserere statuit. sed hostes, cum sensissent suorum cladem, timore et trepidatione pleni, non multum abfuerunt, quin ipsi fugam eligerent, nisi nonnulli Franci equis descendentes animam agerent, eos huc illuc pigro pede trahentes. animadvertentes igitur hos esse confectos torpore, restiterunt ad id. Ruselio autem cum suis hastas his vehementi cum impetu obtrudente, sustinuerunt quidem Turcae eum, sed ceciderunt etiam tunc horum multi. cingentes Ruselii comites, qui pauci erant, tot talesque multitudine Turcae iaculis frequentibus eos vulnerabant, arcubus eminus semper usi, et equos deinde passim trucidantes et multis manibus et iaculis hos circulo circumdantes egressum non dante validoque pedites equorum caede reddiderunt: atque ita multi Franci cum Turcis pluribus tum morientes ceciderunt: captusque est vivus et Caesar et Ruselius, relicti autem Franci in castellum Metaboles confugientes, ubi uxor Ruselii versabatur, accurate exercebant eius praesidium et custodiam. Turcae autem Ruselium in compedes coniicientes firmissimas tuto custodiebant, sed Caesarem honore afficientes vinculis solutum habebant et

τὸν δὲ Καίσαρα διὰ τιμῆς ἄγοντες ἄνετον εἶχον καὶ τοῖς οἰκείοις ἀμφίοις ἐπίτιμον. ὅμως δ' οὖν ἀμφοτέρους χρυσίνων ἱκανῶν ἀνταλλάττεσθαι διεμήνυον.

Ἀγγελθείσης δὲ τῆς τούτων τροπῆς καὶ ἁλώσεως τῷ κρατοῦντι, ἐκκλησιάσας οὗτος ἐπὶ παλατίου πάσῃ τῇ γερουσίᾳ ἔκπυστον καὶ φανερὸν ἐποίησε τὸ συμβάν. τοῦ δὲ τιμήματος τῶν ἑαλωκότων ἐπιζητουμένου παρὰ τῶν Τούρκων, ἔσπευδεν ὁ βασιλεὺς δι' ἐξωνήσεως τούτους χειρώσασθαι. ἐπικατέλαβε γὰρ καὶ ὁ τὰ πρῶτα φέρων παρὰ τῷ Καίσαρι ὡς παιδείας λόγων καὶ πολυπειρίας ἀντεχόμενος, Βασίλειος πρωτοσβέστης ὁ Μαλέσης, ἐλευθερωθεὶς μὲν ἐκ τῶν Τούρκων τιμῆς ἁδρᾶς πρὸ καιροῦ, προσληφθεὶς δὲ τῷ Καίσαρι στρατηγῷ τοῦ πολέμου ἔναγχος ἀποδεδειγμένῳ, συμβουλεύων τῷ βασιλεῖ ταχέως πρίασθαι τούτους, ἵνα μὴ οἱ Τοῦρκοι, ὡς ἔστι βεβουλευμένον αὐτοῖς, βασιλέα Ῥωμαίων τὸν Καίσαρα προχειρίσωνται, καὶ διὰ τοῦτο μεγάλης ὠφελείας παρὰ τῶν Ῥωμαϊκῶν πόλεων καὶ κωμῶν καὶ δυναστῶν ἀμαχητὶ ἐπιτεύξωνται· τοῦτο γάρ, φησίν, ἐμεμαθήκει μελετῶντας αὐτούς. οὕτω δὲ συμβουλεύσας καλῶς οὐδὲν τῆς τοιαύτης ἀπώνατο συμβουλῆς, εἰ μὴ καὶ μᾶλλον ἀδίκως ὑπερορίαν κατεκρίθη καὶ δήμευσιν, οἷα τὰ τοῦ δεινοῦ καὶ πονηροῦ πολεμήτορος. ἁδρὰν οὖν καὶ βαρυτάλαντον χρυσίου ποσότητα συστήσας ὁ βασιλεύων τοὺς ἐξωνησομένους αὐτοὺς ἀπέστειλεν. ἐπεὶ δὲ ἡ τοῦ Ῥουσελίου

12. προληφθεὶς C.

proprio pallio honoratum: tamen utrumque accommodatis pecuniis redimi posse significabant.

Cum horum fuga et captivitas imperatori nuntiata esset, concione convocata hic in palatio omni senatui manifestum et clarum reddidit factum: atque cum census captivorum quaereretur ex Turcis, studebat rex redemtione hos subigere: assecutus enim id erat qui primas agebat apud Caesarem utpote eruditione orationum et experientia praeditus, Basilius Maleses protovestiarius: qui quidem liberatus Turcarum honore pleno mature et praelatus Caesari duci belli nuper creato suadebat regi ut celeriter hos emeret, ne Turcae, ut erat ab iis statutum, regem Graecorum Caesarem facerent et hanc ob rem magnam utilitatem a Graecis urbibus et pagis et dominis sine pugna compararent: hoc enim, ut aiebat, audiverat eos studere. quamquam autem ita suaserat pulchre nihil profuit ei tale consilium, nisi etiam magis iniuste exilii damnatus est et publicationis, qualia fieri solent a violento et difficili bellatore. plenam ergo et gravem pecuniae multitudinem postquam comparavit rex, eos qui redemturi illos essent, dimisit. cum autem uxor Ruselii, quae in castello Metabole libenter

γυνὴ τῷ κάστρῳ τῆς Μεταβολῆς ἐμφιλοχωροῦσα, καὶ πλούτου ἱκανῶς ἔχουσα, προεξωνήσατο τὸν ἴδιον ἄνδρα καὶ ἀμφοτέρων τῶν ἐχθρῶν ἐλυτρώσατο, τούτου μὲν οἱ πεμφθέντες ἐκ βασιλέως ἀπέτυχον, τὸν δὲ Καίσαρα μόνον ἐξωνησάμενοι ἐπανῆγον εἰς τὴν βασιλίδα τῶν πόλεων. ἐν δὲ τῇ Προποντίδι γενομένων αὐτῶν εὐλαβηθεὶς ὁ Καῖσαρ ἴσως, ἵνα μὴ ὡς ἀποστάτης καταγνωσθῇ καὶ ὕποπτος τὸ ἀπὸ τοῦδε τυγχάνῃ f. 208 r. *καὶ περιεσκεμμένος ἢ καὶ ἀπόβλητος, οὐκ ἔκρινε μετὰ κοσμικῆς τῆς περιβολῆς ἐπιστῆναι τῷ ἀνεψιῷ καὶ βασιλεῖ, ἀλλὰ τὴν κοσμικὴν ἀποβαλόμενος τρίχα, μεταθέμενος εἰς τοὺς μοναχούς, οὕτως ἐν εὐτελεῖ τῷ σχήματι τοῖς βασιλείοις ἐνέμιξεν. ὁπότε καὶ τοῖς εὐσυνέτοις ἀνδράσι θάμβος ἐπῄει καὶ ἔκπληξις· περὶ γὰρ τῶν ἀφρονούντων καὶ τὰ τοιαῦτα μὴ διακρινόντων λόγος οὐδείς.*

Ἐπῄει οὖν θάμβος τοῖς ὅπως οἱ Ῥωμαίων ἀρχηγοὶ μετὰ τοσαύτης περιφανείας καὶ λαμπρότητος κατὰ τῶν ὁμοφύλων ἐπιστρατεύοντες, οὕτως ἀτίμως καὶ γοερῶς καὶ μετὰ τοιαύτης εὐτελείας καὶ δυσθυμίας πεποίηνται τὴν ἐπάνοδον, ἀντὶ τοῦ πρὶν τελουμένου τοῖς πάλαι Ῥωμαίοις λαμπροῦ καὶ στεφανηφόρου θριάμβου καταγέλαστον κατάγοντες καὶ πανευτελέστατον θέατρον, τὴν ἧτταν οὐ τῶν συστρατιωτῶν μόνον ἀλλὰ καὶ τὴν ἑαυτῶν κακοπάθειαν καὶ σκληροτυχίαν ὀδυνηρῶς θριαμβεύοντες. τί τούτου γένοιτ' ἂν διαδηλότερον θεο-

10. *ἀποβαλλόμενος* C. 15. *αὐτοῖς*? an *τοῖς προειρημένοις*?

versabatur, et divitiarum satis habebat, antea iam redemisset suum virum et utrisque inimicis solvisset, hunc quidem, qui missi erant a rege, non sunt nacti, Caesarem autem solum redemerunt et reduxerunt in urbem capitalem. cumque in Propontide essent, veritus Caesar, ne forte tanquam apostata damnaretur et suspectus postea fieret et vitatus et deiectus, nolebat cum amictu insigni adstare cognato et regi, sed insigni deposito crine transgressus ad monachos ita in forma vili regiam subiit: quando etiam prudentibus viris stupor obibat et perturbatio: nam de imprudentibus et qui talia non diiudicant, nullus est sermo.

Obibat ergo stupor his, quod Graecorum duces cum tanto splendore et candore contra cognatos bellantes, tam turpiter et misere et tali cum vilitate et animi abiectione retro ierunt pro antea peracto a priscis Graecis splendido et coronato triumpho ridiculum deducentes et vilissimum spectaculum, de clade non collegarum militarium solum sed etiam de sua fortuna et calamitate dura misere triumphantes. quid hac re potest esse clarius mentis alienatae documentum? quamobrem etiam admiratio me incessit, quomodo Graecorum reges, cum

βλαβείας ὑπόδειγμα; ὅθεν καὶ θαυμάζειν μοι ἔπεισι πῶς οἱ Ῥωμαίων βασιλεῖς τοὺς εἰδότας ἔχοντες πολλῶν ἱστοριῶν καὶ πράξεων ἐπιγνώσεις καὶ τύχας λαμπρὰς καὶ ταπεινὰς γινομένας ἐξ αἰτιῶν προφανεστάτων, ὧν μὲν ἐκ θείου χόλου τοῖς ἁμαρτανομένοις σφοδρῶς ἐπαναπτομένου, ὧν δὲ ἀπὸ βουλευμάτων γλίσχρων καὶ ἀγεννῶν καὶ ἀνοικείων τοῖς πράγμασιν, οὐδένα λόγον αὐτῶν πεποίηνται, οὐδ' ἀξιοῦσι τὰς αἰτίας μανθάνειν ἐξ ὧν τὰ τοιαῦτα δυστυχήματα τῇ Ῥωμαίων ἡγεμονίᾳ προσπίπτουσιν· ἀλλ' ἔξω πάσης βουλῆς θεοφιλοῦς καὶ θεραπείας τοῦ θείου καὶ τῆς τῶν πατρίων νόμων ἐπανορθώσεως καθιστάμενοι, ἀβούλως καὶ προπετῶς εἰς πολέμους μεγάλους καὶ κινδύνους, μὴ πρότερον τὸν θεὸν ἱλεωσάμενοι, τὰς Ῥωμαϊκὰς δυνάμεις εἰσάγουσι, καὶ πάσχοντες κακῶς καὶ ἡττώμενοι ἀπηνῶς αἴσθησιν οὐ λαμβάνουσι τῆς ἐκ τοῦ θείου νεμέσεως. ἀλλ' οἱ πάλαι Ῥωμαῖοι οὐχ οὕτω ποιοῦντες, τὰς φοβερὰς ἐκείνας καὶ μάχας καὶ στρατηγίας κατώρθουν, ἀλλὰ καίπερ τὴν ἐκ τοῦ θεοῦ λόγου καὶ τῆς ἐκ τῆς ἀρρήτου καὶ ὑπερφυοῦς σαρκώσεως αὐτοῦ καὶ κατὰ τόνδε τὸν κόσμον συναναστροφῆς νομοθεσίαν μηκέτι λαβόντες ἐπὶ τὸ σέβειν τὰ θεῖα καὶ ἀρετῆς ἀντιποιεῖσθαι καὶ τοὺς τῆς ἀγαθοεργίας νόμους καὶ εὐσεβείας καὶ καθαρότητος ἐκθύμως τηρεῖν, ὅμως τῇ φυσικῇ μεγαλοφροσύνῃ πρὸς τὰς τούτων παρατηρήσεις νουνεχῶς ἐπαιδεύοντο, καὶ εἴπερ ποτὲ συνέβη τῇ Ῥώμῃ εἴτε ἥττης δυσκλήρημα

18. νομοθεσίας C.

habeant eos, qui calleant cognitionem multarum historiarum et rerum et fortunas splendidas et humiles, ortas causis manifestissimis partim ira divina peccatis vehementer addita partim consiliis minutis et ignobilibus et ad res non aptis, nullam rationem eorum habuerint neque studeant causas cognoscere, quibus talia mala Graecorum imperio accidant, sed extra omne consilium deo acceptum et cultum numinis divini et restitutionem legum patriarum versati, imprudenter et incautius in bella magna et pericula, non antea deo placato, Graecos exercitus ducant et male affecti et victi crudeliter, non animadvertant divinam ultionem. sed prisci Romani non sic agentes, terribiles illas et pugnas et expeditiones feliciter agebant : at quamquam verbi divini, mystico et supra naturam modo incarnati et in hoc mundo versati legem non acceperant ad colenda divina et virtutem petendam et leges beneficientiae et pietatis et integritatis studiose observandas, tamen naturali magnanimitate ad harum rerum observationem prudenter educabantur atque si quando accidit Romae sive cladis infortunium sive ut signum non faustum appareret, multam instituebant interroga-

εἴτε σημεῖον οὐκ ἀγαθὸν ἐπεφάνη, πολλὴν ἐποιοῦντο τὴν ἔρευναν καὶ τὴν ζήτησιν, μή πού τι τῶν δεόντων καὶ ἁρμοζόντων παρελείφθη, ἢ παρθένος ἐκ τῶν φυλαττουσῶν τὸ ἀθάνατον πῦρ τὴν παρθενίαν ἐκλάπη, ἢ παρανομίας ἐπράχθη ὀνείδισμα, καὶ χόλος ἐντεῦθεν θεῖος τοῖς Ῥωμαίοις ἐπαπειλεῖ. καὶ διερευνώμενοι πολλάκις εὕρισκον τὰς τῶν ἀτοπημάτων αἰτίας· καὶ διορθούμενοι ταύτας, καὶ τὸ θεῖον ἐξευμενίσασθαι πληροφορηθέντες, μετὰ τοιαύτης παρασκευῆς καὶ θάρσους εἰς f. 208v.
τοὺς πολέμους ἐχώρουν, καὶ κατώρθουν αὐτούς, ἐπὶ μεγάλοις τροπαίοις τὰς νίκας ἐπαίροντες. ἐπεὶ καὶ τοῦτο τοῖς στρατηγοῖς διὰ σπουδῆς καὶ φροντίδος ἐγίνετο, τὸ καθαρμὸν ποιεῖσθαι τῇ στρατιᾷ παντὸς ἀδικήματος καὶ ῥυπάσματος, καὶ μετὰ τὸ καθῆραι ταύτην τὸ προκινδυνεύειν τῆς πατρίδος ἄμεινον εἶναι διελογίζοντο. τοῖς δὲ νῦν Ῥωμαίοις οὐδὲν τούτων διὰ φροντίδος ἐστίν, ἀλλ' οἱ μὲν ἀρχηγοὶ τούτων καὶ βασιλεῖς προφάσει δημοσιακῆς ὠφελείας τὰ χείριστα καὶ θεομισῆ καὶ παράνομα διαπράττονται, ὁ δὲ τοῦ στρατοῦ προηγούμενος μὴ προσανέχων τῷ πολέμῳ, μηδὲ τῇ πατρίδι νέμειν τὰ ὅσια προαιρούμενος, καὶ τὴν ἐκ τῆς νίκης δόξαν περιφρονῶν, πρὸς τὸ κερδαίνειν ὅλον ἑαυτὸν ἐπιτείνει, καὶ τὴν στρατηγίαν ἐμπορίαν κέρδους, οὐκ εὐπραγίαν τοῦ ἰδίου ἔθνους οὐδ' εὐδοξίαν πεποίηται. τὸ δὲ λοιπὸν πλῆθος, ἐκ τῶν ἡγεμόνων τὰς ἀφορμὰς λαμβάνον, τὰς ἀδικίας ἀκαθέκτους . . . καὶ ἀναι-

tionem inquisitionemque ne quid necessarii et apti negligeretur, sive virgo ex iis, quae custodiebant aeternum ignem, virginitate privata fuit, sive legum neglectarum facta erat ignominia et ira inde Romanis divina minabatur. et quaerentes saepenumero inveniebant iniquitatum causas et corrigentes eas atque se numen divinum placasse persuasum habentes cum tali apparatu et animo in bella ibant et feliciter gerebant ea, magnis tropaeis victorias tollentes: quandoquidem etiam hoc ducibus studio et curae fuit, ut expiationem instituerent exercitui omnis iniuriae et contaminationis et expiato hoc propugnare pro patria melius esse ducebant. hodiernis autem Romanis nihil horum curae est: sed duces quidem horum regesque specie publicae utilitatis pessima et deo invisa et illegitima perficiunt: exercitus autem imperator non intendens animum bello neque patriae tribuere iusta satius ducens et gloriam victoriae negligens ad lucrum se totum advertit et imperium mercaturum lucri, non fortunam sui populi neque gloriam reddiderunt: reliqua autem multitudo, a ducibus copia facta, iniurias indomitas committit et impudenti impetu cognatos male et crudeliter persequitur, rapiens et evincens quae his sunt propria, et hostium

σχύντοις ὁρμαῖς τοὺς ὁμοφύλους κακῶς καὶ ἀπανθρώπως μετέρχονται, ἁρπάζοντες καὶ βιαζόμενοι τὰ τούτοις προσόντα, καὶ τὰ τῶν πολεμίων δρῶντες ἐν τῇ ἰδίᾳ κατοικίᾳ καὶ χώρᾳ, καὶ μηδεμιᾶς κακοποιίας ἢ λαφυραγωγίας παραχωροῦντες τοῖς λεγομένοις πολεμίοις. ἀφ' ὧν αἱ παλαμναιότατοι τούτοις ἀραὶ παρὰ τῶν ὁμογενῶν ἐπιφέρονται, ὡς τῆς ἥττης αὐτῶν ἄνεσιν παρεχομένης πάσαις ταῖς τῶν Ῥωμαίων κώμαις καὶ χώραις καὶ πόλεσι τοιούτων πράξεων δρωμένων. καὶ πάλιν τεθαύμακα, τίνι θαρροῦντες οἱ τῶν Ῥωμαίων προεστῶτες πρὸς ἀντιπαρατάξεις καὶ πολέμους, ἐν οἷς ἀγωνοθέτης ἀρρεπὴς καθέστηκεν ὁ θεός, τοὺς ἀμφ' αὐτὸν ἐξοπλίζουσιν. ἢ πάντως οἰόμενοι λήσειν τὸν ἀνύστακτον ὀφθαλμὸν καὶ κλέψαι τὴν νίκην, ὥς τινος οἰκοδεσπότου μὴ ἐπαγρυπνοῦντος τοῖς ἰδίοις οὐσίδιον. λανθάνουσι δὲ οὐ μόνον τῶν ἐπὶ ταῖς μάχαις ἐλπίδων ἀποτυγχάνοντες, ἀλλὰ καὶ τὸν βίον δυσκλεῶς καταστρέφοντες καὶ τοῖς ἐξ ἀδικίας συμποριζομένοις προσαποβάλλοντες καὶ τὰ ἐκ δικαίων πόρων τῷ δημοσίῳ περιερχόμενα. ἔγωγε οὖν ἐν πολλοῖς συνεκστρατευσάμενος, κἀν τοῖς βασιλείοις συνεχῶς συναναστρεφόμενος, οὐδέπω ἔγνων ἐν πᾶσι βουλὴν θεῷ ἀρέσκουσαν, οὐδ' ἐπὶ στρατιωτικοῖς ἢ πολιτικοῖς πράγμασι σκέψεως προβαινούσης ἢ διαγνώσεως εὐλάβειαν προεπιμιχθεῖσαν τοῦ μή πώς ποτε παράνομόν τι συναναφαίνεται τῇ βουλῇ καὶ θεῷ ἀποτρόπαιον· ἀλλὰ τὸ πᾶν εἰς τὸ κέρδος τοῦ βουλεύματος καταντᾷ, κἂν ἱερὰ βεβηλῶνται, κἂν ἄνθρωποι βλάπτων-

more se gerens in sua sede et terra neque ullam vexationem vel direptionem relinquens hostibus qui dicuntur: unde maxime dirae his preces a cognatis imponuntur, quippe clade eorum remissionem praebente omnibus Graecorum pagis et terris et urbibus talium facinorum. atque rursus miratus sum, quo tandem freti Graecorum principes ad acies et bella, in quibus brabeuta incorruptus existit deus, suos instruant, profecto omnino opinantes, fore ut lateant oculum semper vigilem et surripiant victoriam tanquam patrifamilias non invigilanti rebus rem familiarem. nescii autem non solum spem pugnarum perdunt sed etiam vitam ingloriose finiunt et praeter ea quae iniustitia traduntur, vel ea amittunt, quae iustis reditibus rei publicae influunt. equidem igitur, qui multarum expeditionum particeps fuerim et in regia continuo sim versatus, nondum cognovi in omnibus voluntatem deo gratam neque in rebus militaribus vel civilibus cogitatione procedente aut cognitione cautionem admixtam, ne quando iniusti quid in consilio appareret et quod deo esset invisum: sed omnia ad lucrum

ται· κἀκεῖνο προέχουσιν ἐν τοῖς βασιλείοις εἰς τὰς προφάσεις τοῦ ἀδίκου καὶ θεομισοῦς κέρδους, ἐκ πονηρίας συλλέγοντες. ἀλλ' οὐδ' ἐν πολλοῖς τούτων ὁ θεὸς ἡγεῖται τοῦ προβουλεύματος, καὶ μνήμη τούτου συνανακέκραται. διὰ ταῦτα τὴν τῶν γινομένων ἐν τοῖς Ῥωμαίοις καταστροφὴν ἐς αὐτὴν ἀναφέρω τὴν ἐκ τοῦ θείου νέμεσιν καὶ τὴν ἐκ τῆς ἀδεκάστου f. 209 r. γνώμης ἀπόφασιν, ὅτι τοῖς ἔθνεσι τιμᾶσθαι τὸ δίκαιον λέγεται, καὶ συντηρεῖσθαι τὰ πάτρια νόμιμα τούτοις ἀπαρεγχείρητα, καὶ πᾶσαν τὴν εὐτυχίαν ἐκ τοῦ δημιουργοῦ καταπτᾶσαν αὐτοῖς συνεχῶς ἐπιλέγουσιν, ἅπερ κοινὰ πᾶσι τοῖς ἀνθρώποις εἰσὶ προτερήματα καὶ παρὰ πάσης ἀπαιτοῦνται θρησκείας. ἡ γὰρ ἀληθὴς καὶ ἀμώμητος πίστις ἡμῶν τῶν Χριστιανῶν, ἐπεὶ τῶν ἀρετῶν τυγχάνομεν ἔκπτωτοι, κατάγνωσις μᾶλλόν ἐστι καὶ κατάκρισις, καθὼς καὶ τῷ θείῳ νόμῳ τῶν ἐντολῶν δοκεῖ, φάσκοντι "ὁ εἰδὼς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ποιῶν δαρήσεται πολλάς."

Καὶ μή μοί τις ἐπιτιμήσῃ τῆς τοιαύτης τῶν ἡμετέρων καταδρομῆς. οὐ γὰρ ἐπὶ λοιδορίᾳ τούτων ἁπλῶς καὶ ἀτιμίᾳ ψευδόμενος γέγραφα, ἀλλ' ἐπὶ ἐλέγχῳ τῶν κακῶς πραττομένων, μή πού ποτε ἄρα αἰδὼς καὶ φόβος ἐπέλθῃ τοῦ θείου τοὺς ἡγεμόνας καὶ στρατηγοὺς καὶ αὐτοὺς τοὺς ὑπηκόους αὐτῶν, καὶ μεταβαλόντες ἐπὶ τὰ κρείττονα τῆς ἄνωθεν εὐμενείας καὶ ἀντιλήψεως τύχωσι, καὶ τὰς οἰκτρὰς ἐπανορθώσον-

8. ἀπαρεγχείρηται C.

consilii spectant sive sacra profanantur sive homines violantur: illudque obtinent in regia ad praetexta iniusti et deo invisi lucri, improbitate ea colligentes: sed neque in multis horum deus praeest consilio memoriaque huius admista est. propterea rerum gestarum apud Graecos exitum ipsi divinae tribuo ultioni et iudicio incorruptae sententiae: quia paganis coli iustitia dicitur, et observari patrios mores his fixum est et omnem felicitatem a mundi fabricatore iis evenire semper declarant, quales communes omnibus hominibus sunt virtutes et ab omni requiruntur cultu. vera namque et integra fides nostrum Christianorum, quando virtutibus excidimus, damnatio magis est et iudicium, sicut etiam divinae mandatorum legi videtur, quae ait: sciens voluntatem domini ipsius neque perficiens valde castigabitur.

Neve quis mihi exprobret talem rerum nostrarum insectationem: neque enim probro horum omnino et dedecori mentitus ea scripsi, sed vituperationi male factorum, si quando forte pudor et metus numinis divini invadat imperatores et duces et ipsos subiectos, et versi ad meliora priorem clementiam auxiliumque nanciscantur et miseras corri-

ται τύχας. περιέσχον γὰρ ἡμᾶς ὠδῖνες θανάτου, κατά τε πᾶσαν ἑώαν καὶ τὴν ἑσπέραν τῶν Γοτθικῶν καὶ μιαρωτάτων ἐπικρατησάντων ἐθνῶν, καὶ κατατρυφησάντων τῆς ἡμῶν εὐηθείας ἢ ἀμελείας, ἢ τὸ γε ἀληθέστερον εἰπεῖν, θεοβλαβείας καὶ μανίας, ὅτι κατ' ἀλλήλων λυττῶντες καὶ ἀκρατῶς τοῖς ὁμοφύλοις μαχόμενοι καὶ θανάτου καταφρονοῦντες, ἐν τοῖς ἀλλοφύλοις πολέμοις δειλοὶ καὶ ἀνάλκιδες καὶ πρὸ πολέμου νῶτα διδοῦντες φαινόμεθα.

Ἀλλὰ ταῦτα μὲν ἱκανὰ πρὸς ἄνδρας πολλὰ καὶ ἐξ ὀλίγων δυναμένους νοεῖν καὶ προνοεῖν τοῦ συμφέροντος. εἰσελθόντος δὲ τοῦ Καίσαρος καὶ παραστάντος τῷ βασιλεῖ ἔμεινε μὲν ἡσυχία τοῖς βασιλείοις, καὶ ἔδοξεν ὁ κρατῶν ἤδη κατωρθωκέναι τὸ πᾶν, πλὴν ὅσον ἀπέτυχε τὸ μὴ τὸν Ῥουσέλιον ἐν χερσὶ λαβεῖν καὶ ἀμύνασθαι. τὴν γὰρ τῶν Τούρκων κατὰ τῶν Ῥωμαίων ἐπιστρατείαν, καὶ τὸ σφάττεσθαι τοσοῦτον γένος Χριστιανῶν, καὶ δῃοῦσθαι κώμας καὶ χώρας, καὶ ἄρδην ἀνάστατον τὴν ἑώαν ὁρᾶσθαι, πῇ μὲν σφαζομένων ἀναριθμήτων ἀνθρώπων πῇ δὲ αἰχμαλωτιζομένων, ἐν δευτέρῳ ἐτίθετο. ὁ δέ γε Ῥουσέλιος, εἰ καὶ οἱ Τοῦρκοι διεσπασμένοι πρὸς πάντα τὰ Ῥωμαϊκὰ ἐτύγχανον θέματα, ἀλλ' αὐτὸς ἄρας ἐκ τοῦ τῆς Μεταβολῆς φρουρίου μετὰ τῶν ὑπολειφθέντων Φράγγων στρατιωτῶν καὶ τῆς συνεύνου καὶ τῶν τέκνων καὶ τῶν ὑπαρχόντων αὐτῷ διὰ μέσης τῆς χώρας ἀτρέ-

6. θανάτῳ C.

gant fortunas. tenuerant enim nos dolores mortis, in omni oriente atque occidente Gothicis et scelestissimis dominantibus populis, et luxuriantibus nostra simplicitate sive negligentia sive, id quod verius est nomen, mentis abalienatione et insania, quia contra nos invicem furentes et impotenter cum cognatis pugnantes et mortem contemnentes, tamen in alienis bellis ignavi et infirmi et ante bellum terga dantes apparemus.

Sed haec sufficiunt viris multa et pauca valentibus, ut cogitent et prospiciant utilitati. cum autem Caesar ingressus esset et adstitisset regi, manebat tranquillitas regiae, et visus est dominus iam perpetrasse omnia, nisi quod ei non cessit ut Ruselium in manus reciperet et defenderet. Turcarum enim contra Graecos expeditionem et trucidari tantum genus Christianorum et vastari pagos et terras et funditus desertum orientem adspici, cum hic trucidarentur innumerabiles homines, illic captivi fierent, inferiore loco ponebat. sed Ruselius quidem, licet Turcae dispersi essent per omnes Graecorum provincias, ipse certe profectus a Metabole castello cum relictis Francis

στως ἐβάδιζε, καὶ τὸ θέμα τῶν Ἀρμενιακῶν καταλαβὼν τοῖς προτέροις αὐτοῦ κάστροις καὶ αὖθις ἀποκατέστη, καὶ οὕτως ἐκδρομὰς κατὰ τῶν Τούρκων ποιούμενος ἀπεῖρξεν αὐτοὺς τοῦ τῷ τοιούτῳ θέματι προσβάλλειν καὶ πολεμικοῖς περιβάλλειν κακοῖς. ὁ δὲ βασιλεὺς θυμομαχῶν κατ' αὐτοῦ ἐξ ὑποβολῆς τοῦ προρρηθέντος εὐνούχου τοῦ Νικηφόρου, προῃρεῖτο μᾶλλον τοὺς Τούρκους τὰ Ῥωμαίων ἔχειν καὶ ἄγειν πράγματα ἢ τὸν Λατῖνον τοῦτον ἐν ἑνὶ τόπῳ χωρεῖσθαι καὶ ἀπείργειν τὰς ἐκείνων ἐπιδρομάς. διὰ τοῦτο καὶ πολλὰς μηχανὰς καὶ συνθήματα καὶ ὑποσχέσεις τοῖς Τούρκοις δούς, εἰ τοῦτον ποιήσοιντο αὐτῷ ὑποχείριον, ἐξαπέστειλε τῶν ἐν ὑπεροχαῖς ἀξιωμάτων ἕνα, στρατιώτην μὲν ὄντα, νέον δὲ τὴν ἡλικίαν καὶ φρονήσεως καὶ ἀνδρίας οὐδενὸς ἀποδέοντα, Ἀλέξιον πρόεδρον τὸν Κομνηνόν· ὃς ἐν τῷ ἄστει τῆς Ἀμασείας γενόμενος ἐκαραδόκει τὸ μέλλον. ὁ δὲ Ῥουσέλιος φιλίας καὶ συνθήκας μετὰ τοῦ τῶν Τούρκων ἐξάρχοντος ποιησάμενος, συνῆλθε τούτοις πολλάκις ἐψιλωμένος στρατιωτῶν. ἐν μιᾷ δὲ σύνδειπνος τούτοις ὑπάρχων ἐπιβουλὴν ὑπέστη δεινήν· οἱ γὰρ Τοῦρκοι πᾶσαν φιλίαν προδιδόντες χρημάτων, κατέσχον αὐτὸν καὶ δεσμώτην ἀπέδειξαν, παράγγελμα νόμιμον ἔχοντες τὸ τοὺς Ῥωμαίους ἀπατᾶν καὶ σφάττειν καὶ προδιδόναι καὶ μὴ δεδιέναι ὅρκον, ὅσον τὸ κατ' αὐτούς. καὶ ὃ μὲν κατείχετο δεσμώτης αὐτοῖς, ὁ δὲ πρόεδρος Ἀλέξιος ἐπραγματεύετο διὰ

militibus et uxore et liberis et suis, mediam per terram intrepidus procedebat, et provincia Armeniaca recepta priora castra rursus reliquit: atque sic incursiones contra Turcas faciens arcuit eos, ne talem provinciam aggrederentur et bellicis circumdarent malis: sed rex pugnax contra eum consilio antea commemorati Nicephori malebat Turcas Graecorum terram tenere rerumque potiri quam Latinum hunc in uno loco recipi et arcere illorum impetus. propterea etiam multa artificia et pacta et promissa Turcis dedit, si hunc redderent sibi obnoxium, et misit dignitatum maximarum quendam, militem quidem, iuvenem autem aetate et intelligentia atque fortitudine nemine inferiorem, Alexium Comnenum praesidem: qui quidem, postquam Amasiam urbem advenit, futurum exspectabat. Ruselius autem postquam amicitiam et pacta cum Turcarum imperatore iunxit, saepe venit ad hos, nudatus militibus: aliquando autem cum apud eos epularetur insidias subiit diras: Turcae enim, qui omnem amicitiam prodidissent pecuniis, ceperunt eum et vinctum reddiderunt, mandatum usitatum habentes, ut Graecos deciperent et trucidarent et proderent neque vererentur iusiurandum, quantum ad eos pertinebat: atque hic quidem retinebatur captivus iis,

δώρων τὴν τούτου κατάσχεσιν καὶ ἀπόληψιν, ἐν τῷ μέσῳ τοῦ βασιλέως οἰομένου εἰρηνεύειν τὰ πράγματα· τὴν γὰρ τῶν Τούρκων ἀπηνῆ ἐπικράτειαν εἰς οὐδὲν ἐλογίζετο δι' ἀναλγησίαν καὶ μῖσος τὸ πρὸς Ῥωμαίους, ὡς ἔοικεν.

Ἐν ᾧ καὶ δικάζοντα πολλάκις, ὡς εἰώθεν, ἀσυμβάτους δίκας καὶ ἀπροσφυῆ βασιλεῖ, καὶ ἀνευλόγως καταδικάζοντα τοὺς ἀνθρώπους ὑποθήκαις τῶν συνηγορούντων τοῖς χείροσι, φῆμαι καταλαμβάνουσαι, τοὺς Τούρκους λέγουσαι περὶ Χαλκηδόνα καὶ Χρυσόπολιν κατατρέχειν, ἄρτι πρῶτον τῇ τοιαύτῃ πλησιοχώρῳ ἐπιφοιτήσαντας γῇ, οὐδεμίαν ταραχὴν ἐνεποίουν καὶ σύγχυσιν, ἀλλ' ὡς ἀλλοτρίας χώρας πασχούσης αὐτὸς ἄφροντις ἔμενεν. οὕτως οὖν αὐτοῦ ἔχοντος, ὁ τα πρῶτα παρ' αὐτοῦ φέρων Νικηφόρος ὁ λογοθέτης τοῦ δρόμου, τὴν εἰς τὸν βασιλέα εὔνοιαν πολλαχόθεν ἐπισεμνύνειν ἑαυτῷ σοφιζόμενος, ἔπραττε μὲν ὅσα τούτῳ βουλομένῳ ἐνῆν, ἀπετείχιζε δὲ τῆς τοῦ βασιλέως ἀγάπης τήν τε μητέρα καὶ τοὺς ὁμαίμονας καὶ τοὺς λοιποὺς συγγενεῖς ὡς βασιλειῶντας δῆθεν καὶ τὸ συνοῖσον αὐτῷ μὴ θέλοντας, καὶ ὅτι αὐτὸς μόνος τὸ συμφέρον αὐτῷ διασπουδάζων καθέστηκε. διὸ δὴ καὶ μεγάλα παρὰ τῷ βασιλεῖ δυνηθεὶς αὐτὸς ἦν ὁ τὸ πᾶν διεξάγων τῆς βασιλείας, καὶ τῷ βασιλεῖ ἐπιτρέπων τὸ πραχθησόμενον, καὶ τὰς τιμὰς καὶ προνοίας οἷς ἐβούλετο χαριζόμενος διὰ λημ-

6. ἀπροσφυεῖς interpres: C ἀπροσφυῆ. 8. καταλαμβάνουσι C.

praeses autem Alexius agitabat donis huius retentionem et captivitatem, dum rex putat res esse pacatas. Turcarum enim crudelem dominationem nihili faciebat impatientia et odio Graecorum, ut videtur.

Inter quae cum eum diiudicantem saepe, ut solebat, lites non aptas neque accommodatas regi, et imprudenter damnantem homines consilio peioribus auxiliantium, fama assequeretur, dicens, Turcas circa Chalcedonem et Chrysopolin percursiones facere, tum primum tam vicinae inhiantes terrae, nullam turbam haec ei iniiciebant et confusionem: sed quasi aliena terra vexaretur, ipse impatiens manebat. qui quidem cum talem se praeberet, Nicephorus, qui primas ab eo referret, logotheta stadii, bonum erga regem animum plerumque iactare callens, agebat quidem, quaecunque ex illius animo erant: excludebat autem a regis amore matrem et consanguineos et ceteros cognatos ut regnare scilicet cupientes neque quod ei profuturum esset volentes, et quasi ipse solus utile ei pararet exstitit: quamobrem etiam multum apud regem valens ipse erat, qui omnia perficeret regni et regi traderet quae essent agenda et honores et administrationes, quibus vellet, donans reditibus non parvis: erat enim praeter cetera vitia etiam

μάτων οὐχὶ μικρῶν. ἦν γὰρ μετὰ τῶν ἄλλων κακῶν καὶ περὶ φιλοχρηματίαν δαιμονίως σπουδάζων, καὶ κτήσεων ἀκινήτων χανδὸν ποιούμενος τὴν ἐπίκτησιν. ὧν ἀκορέστως ἐχόμενος κέντρον καὶ ταμεῖον τῆς τῶν λοιπῶν αὐτοῦ κτήσεων ἐπισυναθροίσεως τὴν τοῦ Ἑβδόμου μονήν. ταύτην γὰρ λαβὼν κατὰ δωρεάν, παρεσκεύαζε τὸν βασιλέα πολλὰ τῶν κτημάτων αὐτῷ προσκυροῦν ὁσημέραι καὶ προσόδους ἀφθόρους περιποιεῖν, ὡς αὐτοῦ f. 210 v. τάχα διαγωνιζομένου ποιῆσαι τοῦτο μετὰ παρέλευσιν τῷ βασιλεῖ πολύολβον ἐνδιαίτημα, σκεπτόμενος ἐκ μοχθηρίας οἰκειοῦσθαι καὶ παρακερδαίνειν τὰ νῦν προσφερόμενα καὶ τῷ ὀνόματι τῆς μονῆς πλοῦτον ἐπικτᾶσθαι ὑπερφυῆ, τοῦ δὲ μέλλοντος εἶναι τὸν λόγον ἀπόρρητον. ἐν τούτοις δὲ πᾶσιν οὐδένα κόρον λαμβάνων, καίτοι καὶ παρὰ πάντων τῶν ἐν τέλει καὶ τῶν στρατιωτῶν καὶ τελωνῶν καὶ πρακτόρων δωροδοκούμενος καὶ κτήσεων εἰδικῶν καὶ οἴκων ἐν περιλήψει μεγάλων καὶ πολλῶν καθιστάμενος, οὐδὲ τοῦ κερδαίνειν καὶ ἐκ συκοφαντημάτων ἀπείχετο, οὐδὲ τοῦ ἐπιβουλεύειν τῇ εὐθηνίᾳ καὶ τὴν κοσμικὴν ἀδημονίαν καὶ ἔνδειαν οἰκείαν ποιεῖσθαι φιλοκερδείας ὑπόθεσιν· τῷ τοι καὶ μαθὼν ὡς ἐν τῷ κάστρῳ τῇ Ῥαιδεστῷ κατάγουσιν ἅμαξαι τὸν σῖτον πολλαί, καὶ διαπιπράσκουσι διασκεδαννύμεναι εἴς τε τὰ τῶν μοναστηρίων ξενοδοχεῖα καὶ κατατόπια καὶ αὐτῆς τῆς μεγάλης ἐκκλησίας καὶ πολλῶν ἐγχωρίων, καὶ ἄνετον ποιοῦνται τὴν πρᾶ-

5. μονὴν] an μονὴν ἐποιεῖτο? 8. ἀφθόνους interpres. 13. λαμβάνειν C. 23. ποιοῦντα C.

avaritiae mire deditus, et possessionum immotarum cupide sibi comparabat accessionem, quarum insatiabili modo tenax stimulum et cellam accumulationis ceterarum possessionum habebat Hebdomi monasterium: hoc enim postquam dono accepit efficiebat, ut rex multas possessiones ei firmaret quotidie et redituum affatim tribueret, ita ut eo brevi hoc evincente hoc redderet prope regem maxime beatum domicilium, studens pravitate ei conciliari et lucrari quae nunc redeunt et nomine monasterii divitias sibi comparare immensas. cum hic talis esse vellet ratione vetita, in his autem omnibus nullam capere satietatem, licet et ab omnibus magistratibus et militibus et publicanis et portitoribus pecunia corruptus et possessionum privatarum et aedificiorum circuitu magnorum multorumque (dominus) factus, ne sic quidem a lucro vel calumniis destitit, neque studere abundantiae et terrenam calamitatem atque inopiam proprium reddere lucri argumentum. tum ergo audito, ad castellum Raidestum deducere currus frumentum multos et vendere, sparsos per monasteriorum deversoria et regiones et ipsius magnae ecclesiae et multorum patriae locorum, et

σιν πρὸς τὸν βουλόμενον καὶ ἀκώλυτον, καὶ οὕτως ὁδεύει διὰ πάντων τὸ ἀγαθὸν τῆς εὐθηνίας, φθονήσας τῆς εὐετηρίας τῷ κόσμῳ φούνδακα ἐκτὸς τοῦ ἄστεος ὁ παγκάκιστος ἐποικοδομεῖ, κἂν τούτῳ συναθροίζεσθαι τὰς ἁμάξας ἐπισκήπτει, βασιλικῷ γράμματι τοῦτο διορισάμενος· καὶ μονοπώλιον τίθησιν εἰς τὸ ἀναγκαιότατον χρῆμα, τὸν σῖτον, μηδενὸς δυναμένου εἰ μὴ ἀπὸ τοῦ φούνδακος ἐξωνήσασθαι, φούνδακος τοῦ δολίου καὶ δαιμονιώδους πράγματος καὶ ὀνόματος. ἐξ οὗ γὰρ ἐκεῖνος ἐπάγη, ἡ εὐθηνία τῶν πόλεων ᾤχετο, καὶ ἡ τοῦ θείου ὀργὴ τὰ ὑπὸ Ῥωμαίους μειζόνως κατέλαβεν. οὐ γάρ, ὥσπερ τὸ πρότερον ἦν, ὁ βουλόμενος ἐξωνεῖτο τὸν σῖτον καὶ μετὰ τοῦ πωλοῦντος συνήλλαττε, καὶ εἴ περ μὴ ἐν τῷδε τῷ κατατοπίῳ ἠρέσκετο, μετέβαινεν εἰς τὸ ἄλλο καὶ αὖθις εἰς ἕτερον, καὶ ἀπὸ τῶν ἁμαξῶν ἡ πρᾶσις ἐγίνετο· ἀλλ' εἰσερχόμενα τὰ γεώργια ἐν τῇ τοῦ φούνδακος εἱρκτῇ σιτώνας εἶχον ἐνοίκους τοῦ φούνδακος καὶ σιτοκαπήλους πολλούς, καὶ οὗτοι προαρπάζοντες τὸν σῖτον ἐξωνοῦντο καὶ ἀπετίθουν, καὶ διηγωνίζοντο κερδαίνειν ἐπὶ τῷ νομίσματι νομίσματα τρία. ἠγόραζε δὲ ἀπὸ τῶν ἁμαξῶν οὐδείς, οὔτε ναυτικὸς εἰσάγων αὐτὸν εἰς τὴν βασιλεύουσαν οὔτε ἀστικὸς οὔτε ἄγροικος οὔτε ἄλλος οὐδείς· ἀλλ' ἀπὸ τῶν σιτοκαπήλων τοῦ φούνδακος ἡ πρᾶσις προέβαινεν, ὡς ἐκεῖνοι ἐβούλοντο καὶ ὁ προκαθήμενος αὐτῶν λυμεὼν φουνδακάριος, ὃς καινοτομῶν τοὺς τὸν σῖτον καταβι-

3. margo κομμέρκιον καὶ φόρον εἶτουν πανήγυριν.

liberum facere commercium cum quovis et expeditum, atque ita procedere omnino salutem abundantiae, invidens copiam mundo, horreum extra urbem pessimus homo exaedificat, et in hoc cogi currus iubet, regiis literis hoc perficiens, et monopolium imponit maxime necessariae rei, frumento, cum nemo posset nisi ex horreo emere, horreo, insidiosa et ingenti re atque significatione: ex quo enim illud inductum est, felicitas urbium evanescebat, et ira divina res Graecas magis obtinuit: neque enim, ut antea fuerat, qui vellet, emebat frumentum et cum vendente commutationem inibat, atque si in hoc loco ei non placeret, transibat ad alium rursusque ad alium, et ex curribus venditio fiebat: sed fruges quae importabantur in horrei septum, dardanarios habebant inhabitantes horreo et propolas multos: atque hi rapientes frumentum emebant et reponebant et certabant lucrari asse tres asses: emebat autem ex curribus nemo, neque nauta importabat illud in urbem, neque urbanus neque agricola neque ullus alius: sed a propolis horrei venditio procedebat, sicut illi volebant: atque praeses eorum, perditor, horrei administrator, qui novo modo vexabat frumentum deducentes et frumentum his turpiter adimebat et gravia vectiga-

βάζοντας, καὶ σῖτον ἐκ τούτων κακῶς ἀφαιρούμενος, καὶ βαρείας ἀπαιτήσεις ὑπὲρ τῶν τοπιατικῶν εἰσπραττόμενος, ἠνάγκαζε τὴν πρᾶσιν διὰ τὸ καινοτομεῖσθαι πολυειδῶς ἐνδεεστέραν ποιεῖν. καὶ οὕτως τρεφομένου τοῦ φούνδακος εἰς ἀδικίαν ἀπαραμύθητον ἐξέπεσε τὰ τῆς προτέρας εὐθηνίας τῇ πολιτείᾳ, καὶ περιέστη ἀπὸ δέκα καὶ ὀκτὼ μοδίων εἰς ἕνα μόδιον τοῦ νομίσματος ἡ τοῦ σίτου πρᾶσις. ἐκομμερκεύοντο γὰρ ἔκτοτε, φεῦ τῆς πλεονεξίας, οὐ μόνον αἱ πυροφόροι ἅμαξαι, ἀλλὰ καὶ τὰ λοιπὰ ὤνια, ὅσα πλησίον ἐκείνου παρώδευον. ἀπείργοντο δὲ καὶ οἱ τῆς περιχώρου ἐκείνης καὶ οἱ τῆς Ῥαιδεστοῦ ἔποικοι πωλεῖν τὰ ἴδια γεώργια ἐν ταῖς ἑστί- f. 210 v.
αις αὐτῶν. ἀφῃροῦντο δὲ καὶ οἱ μέδιμνοι καὶ μόνος ὁ φοῦνδαξ τῶν μεδίμνων ὑπῆρχε κύριος. ὅπερ οὐδέποτε γέγονεν, οὐδ' ὁ ἥλιος εἶδε τοιοῦτον ἀδίκημα. εἰ γὰρ προσηγγέλη τις πωλήσας οἴκαδε σῖτον ἐξ ὧν ἐγεώργησεν, ὡς φονεὺς ἢ βιαστὴς ἢ ἄτοπόν τι ἕτερον πεπραχὼς ἐδημεύετο καὶ ἡρπάζετο παρὰ τοῦ ἐπιστατοῦντος τῷ φούνδακι. παρῆσαν γὰρ τῷ φουνδακαρίῳ ἐκ πάσης ἰδέας κακούργων ἄχρι τῶν ἑκατὸν ταξιῶται ταττόμενοι παρ' αὐτοῦ, καὶ τοὺς ἐλεεινοὺς ἐμπόρους καὶ γεωργοὺς πολλοῖς ἀνιαροῖς περιέβαλλον· καὶ οὐδεὶς ἦν ὁ ἀντιστῆναι τούτοις δυνάμενος τῷ τε πλήθει δυσκαταγωνίστοις οὖσι καὶ τῇ δυναστείᾳ τοῦ λογοθέτου τὸ θράσος ἀκάθεκτον ἔχουσι. καὶ ὃ μὲν ξ' λιτρῶν τὸν φούνδακα μισθωσά-

7. *ἐκκομμερκεύοντο* C. 12. margo *μόδιοι*.

lia' rerum in ea terra provenientium exigebat, cogebat eos venditionem, novando res vario modo, inferiorem exercere: atque ita aucto horreo ad iniustitiam immitem exibat prior felicitas civitati; et tanta facta est conversio ut antea duodeviginti frumenti modii asse venirent, iam unus modius eo pretio constaret. in commercium autem deducebantur ex eo tempore, heu avaritiam, non solum tritici currus sed etiam reliquae merces, quaecunque prope illud proveniebant. impediebantur autem et incolae vicinitatis illius et Raidesti vicini, quominus venderent fruges suas in suis domibus: et adimebantur etiam modii frumentarii, et solum horreum modiorum erat particeps: quod nunquam factum erat neque sol viderat talem iniuriam. etenim si quis denuntiabatur vendidisse domi frumentum ex iis quae agro colendo profecerat, tanquam interfector vel latro vel quasi immane quid peregisset, proscribebatur et diripiebatur a praeside horrei, aderant enim administratori horrei ex omni genere scelestorum usque ad centum apparitores, instituti ab eo, et miseros mercatores et agricolas multis molestiis circumdabant: neque quisquam erat, qui resistere his posset et multitudine impugnabilibus et principatu logothetae audaciam impo-

μενος ἐνηβρύνετο τῷ ἐξ αὐτοῦ πορισμῷ· ἡ δ' ἔνδεια τοὺς πάντας ἐπίεζεν, οὐ μόνον τοῦ σίτου ἀλλὰ καὶ τῶν ἄλλων εἰδῶν. ἐκείνου γὰρ στενοχωρουμένου ἀνάγκη καὶ τὰ λοιπὰ στενοχωρεῖσθαι, ὅτι δι' αὐτοῦ τῶν ἄλλων ὠνίων ἡ ἐπίκτησις ἢ περιποίησις γίνεται, καὶ οἱ μισθαρνοῦντες βαρυτέρους τοὺς μισθοὺς διὰ τὸ ἐνδεὲς τῆς τροφῆς ἀπαιτοῦσι. καὶ οἱ μὲν ἀξιολογώτεροι τῶν ἀνθρώπων καὶ οἱ τῷ φούνδακι πλησιάζοντες ἐγίνωσκον τὴν αὐτοῦ χαλεπότητα, καὶ ὅθεν τῷ κόσμῳ τὸ δεινὸν τῆς ἐνδείας ἀηδῶς ἐπεπόλασε· τὸ δ' ἄδικον κέρδος, ὡς φάρμακον μέλιτι κατεσκευασμένον τε καὶ κλεπτόμενον, τοὺς κρατοῦντας ἀπειροκάλως κατέθελγε, μέχρις ἂν σὺν τῷ κέρδει τούτου καὶ τὴν οὐσίαν πᾶσαν καὶ τὴν σωτηρίαν ἀπέβαλον.

Ἐν τούτοις οὖν τῶν βασιλικῶν φροντισμάτων ὑπόντων, μᾶλλον δὲ τῶν τοῦ Νικηφόρου δεινῶν βουλευμάτων συναγομένων, ἤρξατο μὲν ὑπορρεῖν ὁ σῖτος καὶ καταλήγειν τὰ τῆς εὐθηνίας εἰς ἔνδειαν, ηὔξανε δὲ ὁ τῶν πολλῶν γογγυσμός, καὶ μᾶλλον τῶν ἀκριβῶς ἐπισταμένων τὸ ἄτοπον, καὶ ὅσοι τῶν γινομένων κακῶν ἐγγυτέρω καθίσταντο. ἐθρυλλεῖτο δὲ καὶ τὸ παρὰ τὸν Ἴστρον κατοικοῦν μιξοβάρβαρον. παράκεινται γὰρ τῇ ὄχθῃ τούτου πολλαὶ καὶ μεγάλαι πόλεις, ἐκ πάσης γλώσσης συνηγμένον ἔχουσαι πλῆθος, καὶ ὁπλιτικὸν οὐ μικρὸν ἀποτρέφουσαι. πρὸς αἷς οἱ περαιωθέντες Σκύθαι τὸ

9. ἀηθῶς?

tenem habentibus. atque iste quidem, qui sexaginta libris horreum conduxerat, iactabat quaestum eius: inopia autem omnes premebat, non solum frumenti sed etiam ceterorum generum. illo enim minuto necesse est etiam reliqua minuantur, quia eo ceterarum mercium accessio aut acquisitio fit et qui mercede serviunt graviorem mercedem propter inopiam alimenti postulant; atque illustriores quidem homines et qui vicini erant horreo, cognoscebant eius molestiam, et unde mundo dira inopia iniucunde obveniret: iniustum autem lucrum tanquam potus melle apparatus et surreptus, dominantes turpiter demulciebat, donec cum lucro huius etiam facultates omnes et salutem amitterent.

His igitur in rebus cum regiae curae subessent, sive potius dira Nicephori consilia conferrentur, coepit defluere frumentum et deflecti felicitas ad inopiam: augebatur multitudinis indignatio atque magis eorum qui accurate sciebant rem ingentem, et quicunque malis propius adstabant. frequentabatur etiam sermonibus populus semibarbarus ad Istrum habitans: adiacent enim litori huius multae magnaeque urbes, ex omni lingua coactam habentes multitudinem et gravis armaturae exercitum non parvum alentes: ad quas transgressi Scythae antea, Scythicam adferunt vitae consuetudinem: a quibus diripientes

πρότερον τὸν Σκυθικὸν ἐπιφέρουσι βίον. παρ' ὧν καταληιζόμεναι, καὶ τὰς ἐκ τῶν βασιλικῶν ταμείων ἀποστελλομένας ἐτησίως φιλοτιμίας σπουδῇ τοῦ Νικηφόρου περιεκόπτοντο. καὶ κατὰ τοῦτό τινες τῶν τοιούτων πόλεων εἰς ἀποστασίαν ἀπέβλεψαν καὶ εἰς τὸ ἔθνος τῶν Πατζινάκων παρήγγελλον. σκεψάμενοι δ' οἱ περὶ τὸν βασιλέα σατράπην στεῖλαι τῶν οἰκειοτάτων αὐτῷ, ἔγνωσαν κατεπάνω τῆς Δρίστρας χειροτονῆσαι Νέστορά τινα τῷ τῶν βεσταρχῶν μὲν ἀξιώματι τετιμημένον, ἀπὸ Ἰλλυριῶν δὲ τὸ γένος ἕλκοντα καὶ δοῦλον πατρῷον γεγονότα τοῦ βασιλεύοντος. ὃν καὶ τῇ τοσαύτῃ τιμήσας ὁ τηνικαῦτα κρατῶν ἀρχῇ, ἐξαπέστειλε μετά τινων Δριστρηνῶν ὑπισχνουμένων τῷ βασιλεῖ τὴν εἰς τοῦτον τοῦ κάστρου μετάθεσιν. ἀπελθὼν δὲ, καί τινα χρόνον διηνυκώς, εὕρισκε μὲν τοὺς ἐγχωρίους μικρόν τι ἢ οὐδὲν τὴν τοῦ βασιλέως τῶν Ῥωμαίων κυριότητα ἐπιστρεφομένους, εἰς δὲ τὸν ἐξάρχοντα τούτων (Τατροὺς αὐτῷ ἡ προσηγορία) τὴν ἐξουσίαν τῆς ἄκρας f. 211 r. ὁλοσχερῶς ἀναφέροντας. εἴτε δὲ φόβῳ τούτων ὁ Νέστωρ κατασεισθείς, εἴτε τῷ ὁμοτίμῳ τοῦ γένους τῆς ἐκείνων ἐρασθεὶς προαιρέσεως, εἴτ' ἐκ τῆς καταλαβούσης αὐτὸν φήμης δηχθεὶς τὴν ψυχήν, ἥτις ἦν ὡς τὴν οἰκίαν αὐτοῦ καὶ τὴν οὐσίαν τῷ δημοσίῳ ἐγγράφουσι προφάσει τοῦ μὴ καταναλῶσαι τὸ δοθὲν αὐτῷ χρυσίον ἐκ τῶν βασιλικῶν θησαυρῶν εἰς δέον (καὶ γὰρ δυσμενῶς ἔχων πρὸς αὐτὸν ὁ Νικηφόρος ἔπραττε τοῦτο κα-

etiam dona, quae ex regiis thesauris quotannis mittebantur, studio Nicephori circumscribebantur: atque hac ratione nonnullae harum urbium ad seditionem spectarunt, et ad populum Patzinacorum nuntium mittebant. volentes, qui circa regem erant, satrapam mittere ex iis qui illi maxime erant dediti, statuerunt praefectum Dristrae creare Nestorem quendam, vestiariorum principum dignitate honoratum, ab Illyriis genus ducentem et servum paternum factum regis: quem quidem etiam tanto honorans qui tum imperabat imperio, misit cum nonnullis Dristrenis, qui promitterent regi se castellum huic conciliaturos esse. cum is abiisset et tempus aliquod peregisset iter, inveniebat incolas paulum vel nihil regis Graecorum potestatem respicere, sed ad principem suum (Tatrys ei erat nomen) imperium arcis prorsus deferre: sive autem metu horum Nestor concussus sive propter aequam generis dignitatem illorum partes amans, sive propter famam ad eum delatam animo punctus, quae aiebat: domum eius et rem familiarem publicari praetexto quasi non impendisset quae ei data erat ex regiis thesauris pecuniam ad res necessarias: etenim inimice dispositus adversus eum Nicephorus patrabat hoc turpiter, invidia et

κῶς, τῷ φθόνῳ καὶ τῇ κακοηθείᾳ μὴ προτιμᾶν τὸ συμφέρον εἰδώς, καὶ τιμωρῶν ἐπισφαλῶς τὸν ἀκρίτην, ἐν οὕτω συγχύσει τῶν πραγμάτων ὑπαρχόντων, καὶ πρὸ τοῦ δοῦναι λόγον τῆς διοικήσεως), τῆς αὐτῆς ἐκείνοις βουλῆς καὶ γνώμης ἐπὶ συνθήκαις καὶ ὅρκοις κοινωνὸς ἐχρημάτισε, καὶ πρὸς τὰς ὁμολογίας ταύτας καὶ τὸ τῶν Πατζινάκων ἔθνος συναρμοσάμενος πολεμεῖν τοῖς Ῥωμαίοις μετ' αὐτῶν ἀσπόνδῳ τῇ μάχῃ συνέθετο. συγκινήσεως οὖν γενομένης τοιαύτης, τὰ περὶ τὸν πόλεμον καὶ τὴν τῆς Ῥωμαϊκῆς χώρας ἐπιδρομὴν αὐτοῖς ἐξηρτύετο.

Ἐν δὲ τῷ μέσῳ τοῦ Ῥουσελίου τοῖς Τούρκοις κατεχομένου, πολλὴν ὁ πρόεδρος Ἀλέξιος ἐποιήσατο τὴν σπουδήν, τῷ κάστρῳ τῆς Ἀμασείας ἐνδιατρίβων, ὑπὸ τὴν ἰδίαν χεῖρα τοῦτον ποιήσασθαι. καὶ μέντοι καὶ ταλάντων ἱκανῶν τιμησαμένων τῶν Τούρκων τὸν Ῥουσέλιον, τῇ καταβολῇ τῶν ἀπαιτουμένων ὤνιον αὐτὸν ἀπειργάσατο καὶ ὑπὸ τὴν ἰδίαν ὑπηγάγετο χεῖρα, καὶ σιδηροδέσμιον ἀποδείξας διὰ πολλῆς εἶχε καὶ ἀγρύπνου τῆς φυλακῆς. εἶτα πέμψας γράμμα πρὸς τὸν βασιλέα, καὶ παρ' ἐκείνου πάλιν δεξάμενος, διὰ τῆς Ποντικῆς θαλάσσης ἐπεπορεύθη, καὶ τοῦτον εἰς τὴν βασιλεύουσαν μετὰ τῆς αὐτῆς ποδοκάκης εἰσήγαγεν. ὁ δὲ βασιλεὺς μὴ προθέμενος εἰς ὄψιν ἑαυτοῦ καὶ θέαν τοῦτον ἐλθεῖν, καί τι καὶ βουλεύσασθαι βασιλικῆς ἀνεξικακίας καὶ μεγαλοφροσύνης

2. an ἄκριτον? post οὕτω vel μεγάλῃ deest vel simile quid.

pravitate respicere utilitatem nesciens et exsequens periculose ius iudicii violatum, in tanta confusione rebus versantibus et ante redditam administrationis rationem, eiusdem cum illis consilii et sententiae pactionibus et iureiurando particeps est factus: et ex pactionibus his postquam etiam Patzinacorum populum conciliavit, conveniebat cum iis, ut cum Graecis pugnarent bello implacabili. tali ergo turba facta bellum ab iis et Graecae terrae invasio apparabantur.

Interea autem, cum Ruselius a Turcis detineretur, multam praeses Alexius dedit operam, in castello Amasia versatus, ut in suam manum redigeret, atque, cum tamen Turcae sat multis talentis aestimassent Ruselium, depositis iis quae requirebantur, quasi mercem eum sibi comparavit et in suam subegit manum, et in vincula ferrea coniectum multa tenebat et diligenti custodia: deinde missis literis ad regem et ab illo rursus acceptis per Ponticum mare profectus est atque hunc in regiam eisdem compedibus vinctum induxit. sed rex, statuens eum in conspectum suum non venire, et decernere aliquid, dignum regia patientia et magnanimitate, et proponere contra eum iudicium et post decisionem dam-

ἐπάξιον, καὶ προθεῖναι κατ' αὐτοῦ δικαστήριον, καὶ μετὰ διάγνωσιν καταδίκῃ μὲν θανατηφόρῳ τοῦτον ὑποβαλεῖν, ἀντιστῆσαι δὲ τῷ δικαίῳ χόλῳ τὸ ἠπιώτατον καὶ φιλάνθρωπον, καὶ οὕτω φυλάξαι τῇ Ῥωμαίων ἀρχῇ τηλικοῦτον στρατιώτην καὶ στρατηγόν, δυνάμενον ἐν τοῖς φλεγμαίνουσι κακοῖς τῆς ἑώας ἰάσασθαι πολλὰ τῶν αὐτῆς συντριμμάτων, ὥστε χάριτας ὁμολογήσαντα τῆς σωτηρίας τῷ βασιλεῖ καὶ ἀνυπερβλήτους εὐχαριστίας πεποιηκότα (ὅπερ πάντως ἀνάγκη τούτῳ ποιῆσαι ἦν, λογικῷ τε ὄντι καὶ φρονήσεως οὐκ ἀμοιροῦντι στεῤῥᾶς) λαβεῖν τὴν ἡγεμονίαν τοῦ πολέμου καὶ τῆς πιεζούσης ἐπιδρομῆς ἐλευθερῶσαι τὰ ἑῷα, ὅσον γε ἥκει κατ' ἀνθρωπίνην ἔννοιαν ἐκ τῆς τῶν προτέρων αὐτοῦ κατορθωμάτων καὶ τολμημάτων κατανοήσεως, — μὴ πεποιηκὼς οὖν οὕτως ὁ βασιλεύς, ἀλλὰ τῷ θυμῷ τὸ πλεῖον ἀπονείμας τοῦ πράγματος, ἔλαθε μεγίστης ἰσχύος καὶ εὐπραγίας ἀποστερήσας τὴν Ῥωμαίων ἀρχήν, ὡς καὶ μετὰ ταῦτα τὰ πράγματα παρεστήσαντο. παραδοὺς αὐτὸν τοῖς βασανισταῖς, ξεσμοῖς ἀνηκέστοις διὰ βουνεύρων, ὥς τινα δοῦλον δραπέτην, αὐτὸν καθυπέβαλε, καὶ εἰς ἕνα τῶν πύργων κατακλείσας, ζοφώδη καὶ f. 211 v. ἀφιλάνθρωπον, ἀτημέλητον εἶχε καὶ σχοίνοις σιδηροῖς δέσμιον.

Ἔφθη οὖν ὁ Νέστωρ τὴν μελετωμένην ἐκπληρώσας βουλήν, καὶ μετὰ τῶν Πατζινάκων εἰς τὴν Μακεδονικὴν ἐμβαλών, καὶ ταύτην κακῶς ἄγαν καὶ ἀπηνῶς διαθείς· οὐδὲ

7. ὁμολογήσαντας et πεποιηκότας C. correxit interpres. 17. παραδοὺς γὰρ αὐτὸν?

nationi capitis hunc subiicere, opponere autem iusto odio clementiam et humanitatem atque sic servare Graecorum imperio talem militem et ducem, qui posset in flagrantibus malis orientis mederi multis eius ictibus, quippe cum merita concessisset salutis regi et insuperabiles grates egisset: id quod omnino oportuit hunc facere cautum neque prudentiae expertem constantis: quique posset suscipere imperium belli et a molesta invasione liberare orientis terras, quantum in hominum animum venit ex consideratione priorum eius victoriarum et facinorum audacium: sed non sic agens rex, sed irae plurimum rei tribuens, nescius maximo robore et eventu privavit Graecorum imperium, ut etiam postea res apparebant: tradens eum tortoribus, cruciatibus insanabilibus exuviarum bubularum tanquam servum fugitivum eum subiecit et in turri includens obscura et inhumana honore deminutum tenebat et vinculis ferreis adstrictum.

Antevertit igitur Nestor statutum exsecutus consilium, et cum Patzinacis in Macedoniam invadens et hanc pessime et crudeliter

γὰρ εἰς πόλεμον ἀντεπεξελθεῖν αὐτῷ οἱ ἐν Ἀδριανουπόλει συλλεγέντες στρατιῶται ἐτόλμησαν. οὕτως Θρᾷκάς τε . . . καὶ μετὰ πλήθους ἀξιολόγου τῆς Βύζαντος ἐγγὺς ἐστρατοπεδεύσαντο. τὸ δ' ἄλλο πλῆθος ἐπαφῆκε τὰς λοιπὰς πόλεις καὶ χώρας ἀποκείρειν τε καὶ δῃοῦν. θέρους δὲ ὥρας ἐνισταμένης καὶ τῶν καρπῶν ἠρτημένων, οὐ μικρά τις τῶν ἀναγκαίων σπάνις κατεῖχε τὴν βασιλεύουσαν καὶ τὰς λοιπὰς ἑσπερίας πόλεις, ὡς καὶ αὐτοῖς τοῖς κτήνεσι τὰς τροφὰς ἐπιλείπειν, καὶ πανταχόθεν ἐπιστυγνάζειν τοῖς ὅλοις τὸ ἄπορον· οὔτε γὰρ ἀξιόλογος στρατιὰ τῇ βασιλίδι παρῆν, τοὺς πολεμίους δυναμένη ἀπώσασθαι, οὔτ' ἄλλη τις μηχανὴ εὐέλπιδας τοὺς πολίτας ἐποίει πρὸς τὴν τοῦ ἔθνους ἀπαλλαγήν. ἀλλ' οὐδ' ὁ βασιλεὺς λόγῳ καὶ φρονήσει καὶ πολυπειρίᾳ διαφέρων ἦν, ὥστε διὰ τῆς οἰκείας ὀξύτητος λύσιν εὑρεῖν τινὰ τοῦ δεινοῦ. μία δὲ πᾶσιν ἐδόκει τῶν τοσούτων κακῶν ἀπαλλαγή· ἡ τοῦ ἀπὸ λογοθετῶν Νικηφόρου πρὸς τοὺς πολεμίους ἔκδοσις. τοῦτον γὰρ ἰσχυρῶς ἐπεζήτει λαβεῖν καὶ κολάσαι ὡς τῶν ὅλων δυσχερῶν αἴτιον, καὶ αὐτίκα τῆς βασιλευούσης ἀπαναστῆναι καὶ δοῦναι τὴν προτέραν ἄδειαν τοῖς Ῥωμαίοις καὶ κατακληρῶσαι τὰ ἑαυτῶν. ἀλλ' ὁ βασιλεὺς πάντα προέσθαι καὶ παθεῖν ἕτοιμος ἦν ἢ τὸ ζητούμενον ἐκ μέσου ποιήσασθαι. καὶ τοῦτο γὰρ ἐζητεῖτο καὶ ἐζυγομαχεῖτο τοῖς πλείοσιν, ὥστε κἂν μὴ ἔκδοτος τοῖς ἐναντίοις δοθῇ παραλυθῆναι τέως αὐτὸν τῆς

17. ἰσχυρῶς ὁ Νέστωρ ἐπ.?

disponens: neque enim ad bellum obvenire ei qui Adrianopoli collecti erant milites ausi sunt: sic Thraces et multitudinem memoratu dignam prope Byzantium duxit: reliquam autem multitudinem dimisit ad ceteras urbes et terras tondendas et vastandas. aestate autem apparente et frugibus direptis non parva rerum necessariarum inopia tenebat urbem et reliqua occidentis oppida, ita ut etiam ipsis pecoribus alimenta deessent et undique frequentarentur universis angustiae. neque enim memorabilis exercitus urbi regiae aderat, qui posset hostes depellere, neque aliud ullum artificium faciebat, ut cives bono animo essent ad populi liberationem. sed neque rex oratione vel prudentia vel experientia praestabat, ut propria sagacitate solutionem ullam invenire potuisset periculi. una autem omnibus videbatur tantorum malorum liberatio, si Nicephorus ex logotheta hostibus traderetur: hunc enim valde studebat capere et castigare ut omnium difficultatum auctorem, et statim ab urbe recedere, et dare priorem securitatem Graecis et sorte dividere res eorum. sed rex omnia relinquere et pati potius erat paratus, quam postulabatur et disceptabatur a plurimis, ut nisi adversariis traderetur, ali-

τοῦ λογοθέτου ἀρχῆς καὶ ἰδιωτεῦσαι καὶ οἴκαδε καταστῆναι ὡς ἄπρακτον πάντῃ καὶ πᾶσιν ἀπόβλητον, ἵνα καὶ τοῦτο ἀρκοῦν ἡγησάμενοι πρὸς τιμωρίαν αὐτοῦ οἱ πολέμιοι τῆς στρατοπεδείας ἀπόσχωνται. ἐπεὶ δὲ οὐδ' εἰς τοῦτο κατανεύων ὁ βασιλεὺς ἐτύγχανεν, οὐδ' ἑνὸς ἀνδρὸς ἀπραξίας σωτηρίαν τοῦ γένους παντὸς τῶν Ῥωμαίων ἀνταλλάξασθαι πρόθυμος ἦν, βοηθεῖ τούτοις ἄνωθεν ἡ θεία ἀντίληψις ταῖς ἀκλινέσι πρεσβείαις τῆς παναχράντου δεσποίνης ἡμῶν θεοτόκου. οἱ γὰρ ἀποσταλέντες πρέσβεις παρὰ τῶν Πατζινάκων ἀναπεμφθέντες πάλιν εἰς αὐτοὺς ὑπωπτεύθησαν ἔκ τινος ἀπροόπτου αἰτίας ὡς λάθρᾳ διαχειρίσασθαι μέλλοντες τὸν πρωτοσύμβουλον αὐτῶν καὶ συστράτηγον Νέστορα· καὶ φοβηθεὶς ἐκεῖνος τὸν ἀπὸ μηχανῆς κίνδυνον, ταχέως ἐκεῖθεν ἀναστήσας τὴν στρατιὰν ὀπισθόρμητος ἤλαυνε. καὶ διελθὼν τὴν Μακεδονικήν, καὶ τοῖς ἄλλοις Πατζινάκοις συμμίξας, οἳ τὴν χώραν πᾶσαν κατέτρεχον καὶ κατελῄζοντο, οὕτως εἰς τὰ περὶ τὸν Ἴστρον χωρία καὶ τὰς ἐπαύλεις ἀνέδραμε, πολλὴν ἐπαγόμενος λείαν ἀνθρώπων τε καὶ κτηνῶν καὶ τῆς ἄλλης ἀποσκευῆς. ἐκείνου δὲ ταχέως ἀναχωρήσαντος ἀνακωχὴν τὰ πράγματα ἔλαβον, καὶ τῶν γεωργημάτων καὶ τῶν ἄλλων χορτασμάτων ἀδεῶς ἐποίουν οἱ πρὸς ταῦτα τεταγμένοι τὴν εἴσοδον, καὶ τὴν ἀπαλλαγὴν οἱ πλεῖστοι θαυμασίως ἑώρταζον, τῷ θεῷ καὶ τῇ τούτου πανυπερτίμῳ μητρὶ τὰ χαριστήρια νέμοντες.

quamdiu solveretur logothetae imperio, et hominem privatum ageret et domi se teneret, tanquam nihil agens omnino et omnibus neglectus, ut vel hoc sufficere rati ad ultionem eius hostes expeditione abstinerent. cum autem ne hoc quidem annueret rex neque unius hominis desidia salutem totius gentis Graecorum mutare vellet, auxilio venit his superne divinum praesidium firmis nuntiis maxime integrae dominae nostrae, dei matris. legati enim, qui a Patzinacis allegati erant, remissi rursus ad eos, suspecti erant causa quadam improvisa quasi clam tollere vellent principem consilii sui et imperii collegam Nestorem: et ille, qui metueret insidiosum periculum, celeriter inde profectus exercitum retro duxit: et percurrens Macedoniam et ceteris Patzinacis se coniungens, qui omnem terram percursabant et diripiebant, sic in Istri loca et praedia rursum migrabat, multam agens praedam hominum et pecudum atque reliqui apparatus. illo autem celeriter redeunte inducias imperium habebat: et frugum atque ceterorum alimentorum tuto faciebant, qui ad haec instituti erant, invectionem: et liberationem plurimi mire celebrabant, deo et huius honoratissimae matri grates tribuentes.

f. 212 r. *Μοῖρα δέ τις τῶν ἑσπερίων στρατευμάτων ἐξ Ἀδριανουπόλεως ἄρασα τῷ βασιλεῖ προσελήλυθεν, εἰπεῖν τε καὶ ἀκοῦσαι παρ' αὐτοῦ σπεύδουσα τὴν τῶν ἐπιζητουμένων αὐτοῖς ἀπόκρισιν· ἐπενεκάλουν γὰρ στέρησιν τῶν στρατιωτικῶν ὀψωνίων καὶ κακοπαθείας τινὰς ἐξ ἀπρονοησίας τῶν κρατούντων καὶ ἀπληστίας. οἱ δὲ περὶ τὸν βασιλέα ἀδίκως αὐτοὺς μετελθόντες στρατιωτικόν τι πλῆθος εἰς ἐνέδραν αὐτῶν προητοίμασαν, καὶ ὅτε τούτους ἔγνων τῶν ἵππων καταβάντας ἐπὶ τῷ ποιῆσαι τὴν ἔγκλησιν, κατ' αὐτῶν ἀφῆκαν τοὺς ἐφεδρεύοντας· καὶ οἱ περιχυθέντες τοὺς ὁμοφύλους σφοδρῶς καὶ πολεμίως κατῄκιζον, οἱ μὲν ῥάβδοις σιδηραῖς αὐτοὺς κατατείνοντες, οἱ δὲ ξίφεσι τελείοις ἀναιροῦντές τινας, οἱ δὲ τὰς σκηνὰς αὐτῶν διαρπάζοντες καὶ τοὺς ἵππους συναφαρπάζοντες. τούτου δὲ γενομένου πολὺς ἔλεος ἐπῆλθε τοῖς Βυζαντίοις ὑπὲρ τῶν ἀναιτίως παθόντων στρατιωτῶν, καὶ κατέγνων τοῦ βασιλέως καὶ τῶν περὶ αὐτὸν οὐκ ἐλαχίστην τὴν ἄνοιαν, ὥστε καὶ αὐτὸν ἐκεῖνον μετάμελον δέξασθαι καὶ ἀνασῶσαι τούτοις τινὰ τῶν διαρπαγέντων, μὴ μέντοι δέ τι πρᾶξαι τὴν τοιαύτην παροινίαν καὶ βλάβην ἀνακαλούμενον, μήτε φιλοτιμίαν τινὰ τοῖς στρατιώταις ἀποδοῦναι. ἀλλ' οἵ γε πρὸς τὰ οἰκεῖα λύπης οὐ μικρᾶς ἀνάμεστοι ἐπαναστραφέντες οὐκ ἤθελον ἐπὶ τοῦ αὐτοῦ μένειν, ἀλλὰ τοὺς πολεμιωτάτους ἀμύνασθαι διεσκέπτοντο.*

Pars autem quaedam militum occidentalium Adrianopoli profecta ad regem venit, dicere et audire ab eo studens postulatorum suorum responsum: ad hoc accusabant privationem alimentorum militarium et mala quaedam, quae ex inconsiderantia imperantium et insatiabilitate orta essent. regii autem iniuste eos secuti militarem multitudinem ad insidias eorum pararunt, et cum cognovissent hos ex equis descendisse ad accusationem instituendam, contra eos dimiserunt insidiantes: atque circumfusi homines eiusdem stirpis horridum et hostilem in modum vexabant, alii scipionibus ferreis eos petentes, alii gladiis perfectis necantes nonnullos, alii tentoria eorum diripientes et equos simul praedantes. his autem factis multa miseratio incessit Byzantios propter milites innocenter afflictos, et tribuerunt regi iisque qui circa eum erant, non minimam imprudentiam, ita ut et ipse ille poenitentiam conciperet et servaret his quosdam direptorum, neque tamen, quod exercuisset talem insaniam et damnum se revocans, neque ut honorem ullum militibus redderet: sed hi quidem ad sua moerore non parvo pleni reversi nolebant sub eodem manere, sed hostes acerrimos arcere statuebant.

Ἐν τούτῳ δὲ τῷ ἔτει καὶ τέρατά τινα κατεφάνησαν εἰς τὴν Βύζαντος. τρίπους τε γὰρ ὄρνις ἐγεννήθη, καὶ παιδίον ἐτέχθη κατὰ μέτωπον ἔχον τὸν ὀφθαλμόν, καὶ τοῦτον ἕνα καὶ μόνον, τραγοσκελὲς δὲ τοὺς πόδας· καὶ προτεθὲν ἐν τῇ τῶν διακονίσσης δημοσίᾳ παρόδῳ κλαυθμὸν ἠφίει παιδικῷ προσεοικότα. δύο δὲ τῶν ἀθανάτων στρατιωτῶν πλησίον τοῦ δυτικοῦ τῆς πόλεως τείχους ἐν δημοσίῳ τόπῳ κεραυνόβλητοι γεγόνασιν. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν οὐρανῷ κομῆταί τινες παρετείνοντο.

Ἐπεὶ δὲ καὶ τὴν ἑῴαν οἱ ἐκεῖσε καταναλίσκοντες ἦσαν βάρβαροι καὶ πορθοῦντες καὶ καταβάλλοντες, πλῆθος ἐκεῖθεν ὁσημέραι τῇ βασιλίδι προσέφευγεν, ὅ τε λιμὸς ἐστενοχώρει πάντας, τῇ ἐνδείᾳ τῶν ἀναγκαίων καταπιέζων αὐτούς. ἐπιγενομένου δὲ καὶ χειμῶνος, ἐπεί περ ὁ βασιλεὺς ἀφιλότιμος ὢν καὶ σφόδρα φειδωλίας ἐχόμενος οὐδὲν ἐκ τῶν βασιλικῶν θησαυρῶν ἢ τῆς ἄλλης προνοίας εἰσῆγεν ἢ τοῖς ἐν τέλει ἢ τοῖς δημοτικοῖς παραμύθιον, καὶ ἕκαστος περὶ ἑαυτοῦ στυγνάζων οὐδὲ χεῖρα πλουσίαν εἶχε πρὸς τὸ τοῖς δεομένοις ἐπαρκεῖν καὶ παρέχειν τὰ τῆς ζωῆς ἐφόδια (διὰ γὰρ τούτων τοῖς πενεστέροις ὡς ἐπίπαν τὰ χρειώδη προσάγονται), πολὺς καὶ ἀμύθητος θάνατος οὐ τῶν ξένων μόνον ἀλλὰ καὶ τῶν τῆς πόλεως δήμων καθ' ἑκάστην ἐγίνετο, ὡς καὶ τοὺς νεκροὺς αὐτῶν σωρηδὸν ἔν τε τοῖς λεγομένοις ἐμβόλοις καὶ τοῖς ὑπαίθροις ἀνα-

Hoc autem anno etiam prodigia quaedam apparuerunt Byzantii. tripes enim avis procreata est et infans nata est in fronte habens oculum, atque hunc unum et solum, et hirci similis pedibus, et exposita in diaconissarum publica porticu fletum edebat infantis similem. duo autem immortalium militum prope occidentalem urbis murum in publico loco de coelo tacti sunt: sed etiam in coelo stellae crinitae quaedam tendebantur.

Cum autem etiam orientem qui ibi erant barbari conficerent et devastarent et deiicerent, multitudo inde quotidie ad urbem regiam confugiebat, quando fames angebat omnes inopia rerum necessariarum premens eos. appropinquante autem etiam hieme quoniam rex illiberalis et valde parsimoniae deditus nihil ex regiis thesauris vel reliqua curatione importabat, quod aut magistratibus aut populo solatio esset, et quisque de se ipso sollicitus neque manum divitem habebat ad auxiliandum inopibus et praebendas vitae necessitates, — per hos enim egentioribus plerumque necessaria tribuuntur —, multa et ingens mors non peregrinorum solum, sed etiam urbis incolarum quotidie fiebat: ita ut etiam cadavera eorum coacervatim in porticibus, quae dicun-

κεῖσθαι, καὶ φοράδην κομίζεσθαι πολλάκις ἐν μιᾷ καὶ τῇ αὐτῇ κλίνῃ πέντε καὶ ἓξ νεκροὺς ἀτημελήτους, καὶ πανταχόθεν ἐπιρρέειν τὰ σκυθρωπά, καὶ πάσης κατηφείας πληροῦσθαι f. 212 v. τὴν βασιλεύουσαν. τῶν δὲ καθημερινῶν καὶ παρανόμων κριμάτων οὐδεμία τις ἀναστολὴ τοῖς κρατοῦσιν ἐγίνετο· ἀλλ' ὥσπερ μηδενὸς τὸ παράπαν ἐνοχλοῦντος τοῖς Ῥωμαίοις ἀλλοφύλου πολέμου ἢ θείας ὀργῆς, ἢ τοὺς ἀνθρώπους κατατρεχούσης ἐνδείας καὶ βίας βιωτικῆς, οὕτως ἀδεῶς ἔπραττον τὰ θεομισῆ καὶ τυραννικά. καὶ πᾶν προβούλευμα βασιλικὸν εἰς τὸ τοὺς οἰκείους ἀδικεῖν καὶ κατασοφίζεσθαι καὶ θηρεύειν τοὺς βίους αὐτῶν καὶ τὴν ἀφορμὴν τῆς ζωῆς κατεγίνετο.

Τί οὖν τὸ ἐντεῦθεν; ἤσχαλλον πάντες καὶ ἐδυσχέραινον καὶ διηνεκῶς ἐποτνιῶντο πρὸς τὸν θεόν, ἐπιβλέψαι πρὸς τὴν αὐτοῦ κληρονομίαν διὰ παντὸς ἱκετεύοντες, καὶ προχειρίσασθαι ἄνδρα ἅμα μὲν καὶ τοὺς τυράννους αὐτοὺς δυνάμενον καθελεῖν, ἅμα δὲ καὶ τὰς τύχας τῶν Ῥωμαίων πρὸς τὸ εὐθυμότερον ἐπαναγαγεῖν φρονήσει καὶ γενναιότητι καὶ φιλοτίμῳ καὶ φιλοίκτῳ ψυχῇ. καὶ μέντοι καὶ τετυχήκασιν οὐκ εἰς μακρὰν τῶν κατὰ σκοπόν. προσδεξάμενος γὰρ τὴν αἴτησιν αὐτῶν ὁ ἐν ἐλέει ἀμέτρητος κύριος ἀνίστησιν ἄνδρα κρείττονα τῆς εὐχῆς τῶν φοβουμένων αὐτόν, καὶ τοσοῦτον εἰς ἀρετὴν καὶ μεγαλοφροσύνην καὶ γενναιότητα καὶ στρατιωτικὴν μεγαλοδοξότητα ὅσον ὁ πρώην βασι-

tur, et apertis locis iacerent et efferrentur saepe in uno eodemque lecto quinque et sex cadavera sine ulla cura, et undecunque affluerent dira et omni tristitia impleretur urbs regia: quotidianarum autem iniuriarum et iniustorum iudiciorum remissio nulla ab imperantibus fiebat: sed quasi nullum omnino premeret Graecos alius stirpis bellum vel divina ira vel persequens homines inopia et violentia vitalis, ita secure agebant facta deo invisa et tyrannica: atque omne consilium regis et cogitatum ad iniuriam suis inferendam et ad decipiendum et venandum vitam eorum et fundamentum victus spectabat.

Quid ergo inde? indignabantur omnes et moleste ferebant et assidue supplicabant deo, ut spectaret ad suam possessionem omnino precati et crearet virum, qui simul et tyrannos ipsos posset tollere, simulque etiam fortunas Graecorum ad maiorem felicitatem adducere prudentia et nobilitate et generoso atque misericordi animo, neque ita multum aberrarunt a proposito fine. accipiens enim preces eorum dominus in misericordia immensus instituit virum superiorem precibus eorum, qui eum metuerent, et tantum quod attinet virtutem et magnanimitatem et nobilitatem et militarem gloriam, quantum prior rex pra-

λεύων εἰς κακίαν καὶ μικρολογίαν καὶ ἀγενῆ πολιτείαν διεγινώσκετο. ἦν δὲ οὗτος, ὁ τὸ κράτος δηλονότι ἐκ τοῦ ἐπουρανίου βασιλέως μνηστευθεὶς καὶ ἄξιος αὐτῷ λογισθείς, Νικηφόρος κουροπαλάτης ὁ Βοτανειάτης, ὃν πολλαχοῦ τῆς γραφῆς ὡς τρισαριστέα καὶ δοκιμώτατον διελάβομεν. οὗτος γὰρ εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν καθεστώς, καὶ τῆς τῶν ἀνατολικῶν ἐπαρχίας τυγχάνων πρώτιστος πλούτῳ καὶ γένει καὶ παλαιῶν ἔργων καὶ νέων λαμπρότητι, καὶ τὴν στρατηγίαν ἔχων τοῦ αὐτοῦ θέματος, περίλυπος ἦν ταῦτα ὁρῶν· οὐ γὰρ ἔφερε, φύσιν ἔχων εὐσεβῆ καὶ φιλόθεον, ζῆν καὶ τοιαῦτα καθορᾶν ἀνοσίως πραττόμενα, καὶ πᾶσαν τὴν ἑώαν τοῖς πολεμίοις ἀνάστατον. καὶ αὐτὴν τὴν μεγάλην Κωνσταντινούπολιν πολεμουμένην τοῖς τῶν κρατούντων ἀκρατῶς ἀδικήμασι, καὶ τὴν ἑσπερίαν γῆν κατακειρομένην τοῖς ἔθνεσιν καὶ τοῖς βλαπτικοῖς ἐννοήμασιν. ἀλλ' ἀναφέρων εἰς τὴν τοῦ γένους ἐπισημότητα, καὶ διανοούμενος ἀκριβῶς ὡς πολλῶν καὶ μεγάλων ἀριστευμάτων καὶ βοηθημάτων ἡ Ῥωμαίων ἀπέλαυσε γῆ παρὰ τῶν προγόνων αὐτοῦ κατὰ διαφόρους καιροὺς καὶ χρόνους, καὶ δεύτερος φανῆναι τούτων ἀνάξιον λογισάμενος, εἰ μὴ βοηθήσαι τοῖς κάμνουσιν ὀρθοδόξοις, δι' οὓς Χριστὸς ὁ θεὸς ἡμῶν τὸ οἰκεῖον αἷμα ἐξέχεε, ζηλωτὴς διαπυρώτατος γίνεται, καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῆς τοῦ Χριστοῦ ποίμνης καὶ τοῦ ἁγίου ἔθνους αὐτοῦ. καὶ τῆς Τούρκων ἔτι ζεούσης

vitate et humilitate et ignobili civitatis administratione notus erat. erat autem hic, qui potentiam a coelesti rege comparaverat et dignus ea erat habitus, Nicephorus Botaniates curopalata, quem quidem varie in scriptura ut ter optimum spectatissimumque accepimus. hic enim nobilis inter eos, qui a solis ortu habitant, constitutus et orientis provinciae longe primus divitiis et genere et factorum veterum et recentum magnificentia, et imperium habens eiusdem provinciae, valde erat tristis, haec videndo. neque enim sustinebat, natura praeditus pia et dei amante, vivere et talia adspicere impie facta, et totum orientem per hostes devastatum, atque ipsam magnam Constantinopolin debellatam impotentibus imperantium iniuriis, et occidentalem terram desectam per paganos et noxiis consiliis: sed spectans ad generis gloriam et reputans accurate, Graecorum terram multa gloriose facta et auxilia percepisse a maioribus suis diversis occasionibus et temporibus, et inferiorem apparere his indignum ratus, si afflictis orthodoxis non veniret auxilio, propter quos Christus deus noster sanguinem suum effundebat, propugnator fidei ardentissimus fit, et animum eius tendit super Christi grege et sancto eius populo: atque Turcarum

ἐπιφορᾶς, καὶ πολέμων πανταχόθεν ἀναρριπιζομένων σφοδρῶς, εὐθαρσῶς καὶ γενναίως ἀνθίσταται τούτοις αὐτὸς καὶ ἀνθοπλίζεται κραταιῶς, οὐχ ὅπλοις καὶ πλήθει θαρρήσας στρατιωτῶν (ἦσαν γὰρ προκατειργασμένοι πάντες καὶ καταβεβλημένοι ταῖς συνεχέσιν ἐπιδρομαῖς καὶ σφαγαῖς καὶ ἥτταις, οἳ δὲ καὶ δεδιότες ἔτι καὶ τούτῳ μὴ συνερχόμενοι), ἀλλὰ τῷ θείῳ σθένει πᾶσαν ἀναθεὶς τὴν ἐλπίδα, καὶ τῷ δικαίῳ ζήλῳ τὴν δεξιὰν ὁπλίσας, κατὰ πασῶν τῶν ἀντικειμένων δυνάμεων παρρησιάζεται τὴν ἀλήθειαν καὶ κατ' αὐτοῦ τοῦ f. 213 r. *κρατοῦντος, οὐχ ὡς βασιλικῶς διαγινομένου περὶ τὰ πράγματα, ἀλλ' ὡς τυραννικῶς καὶ ἀθέσμως καὶ ἀπρονοήτως χρωμένου τῇ διοικήσει τῶν ὅλων, καὶ εἰς κακὸν βάραθρον συνωθοῦντος τοὺς Αὔσονας. ἐπεὶ γὰρ γράφων τὸ δέον πολλάκις, καὶ συμβουλεύων τῷ βασιλεῖ μεταβαλεῖν πρὸς τὸ βέλτιον, καὶ δικαιοσύνης ὅπλοις καὶ στρατιωτικοῖς μηχανήμασι καὶ δοράτων προβλήμασι καταστρατηγῆσαι τῶν ἐναντίων, οὐ μόνον οὐκ εἶχε τοῦτον καταπειθῆ καὶ ὁμόδοξον, ἀλλὰ καὶ δυσμενῶς πρὸς αὐτὸν διακείμενον καὶ μισοῦντα τοῦτον διὰ τὴν εὐσχήμονα συμβουλήν, αὐτὸς τοὺς τηλικούτους ἀγῶνας καὶ τὰ κατὰ τῶν ἀλλοφύλων παλαίσματα καὶ τὴν ὑπὲρ τῶν Χριστιανῶν φροντίδα μόνος ὑπέρχεταί τε καὶ ἀναδύεται, καὶ μέσον θεοῦ καὶ ἀνθρώπων τὴν ἀγαθὴν προαίρεσιν καὶ τὸν ἐμφωλεύοντα τούτῳ σκοπὸν εὐσεβῆ προβαλλόμενος ἄρχεται τοῦ τῶν Ῥω-*

etiamtum flagrante impetu et hostibus undecunque valde excitatis, fortiter et generose resistit his ipse, et armat se potenter non armis et multitudine fretus militum (erant enim antea confecti omnes et deiecti continuis incursionibus et caedibus et cladibus: alii autem etiamtum in timore erant neque cum hoc se coniungebant) sed ad divinam potentiam referens omnem spem et iusto studio fidei dextram armans contra omnes oppositas vires libere dicit veritatem etiam contra ipsum imperatorem, quippe qui non regis instar in rebus versatus esset sed tyranni more et iniuste et imprudenter uteretur administratione totius civitatis et in malam voraginem compelleret Ausones. cum enim scribens necessarium saepe et suadens regi, ut ad melius se verteret, et iustitiae armis et militaribus artibus et hastarum praesidio debellaret adversarios, non solum non haberet hunc obedientem et idem sentientem, sed etiam inimice adversus se dispositum et odio habentem hunc propter bonum consilium, ipse talia certamina et luctationes contra gentes alius stirpis et curam Christianorum solus sustentat et subit, et coram deo et hominibus bonum propositum et latentem in hoc finem pium praetendens incipit principatu Graecorum tranquillo animo potiri, removens regis profundam hanc

μαίων ἐκθύμως ἀντιλαμβάνεσθαι, πόρρω θέμενος τὴν τοῦ βασιλέως βαθεῖαν ταύτην ἀπόνοιαν. οἱ δὲ συνελθόντες αὐτῷ μὴ θαρρεῖν αὐτῷ παρεγγυησάμενοι, εἰ μὴ καὶ τῶν παρασήμων τῆς βασιλείας ἐπενδύσηται τὴν λαμπρότητα, ποιεῖται καὶ τοῦτο τῆς αὐτοῦ μεγαλοφροσύνης καὶ κοινωφελοῦς ὑπακοῆς ὑπόδειγμα κράτιστον, καὶ περιβάλλεται μὲν χλαμύδα καὶ βύσσον καὶ ἁλουργίδα, τὴν δ' εὐφημίαν τοῦ κράτους παρὰ πάντων εἰσδέχεται, δευτέραν ἀγόντος τοῦ Ἰουλίου μηνὸς τῆς α' ἰνδικτίωνος ὁπόταν ὁ ἑωσφόρος ἥλιος τὸν ἰσημερινὸν κύκλον ἐλαύνων καθαρώτερον ἅμα καὶ λαμπρότερον τὸν περίγειον κόσμον ἐργάζεται, καὶ τοῖς ἀνθρώποις τὴν ἡμέραν μεγίστην καὶ χαρίεσσαν καὶ ὑπερβλύζουσαν τοῖς ἀγαθοῖς ἀποδείκνυσι, καὶ κόσμον ὅλον χαρίτων ἀρρήτων ἐμπίπλησιν.

Ἄρχεται τοιγαροῦν τῶν κοσμικῶν ἔργων ὁ νέος οὗτος δεσπότης καὶ βασιλεύς. καὶ πρῶτον μὲν καταπλήττει τοὺς Οὔννους ἅπαντας, ὅσοι τὴν ἑώαν κατέτρεχον, καὶ θάμβους καὶ ἀπορίας πληροῖ. καὶ ἤρξατο συρρεῖν ἐπ' αὐτὸν πλεῖστον ὅσον Τουρκικὸν πλῆθος ἐνδουλικῷ τῷ φρονήματι· παρῆσαν γὰρ τούτῳ αὐτόμολοι, τήν τε δουλείαν ὁμολογοῦντες, καὶ τὴν πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν αὐτοῦ θέαν εὐεργεσίαν μεγίστην εἶναι κατατιθέμενοι. ἦν γὰρ θεαθῆναι μὲν φοβερώτατος ὁμοῦ καὶ ἥδυτατος τῷ τε καταπληκτικῷ τοῦ μεγέθους καὶ τῇ ἐπιφανείᾳ τῆς ῥώμης καὶ τῷ τῆς ὄψεως χαροπῷ καὶ ἀστραπη-

imprudentiam. illi autem ad eum convenientes cum declarassent se ei non confisuros esse, nisi etiam insignium regni induisset splendorem, reddit etiam hoc suae magnanimitatis et communis obedientiae documentum firmissimum, et induit pallium et lineam vestem et purpuram, salutationem autem potentiae ab omnibus accipit, secundum diem agente Iulio mense indictionis I, quando sol lucifer circulum aequinoctii ferens magis purum simul et splendidiorem terrenum mundum facit et hominibus diem maximum et iucundum et affluentem bonis reddit, et mundum universum gratiis inenarrabilibus implet.

Attingit ergo mundana negotia iuvenilis hic dominus et rex, atque primum quidem concutit Hunnos omnes, qui orientem percursabant, et stupore atque dubitatione implet: atque coepit confluere ad eum plurima multitudo Turcarum animo servili: aderant enim huic transfugae, servitutem profitentes et eius consuetudinem, et eius conspectum beneficium maximum esse statuentes: erat enim adspectu maxime formidolosus simul et suavissimus, efficientia magnitudinis et conspectu roboris et oculorum alacri et fulgura emittente vultu. dilucidum enim habens oris vultum integro rubore oculos praebebat gra-

βόλῳ. διαλάμπουσαν γὰρ ἔχων τὴν ὄψιν ἀκράτοις τοῖς ἐρυθήμασι, τοὺς ὀφθαλμοὺς ἐδείκνυ χαρίτων μεστούς, τὸ μέλαν ἄκρατον ἔξωθεν ἐπιτρέχον ὑποδεικνύοντας καὶ κάλλος ἄρρητον ἔνδοθεν ἀποστίλβοντας, τήν τε ὀφρὺν ὑπεραιρομένην δίκην ἀψῖδος ἐν ὁμοίᾳ καὶ ἀψευδούσῃ βαφῇ, καὶ τὸ μέτωπον φεγγοβόλοις προσεοικὸς ταῖς μαρμαρυγαῖς, καὶ τὴν ἄλλην τοῦ προσώπου κατάστασιν ἀναλογοῦσαν τῷ κάλλει καὶ δεύτερον ἥλιον χειροτονοῦσαν ἐπίγειον. καὶ θεαθῆναι μὲν τοιοῦτος ἦν,
f. 213 v. καὶ κρεῖττον ἤπερ ἐκπέφρασται· ὁμιλῆσαι δὲ τοσοῦτον χαρίεις καὶ εὔθυμος καὶ περιδέξιος ἐς τὰ μάλιστα ὡς Σειρῆνας μιμεῖσθαι τοὺς φθόγγους αὐτοῦ, πάντας ἕλκοντας πρὸς ἀκρόασιν, καὶ τῶν οἴκοι ποιοῦντας ἐπιλανθάνεσθαι καὶ μόνῳ προσανέχειν αὐτῷ. οὕτως ἐκ πρώτης ἐντεύξεως ἅπασι σχεδὸν πόθος τοῦ βασιλέως ἐνέσκηψεν, οὐ μόνον Ῥωμαίοις ἀλλὰ καὶ αὐτοῖς τοῖς ἐναντίοις καὶ μαχιμωτάτοις ἀνδράσι, καὶ ὧν ἡ πρᾶξις τῶν ἀγριωτάτων θηρίων οὐκ ἀποδεῖ· αἰδεῖται γάρ, φησίν, ἀρετὴν καὶ πολέμιος. οἱ δὲ οὐκ αἰδῶ μόνον ἔσχον, ἀλλὰ καὶ φόβον καὶ πόθον τῆς τοῦ βασιλεύοντος θεοειδοῦς ἀναβάσεως.

Ἀλλ' ὁ μὲν περὶ τοῦ κράτους αὐτοῦ λόγος ἀναμεινάτω μικρόν· ἐπεὶ δὲ περὶ τῆς τοῦ γένους αὐτοῦ μεγαλειότητος ἐπεμνήσθημεν, βραχύ τι περὶ τούτου διαλεξώμεθα, ἵνα γνῶσι πάντες οἵων αὐτῷ τῶν προγόνων ὄντων εἰς περιφάνειαν ἀν-

tiarum plenos, integram nigritiam extrinsecus circumductam ostendentes, et pulchritudinem inenarrabilem intus effulgentes, atque supercilium suspensum camerae instar in aequali et infucata tinctura, et frontem splendidis similem luminibus, et reliquum oris habitum respondentem pulchritudini et qui alterum solem terrenum extenderet. atque adspectu quidem talis erat, et meliore ratione quam enarratum est: usu autem tam suavis et benevolus et dexter maxime, ut sirenes imitarentur eius voces, trahentes omnes ad audiendum, et efficientes ut obliviscerentur rei domesticae et soli attenti essent ei: ita ex primo concursu omnibus fere desiderium regis obvenit non solum Graecis, sed etiam ipsis adversariis et pugnacissimis viris, et quorum actio non abest a bestiis ferocissimis: veretur enim, ut ille ait, virtutem vel hostis: illi autem non verecundiam solum habebant, sed etiam metum et desiderium divini ascensus regnantis: sed sermo de potentia eius paulum desistat.

Cum autem magnitudinem generis eius commemoravimus, pauca quaedam de hoc dicamus, ut cognoscant omnes, quantum, cum tales ei essent maiores, de splendore virtutis et gloriae hic eos superaverit

δραγαθίας καὶ δόξης ὅσον οὗτος ὑπερηκόντισεν, ὡς μήτε τοῦτον ἄξιον εἶναι προγόνους ἑτέρους ἔχειν ἢ ἐκείνους μόνους, μήτ' ἐκείνους ἀπόγονον ἕτερον ἢ τὸν νῦν εὐφημούμενον. ὅπερ δὴ καλῶς ποιοῦν καὶ συνέδραμεν.

Ἡ μὲν οὖν τοῦ γένους αὐτοῦ ἀνωτάτω καὶ πρώτη σειρὰ ἐκ τῶν Φωκάδων ἐκείνων ὥρμηται, Φωκάδων ὧν κλέος εὐρὺ κατὰ πᾶσαν γῆν τε καὶ θάλασσαν. οὗτοι γὰρ ὑπερφυῶς τῶν ἄλλων τὸ κράτος ἐν βασιλείοις ἐκέκτηντο, στρατηγίαις τε καὶ δημαγωγίαις καὶ ἀνδρείῳ βραχίονι καὶ γένους ἐπισημότητι πάντας ἐπιεικῶς ὑπεραίροντες· ἐνενήκοντα γὰρ καὶ δύο γενεὰς εὐημεροῦντες κατὰ τὸ συνεχὲς κατὰ πάντων εἶχον τὰ νικητήρια, μηδενὸς ἀνθαμιλληθῆναι δυναμένου καὶ συγκριθῆναι τῷ γένει τῶν Φωκάδων ὑπὲρ ἀνδρίας ἢ ἀνδραγαθίας τινὸς ἢ ὑπατείας μεγίστης καὶ στρατηγίας ἐπιφανοῦς. εἰ δέ τις ἀναδράμοι πρὸς τὴν τῶν ἐνενήκοντα καὶ δύο γενεῶν ἀρχὴν καὶ ἀκρότητα (μέχρι γὰρ τοῦ τῆς ἀοιδίμου λήξεως βασιλέως κυρίου Νικηφόρου τοῦ Φωκᾶ τὸ ποσὸν τῶν τοιούτων συνεψηφίζετο γενεῶν), εὑρήσει κατηγμένους αὐτοὺς ἀπὸ τοῦ τρισμάκαρος καὶ μεγάλου Κωνσταντίνου, τοῦ πάντων βασιλέων ὑπέρτερον ἐσχηκότος κράτος ἐν ὑπεροχαῖς ἀγωνισμάτων πολεμικῶν καὶ τοῦ ὑπὲρ τῆς εὐσεβείας ζήλου, ὡς καὶ ἰσαπόστολον λογισθῆναι καὶ τῆς Χριστιανῶν ἀμωμήτου πίστεως κρηπῖδα τελεσθῆναι καὶ πρόβολον. οὗτος γὰρ ἀπὸ τῆς πρεσ-

ita ut neque hic dignus fuerit, qui maiores alios haberet atque illos solos, neque illi, qui prognatum alium haberent ac quem nunc celebramus: id quod bene convenit.

Generis igitur eius suprema et prima catena ex Phocadibus illis exit, quorum gloria lata in omni terra atque mari est pervulgata: hi enim magis ceteris potentiam in regnis sibi comparaverant, imperiis et populi gubernatione et virili manu et generis splendore omnes fere superantes: per nonaginta enim et duas aetates felices perpetuo, de omnibus reportabant tropaea, cum nemo resistere posset et comparari generi Phocadum de virtute vel fortitudine vel dignitate maxima et imperio amplo: si quis autem ascendat ad principium et fastigium aetatum nonaginta duarum (usque enim ad regem venerando modo defunctum, dominum Nicephorum, filium Phocae tot aetates numerabantur), inveniet eos deductos a ter beato et magno Constantino, qui superiorem quam omnes reges habuit potentiam in principatu certaminum bellicorum et studii pietatis, ita ut etiam apostoli instar haberetur et sincerae Chistianorum fidei fundamentum fieret et murus. hic enim ex vetere Roma transferens regnum Byzantium, ex quo Maxen-

βυτέρας Ῥώμης μεταθεὶς τὴν βασιλείαν εἰς τὸ Βυζάντιον, ἀφ' ὅτου τὸν Μαξέντιον περὶ τὰς κάτω Γαλλίας κατετροπώσατο, τῇ ἐπιδείξει τοῦ σταυρικοῦ σημείου τὴν νίκην ἄνωθεν μνηστευθείς, τοὺς ἀξιολόγους τῶν εὐπατριδῶν καὶ τιμίων ἐν ταύτῃ τῇ νέᾳ Ῥώμῃ μεθ' ἑαυτοῦ παραλαβὼν μετῴκισέ τε καὶ συμπολίτας ἑαυτοῦ ἀπειργάσατο, λαμπρὰς οἰκίας τούτοις ἐπιδειμάμενος κατὰ τὴν ἐμφέρειαν τῶν ἐν τῇ παλαιᾷ Ῥώμῃ πολυτελῶς κατεσκευασμένων οἴκων. ἐκ τούτων οὖν, ὡς ὁ λόγος αἱρεῖ καὶ ἡ τοῦ γένους ἀναφορὰ περιάγει, οἱ Φωκάδες αὐτοὶ καταγόμενοι τήν τε περιφάνειαν ἄνωθεν ἔσχον καὶ τὸ τῆς ἀνδρίας ἀλκιμώτατον καὶ ἀνύποιστον, ἐκ τῶν ὀνομαστῶν ἐκείνων Φαβίων, ὥς που διὰ βίβλου τινὸς παλαιᾶς f. 214 r. *ἐχειραγωγήθην ποτέ, τὴν ἀρχὴν τοῦ γένους ἐφέλκοντες. οὗτοι δὲ οἱ Φάβιοι ἐν τῇ παλαιᾷ Ῥώμῃ τὰς πρώτας ἔσχον ἀρχὰς καὶ τιμάς, καὶ ῥίζα πάντων τῶν εὐγενῶν καὶ κατὰ χεῖρα καρτερῶν ἐγνωρίζοντο· καὶ οὐδεὶς τούτων ἐσφάλη ποτὲ περὶ πελέμους καὶ κινδύνους ἀγωνιζόμενος. ἀλλὰ τὸ εὐγενὲς καὶ ἐπίδοξον οὐκ ἐν τῇ τοῦ γένους εἶχον ἐπισημότητι μόνῃ, ἀλλὰ κἂν τῇ τῶν πράξεων διέφερον λαμπρότητι, καὶ πολλῶν ἀναγκῶν καὶ κινδύνων ἀφύκτων σχεδὸν τὴν Ῥώμην διὰ τῆς οἰκείας ἀρετῆς καὶ μεγαλοφροσύνης καὶ ἀνδρίας ἐρρύσαντο. ἐκ τούτων οἱ Σκηπίωνες, καὶ ὁ Ἀφρικανὸς Σκηπίων ὁ τὸν ἀκαταμάχητον ἐκεῖνον Ἀννίβαν, τὸν καὶ αὐτὴν τὴν Ῥώμην πολιορκῆσαι*

19. *διαφερόντων* C.

tium in Gallia inferiore devicerat praetento crucis signo victoriam superne adeptus, memorabiles ex illustribus et honoratis in hanc novam Romam secum duxit et stabilivit et cives suos reddidit, splendida aedificia his condens ex similitudine domuum in vetere Roma splendide exstructarum. ab his igitur, nt fama docet et generis relatio affert, Phocades ipsi deducti gloriam superne habebant et virtutis robur et victoriam, ex nobilibus illis Fabiis, ut libro quodum vetere aliquando instructus sum, principium generis trahentes. hi autem Fabii in vetere Roma primos habuerunt magistratus et honores et radix omnium illustrium et manu fortium iudicabantur neque quisquam horum lapsus est unquam in bellis et periculis certando, sed nobilitatem et gloriam non solum in generis claritate habebant, sed etiam in factorum excellentium splendore, et mnltis difficultatibus et periculis desperatis fere Romam sua virtute et magnanimitate et fortitudine solverunt: ab his oriundi Scipiones, atque Scipio Africanus, qui invictum illum Hannibalem et ipsam Romam oppugnaturum clare fugavit et urbem eius, Carthaginem magnam et incolis frequentatam et homi-

μέλλοντα, περιφανῶς τροπωσάμενος, καὶ τὴν πόλιν ἐκείνου τὴν Καρχηδόνα, μεγάλην καὶ πολύανθρωπον καὶ ἀνθρώποις νομιζομένην ἀνάλωτον, ἄρδην καταστρεψάμενος, ἥτις καὶ Ἀφρικὴ κατωνόμασται. ὃς τῆς τοιαύτης πόλεως καταστρεφομένης παρὰ τῶν ἀμφ' αὐτὸν οὐ μόνον μὴ ἐπαρθῆναι τῇ νίκῃ λέγεται, ἀλλὰ καὶ δακρύων πληρῶσαι τοὺς ὀφθαλμούς, ἐνθυμηθέντος τὸ Ὁμηρικὸν ἐκεῖνο ἔπος καὶ γλώσσῃ περιλαλεῖν, τὸ "ἔσσεται ἦμαρ ὅταν ποτ' ὀλώλῃ Ἴλιος ἱρή" καὶ τὰ ἑξῆς· καὶ διερωτώμενος τοῦ χάριν τοῦτο λαλεῖ, ἀπεκρίνατο ὡς ἔσται καιρός ποτε ὅταν ἴσως καὶ ἡ πατρίς ἡμῶν πολιορκίας περιπέσῃ δεινοῖς. οὕτως οἱ παλαιοὶ στρατηγοὶ τὰς τοῦ μέλλοντος εὐλαβοῦντο τύχας, καὶ τοσαύτην φροντίδα ὑπὲρ τῆς σφῶν πατρίδος ἐτίθεντο. ἐκ τούτων, τῶν Φαβίων φημί, καὶ ὁ Ἀσιατικὸς Σκηπίων ἀνέθηλεν, ἐπεὶ καὶ ἀδελφὸς τοῦ Ἀφρικανοῦ ἐκλήθη δὲ Ἀσιατικός, ὅτι περ εἰς τὴν Ἀσίαν ἐκ τῆς Εὐρώπης διαπεραιωθεὶς μετὰ δυνάμεως μετρίας Ῥωμαϊκῆς Ἀντίοχον ἐκεῖνον τὸν ἐπικληθέντα ἐπιφανῆ μυριάνδροις στρατιαῖς γεγαυρωμένον, γενναίως κατηγωνίσατο, καὶ τῆς Ἀσίας πάσης ῥωμαλέως κατεκυρίευσε, καὶ ὑπόσπονδον τοῦτον τοῖς Ῥωμαίοις πεποίηκε, καὶ θρίαμβον ἐν τῇ Ῥώμῃ κατήνεγκεν ἐπινίκιον. ἐκ τούτων ὁ Αἰμίλιος Παῦλος, ὃς τὸν Μακεδόνων βασιλέα Περσέα καλούμενον, ἀπόγονον δὲ τοῦ μεγάλου Ἀλεξάνδρου τυγχάνοντα, πολέμῳ νικήσας δι' ἡμερῶν εἴκοσι τοῖς Ῥωμαίοις ὑποχείριον σὺν γυναιξὶ καὶ τέκνοις ἀπέδειξε, καὶ

nibus visam inexpugnabilem, funditus evertit, quae etiam Africa vocata est: qui quidem tali urbe a suis eversa non solum non elatus esse victoria dicitur, sed etiam flendo implesse oculos, cum animo reputaret Homeri illam vocem, et lingua pronuntiasse hoc: „erit dies, quando interitura sit Troia sacra“ et quae sequuntur, et interrogatus, cur hoc diceret, respondit: „erit tempus aliquando, cum fortasse etiam patria nostra in oppugnationis incidat pericula. ita veteres duces futuri temporis cavebant fortunas et tantam sollicitudinem patriae suae concipiebant. ex his, Fabios dico, etiam Scipio Asiaticus effloruit, quippe qui esset frater Africani: vocatus autem est Asiaticus, quia in Asiam ex Europa transgressus cum manu modica Romana Antiochum illum, qui vocabatur Epiphanes, ingentibus exercitibus elatum, nobiliter devicit, et Asia tota fortiter superior fuit et subiectum hunc Romanis fecit, et triumphum victoriae Romae egit. ex his Aemilius Paulus, qui Macedonum regem Perseum, oriundum a magno Alexandro, bello devincens diebus viginti Romanis subiectum cum uxoribus et liberis reddidit et Persarum divitias inde conferens ne poculum quidem aureum vel argenteum

τὸν Περσικὸν πλοῦτον ἐντεῦθεν συναγαγὼν οὐδὲ μέχρι καὶ ἐκπώματος χρυσοῦ ἢ ἀργυροῦ εἰς τὸν ἴδιον βίον εἰσήγαγεν, ἀλλὰ πάντα τῇ πόλει καὶ τῷ φίσκῳ προσήνεγκε, δι' ἁμαξῶν δισχιλίων τὰ λάφυρα πάντα τοῖς πολίταις καθυποδείξας καὶ διὰ τῆς ἀγορᾶς προεκκομίσας εἰς τὸ δημόσιον, καὶ τοῦτο μόνον κερδήσας τῶν τοιούτων τροπαίων, τὸ μετὰ δίφρου βασιλικοῦ κατὰ τὸ εἰθισμένον λαμπρῶς θριαμβεῦσαι, προπορευομένων αὐτοῦ τῶν τοσούτων λαφύρων, καὶ προσεχῶς τοῦ ἅρματος τῶν τε ἄλλων ἐκκρίτων Μακεδόνων καὶ τοῦ αἰχμαλωτισθέντος βασιλέως αὐτοῦ δὴ τοῦ Περσέως μετὰ τέκνων καὶ γυναικός. οὐ γὰρ πρὸς ἀργύριον καὶ πλούτου ἐπίκτησιν οἱ εὐγενέστατοι Ῥωμαῖοι τὸ κατ' ἐκεῖνο καιροῦ ἠγωνίζοντο, ἀλλὰ δι' εὔκλειαν μόνην καὶ ἀνδρείας ἐπίδειξιν καὶ τῆς ἰδίας πατρίδος σωτηρίαν τε καὶ λαμπρότητα.

Τοιούτους κλάδους ἡ τῶν Φαβίων ῥίζα περιφανεῖς ἀνα-
f. 214 v. δεδωκυῖα, χρόνοις ὕστερον οὐκ ὀλίγοις καὶ τοὺς Φωκάδας ἡμῖν ἐπιδέδωκεν, ὥσπερ μεταφυτευθέντας ἐξ ἑτέρας γῆς εἰς ἑτέραν ἐπίτοκον ἄρουραν. ἡ γὰρ διὰ πάντων ἀκρότης καὶ τὸ τῶν πράξεων συμφυὲς καὶ ὁμόζηλον καὶ ἡ τῶν ὀνομάτων παρίσωσις ἀπαράγραπτον αὐτοῖς μαρτυρίαν τοῦ γένους καὶ ἀναμφίβολον δείκνυσιν.

Εἰ δὲ καὶ Ἰβηρικὴν συμφυΐαν ἐξ ἑνὸς μέρους τοῖς Φωκάσι παρομαρτεῖν λέγεται, καὶ τοῦτο μᾶλλον πιστότερον τὸν λόγον ἡμῶν διατίθησιν. οἱ γὰρ Ἴβηρες ἐκ τῆς Κελτικῆς ἀνεφάνη-

in suam vitam induxit: sed omnia urbi et fisco attulit curribus bis mille praedam omnem civibus ostendens et per forum in aerarium portandam curans: atque hoc solum lucratus ex talibus tropaeis, ut cum curru regio ex more splendide triumphum ageret, anteeuntibus eum tantis praedis et iuxta currum tum aliis lectis Macedonibus tum capto rege ipso Perseo cum liberis et uxore: neque enim de argento et divitiarum possessione nobilissimi Romani illo tempore certabant, sed propter gloriam solam et virtutis declarationem et suae patriae salutem et splendorem.

Tales propagines postquam Fabiorum radix lucidas edidit, non parvis temporibus postea etiam Phocades nobis addidit, tanquam translatas plantas ex alia terra in alium feracem agrum. etenim fastigium in omnibus et factorum coniunctio et commune studium, atque nominum comparatio infinitum iis testimonium generis et certum declarat.

Etiamsi autem Iberica coniunctio ex una parte Phocades comitari dicitur, hoc quoque magis certiorem sermonem nostrum disponit. Iberes enim e terra Celtica apparuerunt: Iberia enim, quae proprie

σαν γῆς. ἡ γὰρ Ἰβηρία κυρίως καὶ αὐτὴ ἡ Κελτιβηρία πρὸς τὰ δυσμικὰ μέρη τῆς Ῥώμης διάκεινται, πρὸς τὸν ἑσπέριον ὠκεανόν, ἥτις νῦν Ἱσπανία κατωνομάζεται. τῆς Ῥώμης γὰρ ὑπὲρ τὴν Ἰταλίαν κειμένης τὰ μὲν πρὸς ἥλιον ἀνίσχοντα μέρη ἄνω Γαλλίαι διονομάζονται, τὰ δὲ πρὸς ἥλιον δύνοντα μέχρις Ἄλπεων ὀρῶν κάτω, ὅπου νῦν ἡ Νεμιτζία γνωρίζεται, τὸν ἴδιον ἄρχοντα ῥῆγα κατονομάζουσα. τὰ δὲ πρὸς ἐγκάρσια μέρη τῶν Ἄλπεων ὡς πρὸς νότον ἄχρι τοῦ ἑσπερίου ὠκεανοῦ Ἰβηρία καὶ Κελτιβηρία ἐλέγοντο, τῶν εἰσρεόντων ἐκεῖσε ποταμῶν τῇ χώρᾳ χαρισαμένων τουτὶ τὸ ὄνομα. ἐκεῖθεν γὰρ τὸν μὲν βουλόμενον τὴν μὲν παρακειμένην ἀκτὴν παραπλεῖσαι πρὸς τὰς κάτω Γαλλίας ὁ τῶν Ἡρακλείων στηλῶν πορθμὸς ἐκδέχεται, τὸν δὲ πρὸς ἀνατολάς, ἐνδοτέρω δηλονότι τῆς χώρας ἐπεκτεινομένου τοῦ αἰγιαλοῦ, πρὸς τὰ μέρη τῶν Βρεττανικῶν νήσων καθοδηγεῖ καὶ προτρέπεται. τῷ δὲ βουλομένῳ πρὸς τὰς τῶν Μακάρων νήσους ἀπᾶραι ὁ ἀπόπλους ἀχανὴς παρατείνεται· ἀπέχουσι γὰρ τῆς γῆς μέτρον μιλίων χιλίων. δύο δὲ αἱ νῆσοι εἰσίν, οὐ πολὺ ἀλλήλων ἀπέχουσαι, παντοίων ἀγαθῶν καὶ ποικίλων διηνεκῶς βρίθουσαι, καὶ πόαν μαλακὴν καὶ εὐώδη δι' ὅλου τοῦ ἔτους τρέφουσαι. ἀπῳκισμέναι γὰρ οὖσαι τῆς κοσμικῆς ἰλύος, καὶ τῆς τοῦ ἀέρος ἐπιμιξίας, ἥτις ἐκ τῶν δυσόδμων τῆς γῆς αὐχμῶν ἐπιγίνεται, οὐδ' ὅλως μεταλαμβάνουσαι, ὑγιεινότατον καὶ ἄλυπον τοῖς ἐκεῖσε ἀνθρώ-

13. *τὸ* C. 14. *ἐπεκτεινόμενον* C.

sic dicitur, et ipsa Celtiberia ad occidentales partes Romae sitae sunt, ad occidentale mare, quae quidem nunc Hispania vocatur. Romae enim supra Italiam sitae eae partes, quae ad solem cadentem usque ad Alpes montes, Gallia inferior, ubi nunc Nemitzia cognoscitur, ducem suum regem nominans: quae autem ad obliquas partes Alpium quasi a tergo sita sunt usque ad occidentale mare, Iberia et Celtiberia dicebantur, cum influentes ibi fluvii terrae darent hoc nomen: inde enim qui vult adiacens litus praeternavigare ad Galliam inferiorem, eum fretum Herculearum columnarum excipit: quae autem ad orientem sita sunt, in interiore terra ad litus extensa, ad partes insularum Britanniae ducunt et vertuntur: volenti autem ad Beatorum insulas proficisci navigatio ampla extenditur: absunt enim a terra milibus milliariis: duae autem sunt insulae, non multum inter se remotae, omnibus bonis et variis valde refertae, et herbam mollem et bene olentem per totum annum proferentes: remotae enim coloniae sordis mundanae et admixtionis aëris, quae e male olenti terrae squalore oritur, nequaquam participes saluberrimam et minime tristem incolis hominibus et pecudi vitam reddunt, et commorationem suavissimam et

ποις καὶ κτήνεσι τὸν βίον πεποίηνται, καὶ διατριβὴν ἡδίστην καὶ ἀπράγμονα καὶ χαρίεσσαν πάντῃ καὶ εὐζωίαν παρέχουσιν. οἱ οὖν τὴν Ἰβηρικὴν οἰκοῦντες, ἄνδρες ἀνδρειότατοί τε ὄντες καὶ ἰσχυρῶς παλαμώμενοι, διὰ παντὸς τοῖς Ῥωμαίοις ἀντεπολέμουν, καὶ καρτερίας ἔργα καὶ ἀρετῆς κατ' αὐτῶν ἐπεδείκνυντο· καὶ δυσχερῶς αὐτῶν οἱ Ῥωμαῖοι μεγίστῳ καὶ ἀνυποίστῳ θάρσει καὶ ἀνεκδιηγήτοις ὁρμαῖς ἐκυρίευσαν, ὡς διὰ χρόνου σπονδὰς ἐπιτελεσθῆναι τούτοις καὶ ἀναμὶξ συνθέσιν ἐξ ἐπιγαμβρείας καὶ μετοικιῶν πρὸς ἀλλήλους· διὸ καὶ ὁ μέγας ἐν βασιλεῦσι καὶ παναοίδιμος Κωνσταντῖνος μοῖραν οὐκ ἐλαχίστην ἐκεῖθεν, ἐκ τῶν ἑσπερίων Ἰβήρων, ἀποτεμόμενος εἰς τὴν ἑῴαν μετῴκισεν ἐν τοῖς τῆς Ἀσσυρίας μέρεσι, καὶ ἔκτοτε τὴν κλῆσιν τῆς Ἰβηρίας ἡ δεξαμένη τούτους χώρα προσέλαβε. πρότερον γὰρ Ἀσσύριοι καὶ ταύτην ᾤκουν τὴν χώραν, ἔπειτα Μῆδοι, μετὰ δὲ χρόνους ἱκανοὺς οἱ Ἀρμένιοι· καὶ οὐκ ἂν εὕροι τις ἐπὶ τῶν ἄνω χρόνων Ἴβηρας μνημονευμένους ἐνταῦθα ἐν παλαιαῖς ἱστορίαις, εἰ μὴ ἐξ οὗπερ Κωνσταντῖνος τούτους αὐτόθι κατῴκισεν. ἐκ τούτων οὖν εἴπερ οἱ ἐκ τοῦ γένους τοῦ Φωκᾶ μετάληξιν εἶχον γένους, ὡς ὁμοχώρων γενομένων ποτὲ καὶ αὐτοχθόνων ἀπὸ τῆς ἐν τῇ Ῥώμῃ
f. 215 r. συμφυίας καὶ συναυλίας, οὐδεμία διαφορὰ εὐγενῶν ἀπ' ἀλλήλων καὶ ἀνδρείων συνεληλυθότων εἰς μιᾶς συμπλήρωσιν κοσμιότητος.

securam et gratam omnino et vitam lautiorem praebent. Iberiam igitur inhabitantes viri, fortissimi et valde strenui, omnino contra Romanos bella gerebant, et patientiae facta atque virtutis contra eos ostendebantur, atque aegre iis Romani maxima et irresistibili audacia et ingentibus viribus superiores sunt facti: ita ut sensim pactiones perficerentur his et invicem compositio ex affinitate et sedium inter se communione. quamobrem etiam magnus inter reges et omnino venerandus Constantinus partem non minimam inde ex Iberibus occidentalibus abscindens in orientem transposuit, ut habitarent in Assyriae partibus: atque inde ex eo tempore nomen Iberiae terra quae excepit hos, accepit. antea enim Assyrii et hanc incolebant terram, deinde Medi, pluribus temporibus post Armenii, neque inveniat quisquam quod ad priora tempora pertinet Iberes commemoratos ibi in antiquis historiis, nisi ex quo magnus Constantinus his ibi sedes dedit. ex his igitur siquidem qui e genere Phocae erant mutationem habebant generis, quippe cum conterranei essent et indigenae a Romana coniunctione et commoratione nulla diversitas incidit nobilium invicem et fortium, qui convenerant in unius compositionem ordinis.

Καὶ τὰ μὲν τοῦ γένους τῶν Φωκάδων, ὅσα γε ἥκει κατὰ τὰς προσεχεῖς ἡμῶν γενεάς, περίφημά τε καὶ περιβόητα· καὶ μαρτυρεῖ τούτοις τά τε τῶν ἄνωθεν διηγήματα καὶ ὁ βασιλεὺς κῦρις Νικηφόρος ὁ Φωκᾶς, ὃς τὰ Ῥωμαίων πράγματα κατειληφὼς ἐν στενῷ κομιδῇ καὶ ἀπόρῳ περιιστάμενα τῇ τῶν Σαρακηνῶν καὶ Ἀράβων ἐπιστρατείᾳ καὶ πρὸ τῆς βασιλείας ἀνεκτήσατό τε καὶ ἀνεζώωσε, πολλοῖς πόνοις καὶ ἀγῶσι πολεμικοῖς καταστρατηγήσας τῶν ἐναντίων ἄχρι Νικαίας ληιζομένων τὴν ἑώαν, καὶ εἰς τὴν τῶν Κιλίκων κατακλείσας αὐτούς· εἶτα καὶ τὴν μεγίστην νῆσον τῆς Κρήτης ἀνασώσας τῇ Ῥωμαίων ἀρχῇ, πρᾶγμα δυσμεταχείριστόν τε καὶ δυσκατόρθωτον, εὐσεβὴς δὲ ὢν τὰ πρὸς τὸν θεὸν καὶ βουλεύσασθαι διαγνωστικώτατος καὶ στρατηγὸς ἀνδρειότατος, καὶ τὰ μὲν ἐκ θεοῦ καὶ θείας δυνάμεως, τὰ δὲ συμβουλίαις ἀρίσταις καὶ στρατιωτικαῖς γενναιότησιν, εἰς τέλος εὐκταιότατον καὶ μακάριον συνεπ έρανεν.

Ἵνα δὲ γνοῖεν οἱ ἐντυγχάνοντες τοῖσδε τοῖς γράμμασι, τί βούλεται ἡμῖν τὸ τῆς εὐσεβείας ἐγκώμιον ἐν τοῖς στρατιωτικοῖς παραγγέλμασι, προσθήσομέν τι τῷ διηγήματι.

Μέλλοντος αὐτοῦ διαπεραιωθῆναι στόλῳ βαρεῖ πρὸς τὴν Κρήτην κἀκεῖσε τὸν ἀπόπλουν ποιήσασθαι, συνῆλθον αἱ τριήρεις καὶ τὸ τῶν ὁλκάδων πλῆθος εἰς τὸ τῶν Φυγέλλων λεγόμενον κατατόπιον· καὶ γενομένης τῆς ἐμπλωίσεως ἐνταυ-

4. ὃς] εἰς C. vidit etiam interpres. 13. καὶ expunxerim. 22. τὸν C. 23. κατόπιον C.

Atque res quidem generis Phocadum, quaecunque pertinent ad coniunctas nobis aetates, celebratae atque frequentatae sunt, et testimonio sunt his tum superiores narrationes tum rex dominus Nicephorus Phocas, qui res Romanas suscipiens angustiis omnino et inopia circumfusas Saracenorum Arabumque expeditione etiam ante regnum recuperavit et resuscitavit, multis laboribus et certaminibus bellicis debellans adversarios usque ad Nicaeam praedantes orientem, et in Cilicum terram includens eos: deinde etiam maximam insulam, Cretam, conservans Romanorum imperio, quae quidem res difficilis fuit ad tractandum exigendumque. pius autem in rebus divinis atque in consiliis prudentissimus, et dux fortissimus, idque partim per deum et divina vi, partim consiliis optimis et militari nobilitate morte optatissima et beata decessit.

Ut autem intelligant qui incident in has literas, quid sibi velit pietatis laudatio in militaribus iussis, addemus aliquid narrationi.

Volente eo traiicere classe gravi in Cretam, atque inde conscendere, convenerunt triremes et multitudo navium tractoriarum in Phygellorum quae dicuntur regionem et, cum conscenderent ibi na-

θοῖ ἠρώτησεν ὁ Φωκᾶς, δομεστικὸς ὢν πάσης ἀνατολῆς τηνικαῦτα καὶ τῷ τῶν μαγίστρων ἀξιώματι ἔντιμος, πῶς ὁ τόπος ἀφ' οὗπερ ἐξορμῆσαι μέλλει κατονομάζεται. καὶ ἐπείπερ ἐμεμαθήκει ὅτι Φυγέλλα τούτῳ τὸ ὄνομα, οὐ κατεδέξατο τοῦτο ποιήσασθαι ὁρμητήριον, ἀλλὰ πέραν ἐκ πολλοῦ διαστήματος ἀκρωτήριον τοῖς ὀφθαλμοῖς ἐπελθὼν ἐπύθετο περὶ τούτου, ποῖον τοῦτό ἐστι καὶ ὅπως προσαγορεύεται, καὶ μαθὼν ὅτι Ἁγία τῷ ἀκροθινίῳ τὸ ὄνομα, τὰ μὲν ἐμβεβλημένα πάντα τοῖς πλοίοις ἐν τοῖς Φυγέλλοις πάλιν ἀπερεύξασθαι τὰ πλοῖα πεποίηκε, τὸν δὲ στόλον ἅπαντα τῇ γῇ τῆς Ἁγίας προσοκεῖλαι, διαταξάμενος ἐκεῖσέ τε τὴν ἐμπλώισιν καὶ τὴν ἐξόρμησιν τῆς ναυτικῆς δυνάμεως, συμβόλῳ χρηστῷ καὶ ἀγαθῷ χρηστηρίῳ τῷ τόπῳ τῆς ἁγιωσύνης χρησάμενος, καὶ τὸ Φυγέλλων ὡς φυγὴν προαινιττόμενον ἀποτιναξάμενος. διὰ τοῦτο καὶ χρονίσας ἐν τῇ νήσῳ τῇ Νηῷ λεγομένῃ μετὰ τοῦ στόλου παντός, οὐδένα μὲν εἶχε τὸν ὁδηγήσοντα πρὸς τὴν νῆσον τὴν Κρήτην, διὰ τὸ ἀγνοεῖν πάντας τὴν ὁδὸν ἐκείνην ἐκ τοῦ χρονοῖς πολλοῖς μὴ παροδεῦσαι ἐκεῖθεν πλοῖον Ῥωμαϊκόν· ἀοράτως δὲ νῆαι Καρπαθικαὶ δύο τὸν κατάπλουν ἐπ' αὐτὸν ποιησάμεναι προωδοποίησαν αὐτῷ τὴν ὁδοιπορίαν καὶ εἰς Κρήτην ἀπήγαγον, τοῦ θεοῦ πάντως τὰ κατ' αὐτὸν διιθύνοντος, ὡς εὐαρεστουμένου τῇ εὐλαβείᾳ τῆς πίστεως.

Καὶ ὅπως μὲν μετὰ τὸ τῇ νήσῳ προσμῖξαι καὶ οἵαις

ves, interrogavit Phocas, domesticus tum omnis orientis et magistrorum dignitate ornatus, quomodo locus, ex quo processurus esset, vocaretur, et cum cognovisset, Phygella huic esse nomen, non sustinuit hunc facere exitum, sed trans hunc locum multo intervallo promontorium oculis assecutus interrogavit de hoc, quale hoc esset et quomodo nominaretur, atque cum cognovisset, Hagia (Sancta) promontorio esse nomen, ut naves omnia, quam iis imposita erant Phygellis, rursus eiicerent, curavit: classem autem universam postquam terrae Hagiae appellere iussit, ibique instituit conscensionem et egressum navalium virium, ut signo utili et bono oraculo loco sanctitatis usus et Phygella quasi fugam significantia excutiens. propterea etiam versatus in insula, quae Neus dicebatur, cum classe tota neminem reperiebat viam monstraturum ad insulam Cretam, cum omnes ignorarent iter illud, quia per tempora multa non praeterierat inde navigium Romanum: obscure autem naves Carpathicae duae ad eum advectae ei monstrarunt iter eumque in Cretam duxerunt, deo omnino res eius gubernante, ut placentis attentione fidei.

Atque quomodo postquam insulae appulit et qualibus usus sit

ἐχρήσατο μηχαναῖς καὶ στρατηγικαῖς ἐμπειρίαις πρὸς τὴν τοῦ πλήθους καὶ τὴν τῶν ὁλκάδων διάσωσιν, μὴ ὄντος λιμένος τῇ Κρήτῃ (ἀλιμένευτος γὰρ πᾶσα ἐστί), μακρὸν ἂν εἴη διεξελθεῖν· f. 216 v. ὃ δὲ παραδοξότατόν ἐστι καὶ πρὸς τὴν τοῦ ἀνδρὸς εὐσέβειαν, λέξων ἔρχομαι. περιταφρεύσας τὰ ἴδια πλοῖα πλησίον τοῦ κάστρου τοῦ Χάνδακος (τοῦτο γάρ ἐστι τῆς Κρήτης τὸ ἰσχυρότατον καὶ ἡγεμονικώτατον φρούριον) ἐκάθητο πρὸ τῆς πόλεως ὡς ἀπὸ σταδίων τριῶν, δημηγορῶν τοῖς ὄχλοις καὶ τοῖς συστρατιώταις καὶ συνταγματάρχαις καὶ ναυάρχαις ὅσα τῷ καιρῷ καὶ τοῖς περικειμένοις ἀγωνίσμασι πρόσφορα· ἐκ μηχανημάτων δὲ τοῖς τείχεσιν ἐπικαθημένων σφενδονηθεῖσα πέτρα μέσον τούτων μετὰ πολλοῦ τοῦ ῥοίζου κατέπεσε, μηδένα μὲν ἀδικήσασα τῶν Ῥωμαίων, φόβον δὲ καὶ ἔκπληξιν οὐ μετρίαν τοῖς ὅλοις ἐνστάξασα. ὁ δὲ Φωκᾶς οἰκείαις χερσὶ τὸν ἀπορριφέντα λίθον ἀνακουφίσας, καὶ δείξας τοῖς παροῦσιν ὡς εὐμεγέθης καὶ χερμάδης ἐστὶ καὶ τοσοῦτον ἀπέπτη διάστημα ὅσον οὐδενὶ τῶν πετροβόλων ὀργάνων ἐν τοῖς καταπονηθεῖσι περὶ Κιλικίαν κάστροις ἐκλακτίσαι προσγέγονε, παρηγγύησε πᾶσιν ἀνδρικώτερον διατεθῆναι καὶ συντονώτερον ὡς εἰς ἄνδρας ἐληλακόσι Λαιστρυγόνας ἢ Κύκλωπας. πρώτην δὲ φυλακὴν καὶ ἀνδρίαν ἀκαταγώνιστον ἔθετο καὶ ἄγκυραν ἀσφαλεστάτην ὑπέδειξε τὴν εἰς τὴν θεομήτορα καὶ πάναγνον δέσποιναν κα-

artibus, et prudentia imperatoria ad multitudinem et naves tractorias conservandas, cum non esset portus Cretae (portibus enim caret tota insula), longum est persequi: quod autem maxime inexspectatum est et ad viri pietatem pertinet, enarrabo. circumvallans navigia sua prope castellum Chandacem (hoc enim est Cretae firmissimum et maxime imperatorium castrum) castra tenebat ante urbem intervallo trium ferc stadiorum: pronuncians multitudini et militibus et centurionibus et navium ductoribus quae ad tempus et instantia certamina erant accommodata: ex machinis autem, quae muris impositae erant, iacta rupes in medios hos multo cum stridore decidit, neminem quidem laedens Romanorum, timorem autem stuporemque non modicum omnibus iniiciens. sed Phocas suis manibus iactum lapidem tollens et ostendens iis qui aderant, quantus esset et quam iaculatorius et tantum pervolasse eum intervallum, quantum nulli instrumento iaculatorio in castris circa Ciliciam exstructis eiicere contigit, adhortatus est omnes, ut fortius se disponerent et patientius, quippe qui contra homines Laestrygones aut Cyclopes profecti essent: primam autem custodiam et virtutem invictam instituit: et ancoram certissimam monstravit ad

ταφυγὴν καὶ παράκλησιν· καὶ αὐτίκα, μηδὲ βραχύ τι μελλήσας, ναὸν ἐκεῖσε τῆς παναχράντου δεσποίνης καὶ θεοτόκου δομηθῆναι προσέταξε. καὶ πολλῶν ὄντων τεχνιτῶν ἐν τοῖς πλοίοις, καὶ χειρῶν ἐν μυριάσιν ἀριθμουμένων, ναὸς ἀπηρτίσθη διὰ τριῶν ἡμερῶν περικαλλὴς καὶ σεβάσμιος, σφαιροειδῆ τὸν ὄροφον ἔχων καὶ παραπτέροις κεκοσμημένος καὶ κίοσι καὶ προνάοις, καὶ κόσμῳ διηνθισμένος μαρμάρων καὶ μορφαῖς ἁγίων περιαστράπτων, καὶ ὅλως ἀπηρτισμένος εἰς ὡραιότητα. καὶ προσέταξε σημῆναι τὸ ἐπαγωγὸν πρὸς εὐσέβειαν. καὶ καταμαθόντες οἱ ἐν τῷ ἄστει τὴν τοῦ ξύλου φωνήν, ἐθαύμασάν τε τὸ ταχὺ καὶ σύντονον τοῦ οἰκοδομήματος καὶ τὸ προσφώνημα τῆς εἰς δοξολογίαν ἀγούσης σάλπιγγος, καὶ θορύβου πλησθέντες καὶ ταραχῆς μερίδα τὴν νῆσον τῆς Ῥωμαϊκῆς δυνάμεως προϋπετόπασαν ἔσεσθαι.

Τούτοις τοῖς ἔργοις τῆς εὐσεβείας παρακληθεὶς ὁ θεὸς τὴν ὑποκρυπτομένην τῶν Σαρακηνῶν, καὶ ἄρδην ἀπολέσαι μέλλουσαν αὐτὸν σὺν τῇ στρατιᾷ, φανερὰν ἀπειργάσατο. ἦν γὰρ συγκείμενον τοῖς τε τοῦ Χάνδακος Σαρακηνοῖς καὶ τοῖς τὴν χώραν οἰκοῦσι (πολλὴ γὰρ ἡ χώρα τῆς Κρήτης καὶ πολυάνθρωπος, ἑβδοματικῶν ἡμερῶν δρόμον καὶ πλείω τὸ μῆκος ἔχουσα εὐζώνῳ ἀνδρί) διὰ μιᾶς ἡμέρας ὀρθριώτερον ἀπὸ συνθήματος ἐπιτεθῆναι τοῖς Ῥωμαίοις καὶ μέσον αὐτοὺς ἐμ-

16. post Σαρακηνῶν deest ἔφοδον vel ἐπιβουλήν.

dei matrem et persanctam dominam confugium et implorationem: atque statim neque paulum cunctatus templum ibi maxime purae dominae et matris dei aedificari iussit, et cum multi essent artifices in navigiis et manus sexcentae numerarentur, templum exstructum est per tres dies perpulchrum et augustum, rotundo fastigio praeditum et adiacentibus ornatum et columnis et porticibus, et ornatu distinctum marmoris, et figuris sanctorum fulgens et omnino accommodatum ad pulchritudinem, et iussit significare invitationem ad pietatem. atque audientes qui in urbe erant ligni sonum mirati sunt celeritatem et constantiam aedificii et clangorem tubae ad gloriam agentis; atque perturbatione impleti et turba insulam partem imperii Romani fore ante tempus opinati sunt.

His factis pietatis permotus deus celatum consilium Saracenorum quodque funditus exstincturum erat eum cum exercitu, manifestum reddidit: convenerat enim inter Saracenos Chandacis incolas et eos, qui terram inhabitant: cum enim terra Cretae magna et hominibus abundans septem dierum iter et amplius longitudine habeat expedito viro, per unum diem facilius erat ex pacto aggredi Romanos et medios eos occupare, ut ne ignis quidem custos, ut aiunt, ad Romano-

βαλεῖν, ὡς μηδὲ πυρφόρον, ὃ δὴ λέγεται, πρὸς τὴν Ῥωμαίων ἐπανελθεῖν. καὶ ἦν τοῦτο εὐχερὲς μὲν τοῖς ἐναντίοις καὶ κράτιστον, ἄφυκτον δὲ τοῖς Ῥωμαίοις πρὸς ἧτταν παντελῆ καὶ κατακοπήν. ὁ δὲ ποιῶν τὸ θέλημα τῶν φοβουμένων αὐτὸν θεὸς ἕτερον τοῦτο παθεῖν ἀσεβῆ καὶ ἀσυλλόγιστον στρατηγὸν ἄξιον εἶναι ἐδίκασεν, εὐλαβῆ δὲ καὶ δίκαιον, οἷος ἦν f. 216 r. ὁ Φωκᾶς, οὐδαμῶς. διὰ τοῦτο καὶ τισι τῶν Σαρακηνῶν δύο σκοπὸν ἐντίθησιν αὐτομολῆσαι πρὸς τοὺς Ῥωμαίους καὶ τῷ Φωκᾷ καταμηνῦσαι τὴν τοιαύτην ἐπιβουλήν· οἳ καὶ προσελθόντες αὐτῷ καὶ τὸ ἀπόρρητον φανερώσαντες ἐπιεικέστερον πεποιήκασι. μηδαμῶς οὖν ὑπερθέμενος ἀνίστησι τὸ στρατόπεδον, κἀκεῖθεν ἄρας νυκτὸς ἀθρόως ἐπεισπίπτει τοῖς ἔξωθεν κατεστρατοπεδευμένοις ἔτι τυγχάνουσι, καὶ καταπλήξας αὐτοὺς τῷ ἀλαλαγμῷ καὶ τῇ ἐκτάξει τῆς στρατιᾶς καὶ ταῖς ἑκατέρωθεν προσβολαῖς φυγεῖν ἀτάκτως ἠνάγκασε, καὶ πολὺν φόνον αὐτῶν ἐργασάμενος, καὶ πᾶσαν τὴν πανοπλίαν αὐτῶν καὶ αὐτοὺς ἀπολωλεκώς, διέλυσεν ἅπαντα τὸν ἐκεῖθεν φόβον καὶ πᾶσαν τὴν δύναμιν τῆς νήσου παρέλυσεν. ἀγνοούντων δὲ τῶν ἐντὸς τὸ συμβεβηκός, πόλεμον αὐτοῖς πολιορκητικὸν εὐθὺς ἐπανέσεισεν. οἱ δὲ τὰς βεβουλευμένας αὐτοῖς φυγῆς ἀντεχόμενοι, καὶ τῶν ἐκτὸς προσδοκῶντες τὴν ἔφοδον, παρεσκευάζοντο πρὸς τὴν ἔξοδον. ὡς δὲ καὶ ὁ Φωκᾶς πετροβόλοις ὀργάνοις τοὺς ἐπὶ τῶν τειχῶν ἀντημύνατο, κἀκεῖνοι λίθους

15. προβολαῖς C. 20. τῆς βεβουλευμένης?

rum terram rediret: atque erat hoc expeditum quidem adversariis et optimum, inevitabile autem Romanis usque ad cladem absolutam et confectionem. deus autem, qui ratam facit voluntatem eorum qui eum verentur, alium, qui hoc pateretur, inpium et incautum ducem dignum esse iudicavit, cautum autem et iustum, qualis erat Phocas, nequaquam. propterea etiam duobus Saracenis consilium iniicit transfugiendi ad Romanos et Phocae declarandi tales insidias: qui quidem etiam ad eum venerunt et secretum declarantes magis strenuum eum reddiderunt. nihil igitur cunctatus instruit exercitum, atque inde profectus noctu cum universis aggreditur illos, qui etiamtum extrinsecus in castris erant, et terrens eos clamore bellico et instructa acie et factis utrinque praesidiis, in fugam confusam eos coegit, et multam caedem eorum faciens atque omnem gravem armaturam eorum eosque ipsos delens dissolvit omnem, qui inde fieret, metum, et omnem vim insulae sustulit. ignorantibus autem, qui intus erant, factum, oppugnationem iis statim movit. illi autem statutae a se fugae studentes et eorum qui extra erant, exspectantes adventum, excursionem parabant. cum autem et Phocas machinis iaculatoriis eos qui in muris

ἔβαλλον κατ' αὐτοῦ, προστάξας αὐτὸς κεφαλὰς τῶν κατακοπέντων ἔναγχος ἀνταπέστελλεν. οἱ δὲ ταύτας ἰδόντες καὶ τῷ παραδόξῳ καταπεπληγμένοι, ἄλλοι δὲ καὶ γνωρίσαντες συγγενῶν ἢ φίλων καὶ ὁμογνίων τυγχάνειν τὰ κάρηνα, καὶ τὸ πάθος μὴ ἐνέγκοντες, τὰς τρίχας κατέτιλλον καὶ τὸ θράσος εἰς θρῆνον μετέβαλον.

Εἶτα πολλοῖς στρατηγήμασι καὶ σοφίσμασι καὶ ταύτην τὴν πόλιν παραστησάμενος ὁ Φωκᾶς, οὕτω πᾶσαν τὴν νῆσον ὑποτελῆ καὶ ὑπόφορον τοῖς Ῥωμαίοις ἀπέδειξε, καὶ Χριστιανῶν καὶ ὀρθοδόξων ἀντὶ Σαρακηνῶν πεποίηκεν οἰκητήριον. καὶ νῦν ἔστιν ὁ κατασκευασθεὶς παρ' ἐκείνου περικαλλὴς ναός, καὶ ἐπ' ὀνόματι τῆς θεοτόκου τιμώμενος καὶ τοῦ μαγίστρου λεγόμενος, καὶ αὐτὸς ὁ Φωκᾶς ἀνεστηλωμένος ἐν τούτῳ νικητὴς καὶ τροπαιοῦχος, δεῖγμα τῆς ἀνδρίας αὐτοῦ καὶ εὐσεβείας τῆς τηλικαύτης νήσου παριστῶν τὴν κατάκτησιν. καὶ εἶδον τοῦτον ἐγὼ τῇ νήσῳ ἐπιδεδημηκώς· καὶ ἔστιν ἐμφερὴς πάντη τῷ προμνημονευθέντι βασιλεῖ κυρίῳ Νικηφόρῳ τῷ Βοτανειάτῃ, πίστεως ἀκριβοῦς σύμβολον τοῦ εἶναι τοῦτον ἐκείνου ἀπόγονον. εἰ δὲ μὴ διὰ τὴν εὐσέβειαν αὐτοῦ καὶ εὐλάβειαν συνῆν αὐτῷ ἡ θεία ἀντίληψις, πάντως ἄπορος ἂν ἐγεγόνει καὶ ἡ πρὸς τὴν Κρήτην ὁδὸς καὶ ἡ τῶν βεβουλευμένων τοῖς ἐναντίοις φανέρωσις, καὶ ἢ ἄπρακτος ὑπεχώρησεν, ἢ κατάβρωμα τοῖς πολεμίοις ἐγεγόνει καὶ καταπάτημα· ἔχων δὲ δι' ἀρε-

stabant arceret, et illi lapides iacerent contra eum, ipse iussu capita nuper occisorum adversus eos misit. illi autem haec videntes et re inexspectata stupefacti, alii etiam agnoscentes affinium aut amicorum aut cognatorum capita neque dolorem ferentes crines evellebant et audaciam in lamentationes vertebant.

Deinde multis dolis et artificiis postquam hanc quoque urbem in potestatem suam redegit Phocas sic totam insulam vectigalem et subiectam Romanis reddidit, et Christianorum atque orthodoxorum pro Saracenis fecit domicilium, atque nunc quoque exstat templum perpulchrum ab illo exstructum et sub nomine matris dei honoratum et templum magistri dictum, atque ipse Phocas columna erectus in hoc ut victor et feretrius, documentum virtutis eius et pietatis talis insulae efficiens possessionem. atque vidi hunc equidem cum in insulam profectus essem, et est ille similis omnino regi antea commemorato domino Nicephoro Botaniatae, fidei certae signum, esse hunc ab illo oriundum. nisi autem propter pietatem eius et circumspicientiam adesset ei divinum auxilium, omnino inefficax fuisset et iter in Cretam susceptum et consiliorum hostium declaratio, atque aut

τῆς τὸ θεῖον συναντιλαμβανόμενον, τά τε τῶν ἐναντίων ἐμυήθη ἀπόρρητα καὶ καταρθωμάτων καὶ αὐχημάτων ἀπήλαυσε.

Τῶν δὲ λοιπῶν αὐτοῦ προτερημάτων ποιεῖσθαι κατάλογον περιττὸν πάντως τῇ παρούσῃ γραφῇ. πλήρης γὰρ τού- f. 216 v. των πᾶσα γραφή τε καὶ ποίησις, ὅπως ἑκατοντάχειρας μυριάδας Ἀράβων δύο ἀκαταμαχήτων, ὥσπερ τις ἀσώματος, καταστράψας πόλεις ἀμυθήτους ὑποσπόνδους πεποίηκε, τήν τε μεγάλην Ἀντιόχειαν καὶ Μελιτηνὴν Ταρσόν τε καὶ Γερμανίκειαν καὶ τὴν ἐν ταῖς Μόψου κρήναις καὶ αὐτὴν Ἄδαναν καὶ τὰς περιοίκους πάσας, αἳ λόγῳ συντετμημένῳ ῥηθῆναι οὐ δύνανται. ἐκεῖναι δέ μοι ἐρρήθη ὡς τοῖς πολλοῖς συγγραφεῦσιν ἀδιεξόδευτα.

Ἀλλ' οὗτος μὲν πάρεργον γενόμενος γυναικὸς καὶ τοῦ ἰδίου ἀνεψιοῦ Ἰωάννου τοῦ Τζιμισχῆ, οἷα τὰ τοῦ θεοῦ κρίματα, πολλὴν τοῖς ἀνθρώποις ἀφῆκεν ἀνίαν καὶ τῇ Ῥωμαίων ἐπικρατείᾳ στυγνότητα· οἱ δὲ τοῦ γένους αὐτοῦ ἐδιώχθησαν μὲν ὑπὸ τῶν μετέπειτα βασιλέων διὰ τὸ βάρος τῆς τύχης καὶ τὸ τῆς ἀνδρίας ἀνξίωμα περιώνυμον, ἔμεινε δὲ τῇ μετέπειτα γενεᾷ ὥσπερ τις σπινθὴρ ὑπαυγάζων τὸ γένος τῶν Βοτανειατῶν, ἐν τῷ στρατῷ διαλάμπων τοῦ κυρίου Βασιλείου τοῦ πορφυρογεννήτου, ὃς τεσσαρακοστὸν ἔτος τοῖς Βουλγάροις ἀντιτασσόμενος, καὶ μυρίοις πόνοις καὶ ὅπλοις ἀντιπαρατατ-

re infecta recessisset aut confectus ab hostibus esset et pedibus proculcatus. cum autem haberet virtute numen divinum socium, et adversariorum initiatus est secretis et felicitatem gloriamque est adeptus.

Reliquarum autem eius victoriarum instituere recensum supervacaneum est omnino praesenti libro: plena enim est his omnis scriptio et poesis, quomodo centimanas duas myriades Arabum invictorum tanquam divinus defulgurans urbes innumerabiles vectigales fecerit, Antiochiam magnam et Melitenen et Tarsum et Germaniceam et urbem, quae est ad Mopsi fontes, et ipsam Adanam et circumiacentes omnes, quae oratione contracta enumerari non possunt. illa autem a me commemorata sunt, utpote quae a plurimis scriptoribus non possint praeteriri.

Sed hic quidem neglectus ab uxore et patrueli Ioanne Tzimische, qualia sunt dei iudicia, multam hominibus iniecit sollicitudinem et Romanorum imperio tristitiam. qui autem e genere eius erant, vexati sunt a posteris regibus propter gravitatem fortunae et virtutis dignitatem illustrem. manebat autem posterae aetati quasi igniculus quidam lucens, genus Botaniatarum in exercitu illustrans domini Basilii porphyrogenneti, qui quidem per quadraginta annos Bulgaris op-

τόμενος, ἕνα μόνον εἶχε βοηθὸν καὶ συλλήπτορα, βουληφόρον ἅμα καὶ στρατηγὸν καὶ ἱππότην καὶ δεξιὸν ἀρχιστράτηγον, τὸν Βοτανειάτην Νικηφόρον, ὃς πάππος ἦν τῷ προλελεγμένῳ βασιλεῖ. τέλος δὲ τοῦ πολέμου, μετὰ τὸ καταπολεμηθῆναι καὶ ἡττηθῆναι τὸ τῶν Βουλγάρων ἔθνος ὑπὸ τῆς αὐτοῦ δεξιᾶς (ἦν γὰρ τηνικαῦτα τῷ περιβλέπτῳ τῶν βεστῶν ἀξιώματι τετιμημένος, ἐλαμπρύνετο δὲ καὶ τῇ τοῦ δουκὸς περιφανεστάτῃ ἀρχῇ), τὸν εὐγενῆ καὶ ἀληθέσι στρατιώταις ἐράσμιον θνήσκει μαχόμενος θάνατον. τρεψάμενος γὰρ τοὺς Βουλγάρους, καὶ διώκων ἐν τῇ κλεισούρᾳ τῇ λεγομένῃ τοῦ Κλειδίου, οὐκ ἀνίει σφάττων καὶ κατατιτρώσκων αὐτούς, ἕως εἰς ἀκρωρείας ἀνελθών, ἔνθα καὶ ἑτέρους ἑώρα Βουλγάρους καταφυγόντας, ἐσφάλη τῆς ἱππασίας, τοῦ ἵππου κατολισθήσαντος ἐν πλαξὶ λιθίναις καὶ σὺν αὐτῷ κατακρημνισθέντος, ὥστε καταπλαγέντας τοὺς ἐναντίους τὴν ἀνυπέρβλητον ὁρμὴν τοῦ ἀνδρός μηκέτι τοῖς Ῥωμαίοις τολμῆσαι εἰς χεῖρας ἐλθεῖν, ἀλλὰ τὸν μὲν ἄρχοντα τούτων, Σαμουὴλ κατονομαζόμενον, σύντρομον φυγεῖν καὶ ἀποθανεῖν ἐν τῷ λιμνίᾳ νήσῳ τῆς Πρέσπας, τοὺς δὲ λοιποὺς ἅπαντας ὑποσπόνδους ἑαυτοὺς ἐγχειρίσαι τῷ βασιλεῖ καὶ γενέσθαι δούλους δι' ἀρετὴν ἑνὸς ἀνδρὸς καὶ γενναιότητος μέγεθος.

Ἐπεὶ καὶ ὁ τούτου υἱὸς Μιχαήλ, πατὴρ τοῦ βασιλέως, μέγα τι καὶ ὑπεράνθρωπον ἐνεδείξατο καρτερίας καὶ ἀνδρα-

positus et innumerabilibus laboribus et armis expositus unum solum habebat socium et adiutorem, consiliarium simul et ducem et equitem et dextrum imperatorem, Botaniatam Nicephorum, qui avus erat antea dicto regi. in fine autem belli postquam debellatus est et devictus Bulgarorum populus eius strenua actione, (erat enim tum illustri vestiariorum dignitate ornatus et splendebat etiam ducis amplissimo magistratu) nobilem et veris militibus dilectam subit pugnans mortem. postquam enim vertit Bulgaros et persequens in angustiis quae dicuntur Clidius, eos non desinebat occidendo et vulnerando eos, donec in arces egressus, quo etiam alios videbat Bulgaros confugisse, lapsus est equitando, equo dilapso in iugis saxosis et cum eo deiecto, ita ut adversarii stupefacti insuperabili impetu viri non amplius Romanis auderent ad manus venire, sed dux horum Samuel dictus tremens fugeret et moreretur in palustri insula Prespa, reliqui autem omnes subiectos se praeberent regi et fierent servi propter virtutem unius viri et nobilitatis magnitudinem.

Quandoquidem etiam huius filius Michael, pater regis, magnum aliquod et immane ostendit patientiae et fortitudinis contra adversarios

γαθίας κατὰ τῶν ἀντιπάλων προτέρημα. πλήθους γὰρ ἀμυθήτου Βουλγάρων ἐπιστρατεύσαντος τῇ Θεσσαλονικέων μητροπόλει, οὐ κατεπλάγη πρὸς τὰς τοσαύτας δυνάμεις αὐτῶν, καὶ τῶν τειχῶν ἐντὸς ἑαυτὸν περιέστειλεν, ἀλλ' οἷά φασιν εἰπεῖν αὐτὸν τὸν Ἀλέξανδρον, ὡς εἷς μάγειρος πολλῶν προβάτων ἀγέλας οὐ δέδοικε, ταῦτα διανοησάμενος καὶ εἰπὼν ἐξῆλθη μετ' ὀλίγων τῶν παρατυχόντων αὐτῷ συστρατεύεσθαι. f. 217 v. ἔχων γὰρ τὴν τοιαύτην ἡγεμονίαν πατρῴαν, καὶ τῷ ζήλῳ μονονουχὶ ἐκπυρακτωθείς, καὶ ἅμα μένους καὶ φρονήματος εὐγενοῦς ἀκαταμαχήτου πνέων, καὶ τοσοῦτον νικῶν τῷ τῆς ἰσχύος διάρματι ὅσον οἱ ἀντικείμενοι τῷ πλήθει καὶ ταῖς πανοπλίαις ἐδόκουν ἁβρύνεσθαι, πρὸς μάχην ἐκ τοῦ εὐθέος αὐτοῖς ἀντιπαρετάξατο, καὶ μετὰ πολλῆς τῆς ῥύμης καὶ τοῦ ἀκρατοῦς ῥυτῆρος εἰς μέσους τοὺς πολεμίους γενόμενος ἅπαν τὸ πεδίον ἐκεῖνο σωμάτων νεκρῶν κατεσφαγμένων ἐπλήρωσε, μηδενὸς δυνηθέντος ἀθάνατον πληγὴν ἐκ τῆς τούτου χειρὸς ἀπενέγκασθαι. ἐπήρχοντο μὲν γὰρ αὐτῷ κατὰ φάλαγγας οἱ πολέμιοι πανταχόθεν, τῷ σώματι τούτου τὰς ἀκμὰς τῶν ξιφῶν ἐπερείδοντες, οὐδαμῶς δὲ τῆς ἱππικῆς ἕδρας αὐτὸν ἀποκρούσασθαι ἴσχυον· ἀλλὰ φασγάνῳ τὰ δόρατα τούτων ἀποτέμνων καὶ τὰς σαρίσσας, οὕτω τοὺς πολεμήτορας ὑπὸ γῆν κατηκόντιζεν, οὗ μὲν κεφαλὴν ἐν μιᾷ πληγῇ σὺν τῇ χειρὶ διατέμνων, ἄλλον δὲ δεικνύων ἡμίτομον, τὸν δὲ καὶ καρατομῶν, καὶ μυρίοις εἴδεσι πληγῶν καταστρέφων καὶ καταπλήτ-

factum. cum enim multitudo ingens Bulgarorum aggrederetur Thessalonicensium metropolin, non afflictus est talibus eorum viribus, et intra muros se constituit. sed qualia aiunt dixisse ipsum Alexandrum, unum nimirum lanium multarum ovium greges non timere, haec reputans et pronuntians egressus est cum paucis qui forte fortuna apud eum erant. habens enim tale imperium paternum et studio paene concrematus simulque audaciam et animum nobilem invictumque spirans et tantum superior roboris erectione quantum adversarii multitudine et armatura videbantur superbire, ad pugnam palam iis se opposuit, et postquam multo cum impetu et immoderato freno in medios hostes irrupit, totum campum illum cadaveribus occisorum implevit, cum nemo valeret ingentem ictum ex huius manu ferre. obveniebant enim ei secundum phalanges hostes undique corpus huius acie gladiorum petentes, nequaquam autem ex equi sede eum affligere valebant: sed ense lanceas horum praecidens et sarissas, ita bellantes in terram prostravit, alius caput uno ictu cum manu dissecans, alium reddens semisectum, alium etiam detruncans, et innumerabilibus ictuum gene-

των αὐτούς. οἱ δὲ Βούλγαροι, πλῆθος ὄντες ἀνεξερεύνητον καὶ ἀριθμῷ καθυποβληθῆναι μηδ' ὅλως δυνάμενον, περισχόντες αὐτὸν εἰς μέσον ὥσπερ ὑδάτων πολλῶν ἀχανὲς πέλαγος, οὕτως αὐτὸν ἀποπνῖξαι καὶ εἰς ἀδιεξόδευτον βυθὸν καταποντίσαι διηγωνίζοντο, οἷα πέρ τισι κύμασι τοῖς τύμμασι τῶν δοράτων καὶ τῶν ἄλλων πολεμικῶν ὀργάνων συνεχῶς αὐτὸν ἐπιπλήττοντες. ἀλλ' ἐκεῖνος βρυγμῷ λέοντος κατ' αὐτῶν ἐξορμῶν, καὶ τοὺς ἐπεισπεσόντας ἐξαισίοις ἀναχαιτίζων πληγαῖς, ὁδὸν ἑαυτῷ ἐποίει καὶ πρόσβασιν ἑκατέρωθεν. καὶ μετὰ τὸ γνῶναι πάντας τὸ τούτου ἀκρατὲς καὶ πρὸς τὰς ἀνδραγαθίας εὐσταθὲς καὶ ἀνίκητον, οὐκέτι πρὸς ἀντικαταστάσεις ἀγχεμάχων ἀπὸ χειρῶν εἰς χεῖρας πρὸς μάχην αὐτῷ συνίσταντο, ἀλλὰ χορείαν μονονουχὶ συστησάμενοι σὺν θαύματι μεγάλῳ δι' ἐκηβόλων ὀργάνων τὸν πόλεμον συνερρήγνυον, ἕως αὐτὸς τοῖς ὑποχωροῦσιν ἐπιφερόμενος ἧτταν αὐτῶν μεγίστην καὶ τροπὴν ἀπειργάσατο· καὶ τοσοῦτον ὅτι μετὰ τὴν νίκην ἀπιδὼν πρὸς τὸ πλῆθος τῶν πεσόντων καὶ τῶν φευγόντων, καὶ οἷον αὐτῷ ἔργον ὑπὲρ ἀνθρωπίνην ἰσχὺν ἐξείργαστο, σκοτοδινίας πλησθεὶς καὶ φύσεως ῥευστῆς εἶναι, τοῖς ἀνθρωπίνοις δεινοῖς καὶ πάθεσι κατακλινομένης, ὑποδεικνύς, αὐτομάτως ἐκ τοῦ ἵππου πρὸς γῆν καταρρεύσας συννένευκε, διάβροχος μὲν καὶ λελουμένος ὢν τῷ τῶν πολεμίων ἀπλέτῳ καὶ ποταμίῳ αἵματι, οὐχ ἧττον δὲ καὶ τῷ οἰκείῳ καὶ

13. συνίστατο C.

ribus affligens et terrens eos. Bulgari autem, qui erant multitudo innumerabilis neque numero subiici ullo modo poterant, eum medium circumdantes tanquam aquarum multarum latum mare, ita eum suffocare et in voraginem inevitabilem submergere certabant, quasi undis ictibus hastarum et ceterorum belli instrumentorum assidue eum vexantes. sed ille fremitu leonis contra eos procedens et irruentes ingentibus repellens ictibus viam sibi faciebat et aditum utrinque: et postquam cognoverunt omnes huius violentiam et virtutis firmitatem atque invictum animum non iam ad aciem cominus manibus ad pugnam cum eo se constituebant, sed chorum paene componentes cum admiratione magna instrumentis iaculatoriis bellum instruebant, donec is in recidentes irruens cladem eorum maximam et fugam confecit, atque tantum, ut post victoriam respiciens multitudinem occisorum et fugientium, et quale ab eo opus supra hominum potentiam confectum esset, vertigine correptus et naturam incertam et mutabilem esse humanis malis et doloribus ostendens, sua sponte ex equo in terram deflueret corrueretque, madidus et lavatus hostium ingenti et fluviali sanguine neque minus etiam proprio et martyris circumfusus squalore:

μαρτυρικῷ περιρρεόμενος λύθρῳ. ἐθαύμασαν αὐτὸν ὑπερφυῶς καὶ ὑπερηγάσθησαν τό τε πολέμιον καὶ πᾶν τὸ Ῥωμαϊκόν, καὶ δῆμοι πάντες ἀνθρώπων πρὸς τοῦτο ἐξεθαμβήθησαν. τὸ δὲ γένος τῶν Θετταλῶν ἑώρτασε μὲν ὑπὲρ ἅπαντος τὴν f. 217 v. τῆς πόλεως λύτρωσιν, ἔθυσε δὲ θεῷ καὶ τῷ μεγαλομάρτυρι Δημητρίῳ τὰ σῶστρα, ἔθυσε δὲ καὶ αὐτῷ τῷ τούτου θεράποντι Μιχαὴλ τῷ Βοτανειάτῃ τὴν ἐξ ἰσοθέων ἀγώνων ἐπινίκιον εὐφημίαν καὶ εὔκλειαν. ἐζήτει δὲ τὸν ἀθλητὴν ἡ σωθεῖσα πόλις δι' αὐτοῦ, καὶ διὰ σπουδῆς ἐποιεῖτο τὴν τούτου εὕρεσιν. καὶ ζητοῦσα σὺν ἐπιμελείᾳ καὶ διαδρόμῳ πολλῷ εὗρεν αὐτὸν κείμενον ἐνωπλισμένῳ καὶ ἀνδρείῳ φρονήματι, καὶ τὸ ξίφος τοῖς δακτύλοις περιεχόμενον καὶ μηδαμῶς ἀφιέμενον, ἕως μετὰ πολλῆς θεραπείας καὶ τεχνικῆς ἐπιστήμης ἀφῆκε μὲν τὸ ξίφος ἡ χείρ, τῶν ὀνύχων τῇ παλάμῃ προσηλωθέντων αὐτοῦ τῷ ἐμμανεῖ τῆς κατὰ τῶν πολεμίων ἐπείξεως, αὐτὸς δὲ δορυφορούμενος, καὶ μεγίσταις εὐφημίαις καὶ κρότοις καὶ δορυφόρων ἀλαλαγμοῖς καὶ ἐγκωμίων πλοκαῖς καταστεφόμενος ὡς ἀριστεὺς ἀπαράμιλλος, εἰς τὴν πόλιν ἐθριάμβευσε, τοῦ κάρου ἤδη ἀνενεγκών, καὶ πᾶσαν τὴν Ῥωμαίων χαρᾶς καὶ θυμηδίας πεπλήρωκεν. ὁ δὲ τὰ σκῆπτρα τῆς ἀρχῆς ἐγκεχειρισμένος κύριος Βασίλειος, ἀναφέρων μὲν καὶ πρὸς τὸ τοῦ γένους αὐτοῦ ἐπίσημον καὶ περίδοξον, ἀναφέρων δὲ καὶ πρὸς τὰς πατρῴας ἀνδραγαθίας, καὶ τὴν τοῦ

mirati sunt eum valde et admirati virtutem tum bellicam tum in universum Romanam: et omnes populi hominum ad hoc obstupuerunt: gens autem Thessalorum celebravit prae omnibus urbis liberationem fecitque deo et magno martyri Demetrio sacra salutis, fecitque etiam ipsi huius famulo Michaeli Botaniatae victricem ex heroicis certaminibus salutationem et gloriam. investigabat autem pugnatorem servata ab eo urbs et studio instituebat eius inventionem: atque investigans cum cura et percursatione multa invenit eum iacentem armato et virili animo, et ferrum digitis tenentem neque ullo modo remittentem, donec multa curatione et artificiosa cognitione reliquit ferrum manus, unguibus manui adstrictis eius furore persecutionis hostium. ipse autem comitatu satellitum et maximis laudationibus et exclamationibus et satellitum clamoribus et laudum sertis coronatus ut heros insuperabilis urbem Cari triumphans intravit iam refectus et omnem Romanorum terram gaudio et hilaritate implevit, sceptro autem imperii praeditus dominus Basilius, respiciens et generis eius splendorem gloriamque, et paternas victorias, atque praesentis facti admiratus incomparabilem magnitudinem filium eum renuntiabat et membrum suum,

παρόντος κατορθώματος ἐκπληττόμενος ἀσύγκριτον ἔπαρσιν, υἱὸν αὐτὸν ἀπεκάλει καὶ μέλος ἴδιον, καὶ τὸ ὄνομα τούτου διὰ γλώττης εἶχε. καὶ ὁρῶν ἐπόθει τοῦτον, καὶ ποθῶν ἐτίμα, καὶ πιστότατον ἅμα καὶ οἰκειότατον καὶ στρατιώτην ἀκαταγώνιστον εἶχε καὶ ἐλογίζετο, καὶ διαλλακτῆρα τῶν μεγίστων καμάτων καὶ πολέμων ἐτίθετο ἀσφαλῆ, ὡς τῇ παρουσίᾳ τούτου φευγόντων τῶν ἐναντίων καὶ νῶτα διδόντων εὐθύς. ὅθεν καὶ σὺν αὐτῷ μὲν καὶ τῷ πατρὶ τὴν κατὰ τῶν Βουλγάρων ἤρατο νίκην, καὶ τῆς Βουλγαρίας δυσκαταμαχήτου καὶ πολλῆς καὶ δυσαλώτου γινωσκομένης παντάπασι, καὶ μηδενὶ τῶν βασιλέων ὑποταγείσης ἐπὶ πολύ, καὶ παρὰ τοῦτο μὴ ἀνιείσης τῇ Βύζαντος τὸ ἀνέσιμον καὶ τὴν χορηγίαν τῶν ἀναγκαίων, λαμπρῶς καὶ σὺν πολλῇ τῇ ἀκμαιότητι ἐκυρίευσε· καὶ κατέστη τῇ Ῥωμαίων βασιλείᾳ πρὸς ἑσπέραν ἐν εὐπραγίᾳ καὶ γαλήνῃ τὰ πράγματα, καὶ ἀντὶ τῆς πρὶν ἐνδείας δαψιλῆ τὴν ἀφθονίαν καὶ τὴν εὐκληρίαν εὐθύμως ἀπείληφεν.

Ἐπὶ δὲ τῆς ἑῴας διακυκωμένων τῶν Ἀβασγῶν καὶ ἀντιδοξούντων τῷ βασιλεῖ καὶ προφανῶς ἀνταιρόντων (ἐθάρρουν γὰρ οὐ τῷ πλήθει μόνον, ἀλλὰ καὶ τοῖς τῶν ὅπλων ἰσχυροτάτοις προβλήμασιν, ὡς μὴ ἑαυτοὺς μόνον ἀλλὰ καὶ τοὺς ἵππους τεθωρακισμένους καὶ ἀτρώτους πανταχόθεν περικαλύπτοντες), πάλιν αὐτὸς ὁ Βοτανειάτης πρωταγωνιστὴς καὶ πρόμαχος ἐγνωρίζετο καὶ τοῦ κρατοῦντος ὑπέρ-

nomenque huius in ore habebat, et videns diligebat hunc et diligens honorabat et fidelisimum simul et deditissimum et militem invictum habebat et iudicabat et arbitrum maximorum laborum bellorumque constituebat certum, quippe cuius praesentia fugerent adversarii et terga darent illico: quare etiam cum eo et patre de Bulgaris reportavit victoriam: et Bulgariae, quae impugnabilis et magna et invicta habebatur omnino neque ulli regi plerumque subiecta erat et praeterea non concedebat Byzantio remissionem et commeatum rerum necessariarum, splendide et multo cum robore dominus est factus, et compositae erant Romanorum imperio versus occidentem in felicitate et tranquillitate res: atque pro priore inopia plenam abundantiam et fortunam bono animo reportaverunt.

In oriente autem excitatis Abasgis et regi adversantibus atque clare resistentibus (confidebant enim non solum multitudini, sed etiam armorum firmissimis praesidiis, utpote non solum se ipsos sed etiam equos loricatos et vulnerum expertes undique tegentes), rursus ipse Botaniates primarum partium defensor et propugnator conspiciebatur, et imperatoris patronus. cum enim rex illo tempore exercitus Roma-

μαχος· τοῦ γὰρ βασιλέως κατ' ἐκεῖνο τὰς Ῥωμαϊκὰς δυνάμεις ἐλάσαντος, καταπληκτικοὶ μὲν ἀγῶνες καὶ μάχαι περιφανεῖς καὶ πανημέριοι συνερράγησαν, οὐδεμιᾶς δὲ τούτων ὁ Βοτανειάτης ἐναπολέλειπτο, ἀλλ' ἠγωνίζετο μὲν ὥσπερ τις ἑκατοντάχειρ καὶ δεύτερος Ἡρακλῆς ἢ ὑπὲρ τὸν Ἡρακλέα ἐκεῖνον τοῖς ἄθλοις ἐπιγαννύμενον (οὐ γὰρ τρισκαιδέκατον f. 218 r. ἆθλον ἀλλ' ἑκατονταπλάσιον ἤνυεν), ἔνθα δὲ κάμνον ἑωρᾶτο καὶ καταπῖπτον κέρας Ῥωμαϊκόν, ἐκεῖσε καταλαμβάνων αὐτὸς ἀνεκτᾶτο τὸ ἀνιώμενον, καὶ θάρσους πληρῶν εὐτολμότερον ἐποίει καὶ νικᾶν παρεσκεύαζε. ταῦτα οὐκ ἐπὶ μιᾶς ἐκστρατείας τῆς κατὰ τῶν Ἀβασγῶν αὐτῷ διηγώνιστο, ἀλλὰ καὶ ἐπὶ δευτέρας. δὶς γὰρ ὁ βασιλεὺς τοῖς Ἀβασγοῖς τὸν πόλεμον ἐπιτέθεικε. καὶ τῇ μὲν πρώτῃ μαχησμὸς ἁπλῶς περιγέγονε καὶ ἧττα τῶν Ἀβασγῶν, οὐ παντελὴς δὲ καταστροφή. τῇ δευτέρᾳ δὲ σφοδρᾶς γενομένης καὶ φιλοτίμου τῆς παρατάξεως οὐδεὶς μὲν Ῥωμαίων θανάτῳ περιπέπτωκεν, ἢ ὅσον εὐαρίθμητοι καὶ τῶν ἀσήμων τινές, τραυματίαι δὲ πολλοὶ κατεφάνησαν, τῶν δ' Ἀβασγῶν φόνος ἀπείριτος γέγονε, τῶν μὲν ἐν τῇ συμβολῇ τοῦ πολέμου θανατωθέντων, τῶν δὲ ἐν τῷ φεύγειν πεσόντων. παντελοῦς γὰρ γενομένης αὐτῶν τροπῆς καὶ διώξεως, ἀκορέστως οἱ Ῥωμαῖοι δίκην ἀγρίων προβάτων τούτους κατέθυον. ὁπότε καὶ ὁ τούτων ἐθνάρχης (Γεώργιος ἡ κλῆσις αὐτῷ) ἐπὶ λόφου ἱστάμενος καὶ τὸ τῶν Ῥωμαίων καταπλαγεὶς σύνταγμα καὶ συγκίνημα, καὶ παρ'

5. an *καὶ ὑπὲρ — ἐπιγαννύμενος*?

nos duceret, formidolosa certamina et pugnae illustres et diurnae conserebantur: in nulla autem harum Botaniates relictus est: sed certabat tanquam centimanus et alter Hercules vel supra Herculem illum certaminibus laetum: neque enim decimum tertium certamen sed centiplex perficiebat. ubi autem laborans conspiciebatur et decidens cornu Romanum ibi accipiens ipse restituebat vexatum, et animo implens fortius reddebat et ad victoriam parabat: haec non in una illa contra Abasgos expeditione ab eo peracta sunt, sed etiam in altera. bis enim rex Abasgis bellum imposuit atque primo quidem pugna simpliciter facta est et clades Abasgorum, neque vero perfecta eversio: altera autem acri facta et studiosa acie nemo Romanorum mortem occubuit, nisi perpauci atque ex infimis, vulnerati autem multi apparuerunt: sed Abasgorum caedes infinita facta est, aliis in concursu belli occisis, aliis in fuga cadentibus: plena enim facta eorum fuga et persecutione, insatiabili modo Romani ovium ferarum instar hos necabant, quando etiam horum centurio (Georgii ei erat nomen) in colle stans et Ro-

ἐλπίδας τὴν ἧτταν τῶν ἰδίων θεώμενος (ἐν χερσὶ γὰρ ἔχειν ἐδόκει τὴν νίκην, καὶ τοῖς ἀμφ' αὐτὸν παρῄνει ζωγρίαν πρὸς αὐτὸν τὸν τῶν Ῥωμαίων βασιλέα κομίσαι καὶ μὴ σιδήρῳ τεμεῖν), ἀμεταστρεπτὶ καὶ αὐτὸς εἰς φυγὴν ὥρμησε, δρομαίῳ καὶ ἀελλόποδι ἵππῳ τὴν ἑαυτοῦ πιστεύσας σωτηριώδη καταφυγήν, τὸν υἱὸν αὐτοῦ Παγκράτιον ἐνέχυρον δοὺς τῷ βασιλεῖ δοῦλον. ἐντεῦθεν τὰ χρηστὰ πάντα τοῖς Ῥωμαίοις κατά τε Ἀσίαν καὶ Εὐρώπην συνήντησεν. ἐντεῦθεν τῷ Βοτανειάτῃ τὸ περιβόητον καὶ περίλαμπρον ὄνομα καὶ ἡ πρὸς τὰ βασίλεια φιλία περιποιεῖται καὶ χάρις ἐπίμονος.

Τί δέ; οὕτως ἔχων εὐκλείας καὶ εὐπραγίας ὁ ἀνήρ, καὶ παρὰ πάντων θαυμαζόμενός τε καὶ δοξαζόμενος καὶ τοῖς ἐξ ἔργων μεγαλουργήμασι σεμνυνόμενος, μέγα φρονῶν ἦν ἐπὶ τοῖς ἑαυτοῦ κατορθώμασι, καὶ ἀλαζονείᾳ κατεπαιρόμενος τῶν πολλῶν, καὶ τοῖς ἀστικοῖς ὡς ἀγοραίοις τισὶ καὶ ἀόπλοις μὴ εὐθύμως καὶ προσηνῶς ὁμιλῶν καὶ συναυλιζόμενος, ἀλλ' ὥσπερ τινὲς τῶν κεκρατημένων τῷ πάθει τῆς κενοδοξίας, ἑαυτὸν ὑπεραίρων καὶ τῷ κόμπῳ τερατευόμενος τὸ ἀνόμοιον, οἷα φιλεῖ τοὺς πολλοὺς ποιεῖν τῶν στρατιωτῶν; οὐ μὲν οὖν οὐδ' εἶδέ τίς ποτε Μιχαὴλ τὸν Βοτανειάτην πολίτου κατεπαιρόμενον, ἢ μυκτῆρα τοῦτόν τινος καταχέοντα, ἢ ἔξω αὐτὸν ποιοῦντα τῆς τῶν πολιτῶν συναυλίας καὶ συμφυΐας, ἢ ἀστειότητος ἀποδέοντα, ἢ καλοκαγαθίας καὶ γαλήνης καὶ μειδιάμα-

9. καὶ om C. 18. κόσ πω C.

manorum stupefactus ordine et motu et praeter opinionem cladem suorum videns (in manibus enim habere sibi videbatur victoriam et suos adhortabatur, ut vivum ad se regem Romanorum ferrent neve ferro interimerent), irretortus et ipse in fugam se proiecit, celeri et procellae pedibus praedito equo suam credens salutis fugam, filiumque Pancratium pignoris loco dans regi servum. inde ab eo tempore bona omnia Romanis in Asia et Europa evenerunt: inde Botaniatae clarum et splendidum nomen amicitia regia et gratia perpetua conciliat.

Quid autem? in tanta versans gloria et felicitate vir et ab omnibus spectatus et celebratus, et factorum magnificentia ornatus, num superbe elatus erat sua fortuna et humilitate supersedebat multitudinis et urbanis ut vilibus inermibusque non bono animo et clementi utebatur et cum iis versabatur, sed, ut quidam affecti gloria inani, se efferebat et vaniloquentia res iactabat incredibiles, ut plerique milites facere solent? nequaquam: neque vidit quisquam unquam Michaelem Botaniatem supra civem se efferentem aut ludibrio quenquam habentem aut se removentem ex civium societate et coniunctione aut ur-

τος μεστοῦ χαρίτων ἑαυτὸν ἀποξενοῦντά ποτε, ὥς εἶναι θαῦμα μέγιστον τοῖς ἀνθρώποις καὶ ἀξιέραστον. ὅσον γὰρ τοῖς στρατιωτικοῖς ἀγῶσιν ἀνύποιστος ἦν καὶ θυμοειδὴς καὶ καταπληκτικὸς τὴν ὁρμήν, τοσοῦτον ἐν ταῖς ἀνέσεσι καὶ ταῖς λεγομέναις ἐκεχειρίαις καὶ ταῖς κατὰ τὴν βασιλίδα διατριβαῖς f. 218 v.
ἡδύτατος καὶ μειλίχιος καὶ φιλόστοργος πρὸς τοὺς Βυζαντίους, καὶ λόγους ἀστείους φιλῶν καὶ τοὺς ἀστεϊζομένους προσοικειούμενος, καὶ ἀπαξιῶν ἑαυτὸν ἑτέρῳ καλεῖσθαι ὀνόματι ἢ τῷ τὴν ἐπωνυμίαν παρέχοντι αὐτῷ ἐκ τῆς πόλεως. διὰ τοῦτο καὶ παρὰ πάντων ἠγαπᾶτο διαφερόντως, καὶ κοινὸν ὄφελος καὶ ἐκαλεῖτο καὶ ἐγινώσκετο, πανδαισία τε καὶ εὐφημία κοινή, στρατιώτης τε ἀπαράμιλλος καὶ πολίτης ἀσύγκριτος. ἦν γὰρ πρὸς τούτοις καὶ μεγέθει διαλάμπων καὶ ὄψει ταπεινώσει τε φρονήματος καὶ συναναστροφῆς κοσμιότητι καὶ μειδιάματος ἱλαρότητι, εἰς ἄκρον δόξης καὶ περιλάμψεως ἑαυτὸν ἀνυψῶν τῇ κοινῇ τοῦ πλήθους εὐλογίᾳ καὶ συντονίᾳ τῆς ἀνυμνήσεως.

Ἐκ δὴ τούτων τῶν ἀρίστων καὶ μεγίστων ἕξεων αὐτοῦ καὶ ἐντεύξεων, καὶ ὧν μετ' αὐτὸν ὁ τούτου ὡραιότατος κλάδος ἔν τε τοῖς στρατιωτικοῖς ἀγωνίσμασι καὶ τροπαίοις καὶ τοῖς πολιτικοῖς διακοσμήμασι καὶ ἀρρήτοις ἐγκαλλωπίσμασι (συγγενῆ γὰρ πάντα καὶ ὁμότροπα καὶ ὁμοφυῆ τῷ πατρὶ ὁ υἱὸς ἐπεδείκνυτο), διπλοῦν τὸ τῆς ἀγάπης καὶ τὸ τῆς ἐρασμιό-

21. post ἐγκαλλ. deest διέλαμπε vel simile verbum.

banitate inferiorem, aut a virtute et hilaritate et risu gratiarum pleno se abalienantem unquam, ita ut esset miraculum maximum hominibus et amabile. quantum enim in militaribus certaminibus irresistibilis erat et animosus et terribilis impetu, tantum in remissione et induciis et commoratione in regia suavissimus et lenis et amans erga Byzantios: et sermones urbanos amabat hominesque urbanos sibi conciliabat, indignumque rebatur se alio vocari nomine atque eo, quod ei ex urbe praebebatur: propterea etiam ab omnibus eximie diligebatur et communis utilitas et vocabatur et cognoscebatur, atque convivium et laus communis, milesque insuperabilis et civis incomparabilis. erat enim praeterea et magnitudine illustris et vultu atque submissioni animi et consuetudinis decore et risus hilaritate ad fastigium gloriae et auctoritatis se tollens communi multitudinis benedictione et consensu celebrationis.

Ex his igitur optimis maximisque proprietatibus eius et sermonibus et ex iis, quae habebat post eum huius maturrima propago et in militaribus certaminibus et tropaeis et civilibus institutis et virtutibus celatis (cognata enim omnia et similia et eiusdem naturae patri filius

τητος τοῖς τῶν ἁπάντων ψυχαῖς ἐγένετο, καὶ παγκόσμιος ἦν πόθος, καὶ μία γλῶσσα τὸ στέφος αὐτῷ τῷ υἱῷ τῆς βασιλείας ἀξίως ἐκ πολλοῦ τοῦ χρόνου ἐπιφημίζουσα. καὶ οἱ μὲν εἰδότες αὐτὸν καὶ ἄκρως ἐξησκημένοι τὴν ἄκραν αὐτοῦ εὐτολμίαν τε καὶ ἀνδρίαν καὶ αὖθις πάλιν τὴν ἀγαθότητα καὶ πλουτοποιίαν καὶ τὸ πρᾶον καὶ τὸ ὁμιλητικὸν καὶ ἀστεῖον καὶ εὔχαρι, ἀφ' ἑαυτῶν εἶχον τὴν μαρτυρίαν, κεχηνότες ἀεὶ καὶ δι' εὐχῆς ποιούμενοι τὸ τῆς βασιλείας τούτῳ περίοπτον κράτος ἔσεσθαι· οἱ δὲ μὴ εἰδότες ἢ πρὸς ὀλίγον γινώσκοντες, ἐξ ἀκοῆς τυγχάνοντες ἐρασταί, οὐχ ἧττον ἐκείνων τὴν ὑπὲρ αὐτοῦ ἐπιθυμίαν καὶ τὴν διάθεσιν ἔτρεφον. ὡς δ' ἡ φήμη τῆς αὐτοῦ ἀναρρήσεως τὴν βασιλίδα κατέλαβε, μετέωροι πάντες γεγόνασι καὶ χαρμονῆς ἐνεπλήσθησαν. καὶ ἦν ἰδεῖν τοὺς ἀνθρώπους πτερὰ περιθεῖναι ἑαυτοῖς, εἰ οἷόν τε ἦν, βουλομένους, καὶ πρὸς αὐτὸν ἀποπτῆναι, καὶ παίδων ἐπιλαθέσθαι καὶ γυναικῶν καὶ αὐτῶν οἰκιῶν. ὃ δὴ καὶ πολλοὶ τῶν ἀστικῶν πεποιήκασιν. ἀλογήσαντες γὰρ καὶ φόβου παντὸς τοῦ τότε κρατοῦντος εἰς τὸ Βυζάντιον καὶ τιμωρίας δι' αἵματος καὶ οὐσιῶν καὶ τῶν τοῦ γένους φιλτάτων καὶ τῶν ἐν μέσῳ τῆς ὁδοῦ κόπων, καὶ μηδὲ τῶν ὁδοσκοπούντων καὶ τῆς ὑπαίθρου κρατούντων Τούρκων τὸ πλῆθος δείσαντες, συχνοὶ καθ' ἑκάστην ἀπηυτομόλουν πρὸς αὐτόν, πρᾶγμα πρὶν γενέσθαι μὴ πιστευόμενον. οὐδέπω γάρ τινά τις εἶδεν ἀπὸ τῆς βασιλευ-

14. εἰ om. C. 15. αὐτὴν ἀποστῆναι C.

declarabat) duplex amor et favor in omnium animis oriebatur: et omni mundo erat desiderium et una erat vox coronam ei filio regni digne ex multo tempore portendens, atque qui eum noverant et valde spectarant eius summam audaciam et fortitudinem rursusque strenuitatem et benignitatem et clementiam et comitatem et urbanitatem et gratiam, ex se habebant testimonium, cupientes semper et precantes, ut regni illustris potentia huic contingeret: ii autem, qui eum non noverant aut parum audiendo eum cognoscentes eum amabant, non minus illis cupidinem et dispositionem erga eum alebant. cum fama eius renuntiationis urbem occupasset, elati omnes fuerunt et gaudio impleti, atque poterat aliquis videre homines alas sibi si fieri posset, circumdare volentes, et ad eum avolare et liberorum oblivisci et uxorum et ipsarum domuum: id quod etiam multi ex urbis incolis fecerunt. neque enim rationem habentes omnis timoris tum in Byzantium dominantis et ultionis sanguine et bonis, et maxime dilectorum, quae sunt in genere, et laborum qui in medio itinere erant subeundi, neque vias custodientium et aperta loca tenentium Turcarum multitudinem metuentes multi quotidie transfugiebant ad eum, quae quidem

οὔσης εἰς ἐπαρχίαν προσρυέντα τινὶ ἀντάραντι, καὶ τότε ὅτε μηδὲ πολέμιοι τὴν πᾶσαν χώραν κατεῖχον καὶ ταῖς ὁδοῖς ἁπάσαις ἐφήδρευον, μᾶλλον δὲ ἀπ' ἐκείνων εἰς τοὺς κατὰ τὴν βασιλίδα κρατοῦντας πολλοὺς εἰσρέοντας. νῦν δὲ ἄνω ποταμοὶ τὸ πρᾶγμα κεχώρηκε. τοῦ χάριν; ὅτι τοὺς μὲν κρατοῦντας τυράννους ἔγνων οἱ ἄνθρωποι καὶ ἀδίκως καὶ ἀφελῶς τὴν βασιλείαν ἰθύνοντας, τὸν δ' ἐκτὸς ἀρετῇ διαλάμποντα, καὶ ἀληθείᾳ καὶ πραότητι καὶ δικαιοσύνῃ κατακοσμούμενον, f. 219 r. καὶ ἱκανὸν βασιλείας κράτος ἐν καιροῖς ἀνωμάλοις ἀσφαλῶς διακυβερνῆσαι, κράτος τῇ τῶν κρατούντων κακονοίᾳ πρὸς ὄλισθον οὐ μικρὸν καὶ βάραθρον ἀπωλείας ἤδη συννεῦον καὶ ἀνωθούμενον. τῶν τοίνυν ἀνθρώπων οὕτως ἐχόντων γνώμης καὶ προαιρέσεως, συνεπεψηφίζετο καὶ θεὸς ἄνωθεν, καὶ δεξιὰ πάντα τούτῳ καὶ πρὸ τῆς ἐπιδημίας θαυμαστὰ διετίθετο, ὡς καὶ αὐτὴν τὴν μητέρα καὶ τοὺς συγγενεῖς ἅπαντας τοῦ κρατοῦντος ἐκείνῳ τὴν βασιλείαν ἐπιτρέπειν συγκατατίθεσθαι, καὶ διαπέμπεσθαι πρὸς αὐτόν, καὶ τὰ ἐπιβατήρια ψάλλειν αὐτῷ καὶ διαδονεῖν μετὰ τῆς λοιπῆς τῶν πολιτῶν ὁμηγύρεως. τὸ δὲ δὴ κρεῖττον καὶ λόγου παντὸς ὑψηλότερον ἢ παραδοξότερον, ὅτι περ οἱ Τοῦρκοι, τῆς ἀνατολῆς πάσης κυριεύσαντες ἤδη, τοῖς αὐτομολοῦσι πρὸς τὸν Βοτανειάτην πολίταις ἅμα καὶ ἀγροίκοις ἐμποδὼν οὐ καθίσταντο· ἀλλά τινὲς μὲν

4. ποταμῷ C.

res, antequam facta est, non credebatur: nondum enim quenquam quisquam viderat ex urbe in provinciam affluentem alicui seditionem moventi: atque tum, cum ne hostes quidem omnem terram tenerent et viis omnibus insiderent, magis ab illis ad dominantes in urbem multos affluentes: nunc autem adverso flumine res recessit. quare? quia imperantes tyrannos esse cognoverant homines et iniuste et parce regnum gubernare, eum autem, qui extrinsecus erat, virtute lucere et veritate et clementia et iustitia ornatum esse et aptum ad regni potentiam tempestate incerta tuto gubernandam, potentiam imperantium imprudentia ad periculum non parvum et voraginem iacturae iam inflexam et pressam. cum igitur homines hanc haberent sententiam et voluntatem, assensum dabat etiam deus superne et dextra omnia huic et ante adventum admirabilia constituebat, ita ut et ipsa mater et cognati omnes imperantis illi regnum advertere convenirent, et nuntios mitterent ad eum et adventus carmina fidibus canerent ei et creparent cum reliquo civium conventu. maius autem erat et sermone omni altius vel magis inexspectatum, quod Turcae orientis omnis domini iam facti transfugientibus ad Botaniaten civibus simul et agricolis impedimento non erant, sed nonnulli divina vi hostes latebant, plures autem incidebant qui-

ἀοράτῳ δυνάμει τοὺς πολεμίους ἐλάνθανον, οἱ δὲ πλείους ἐνέπιπτον μὲν αὐτοῖς, πρὸς δὲ τὸν νῦν βασιλέα μανθάνοντες αὐτοὺς κατεπείγεσθαι συνεχώρουν αὐτοῖς καὶ ἀβλαβεῖς διετίθουν, ἀβλαβῶς καὶ φιλίως πρὸς τὴν αὐτοῦ βασιλείαν καὶ προσηγορίαν παρὰ πᾶσαν ἀνθρωπίνην ὑπόνοιαν διακείμενοι.

Καὶ ἡ μὲν Κωνσταντινούπολις καὶ οἱ τῶν ἐκτὸς ἐπιεικέστεροι οὕτω κραδαινομένας εἶχον τὰς οἰκείας ψυχὰς καὶ συννενευκυίας πρὸς τὴν αὐτοῦ ἐπικράτειαν· ὁ δὲ βασιλεὺς οὐδὲν τῶν θείων κριμάτων καὶ δοξοποιῶν εἰς νοῦν βαλλόμενος οὔτε τῶν κακίστων ἀπείχετο πράξεων, καὶ μήτε τὸ τοῦ ἀνδρὸς ἀξίωμα καὶ τὴν ἐκ ἔργων ἰσχὺν καὶ τὴν ἄκραν εὐγένειαν αἰδούμενος ἦν, καὶ ἐννοῶν κοινωνὸν τῆς βασιλείας λαβεῖν καὶ τοὺς θύραθεν πολεμίους κατατροπώσασθαι δι' αὐτοῦ, καὶ τοῖς ὑπηκόοις τὴν ἐλευθερίαν περιποιήσασθαι, ἀλλὰ τῶν Τούρκων ὡς οἰκειοτάτων καὶ φιλίων ἀντιποιούμενος διεπέμπετο πρὸς αὐτούς, καὶ δώροις ἀμέτροις καὶ παντοδαπαῖς ὑποσχέσεσι διηρεθίζετο κατ' αὐτοῦ, ὥστε παντὶ σθένει καὶ μηχανῇ καταγωνίσασθαι τοῦτον, καὶ ἢ μαχαίρας ἔργον ποιήσασθαι εἴτ' αἰχμάλωτον θέσθαι καὶ ὤνιον τοῖς μισοῦσιν αὐτόν. ἀλλ' οὐκ ἦν πρὸς θεοῦ τὸ τηλικοῦτον ἄνδρα, τοῖς κρείττοσιν ἔργοις κεκοσμημένον ἐπιεικῶς, τοῖς ζητοῦσιν αὐτὸν ἐπιθυμίας ἀδίκου παραστῆσαι ὑπόθεσιν. διὰ τοῦτο καὶ ταῖς μὲν ὑποσχέσεσι τοῦ βασιλέως ἐθέλγοντο καὶ παρεκινοῦντο οἱ Τοῦρκοι, ἢ

4. an εὐλαβῶς?

dem in eos, sed cum audirent eos ad eum, qui nunc est rex, contendere, concedebant hoc iis et incolumes disponebant, innocenter et amice erga eius regnum et nomen praeter omnem hominum opinionem dispositi.

Atque Constantinopolis quidem et inter externos qui magis strenui erant ita permotos habebant animos et adnuentes ad eius imperium. sed rex nihil divina iudicia et sententias animadvertens non abstinebat pessimis actionibus: neque viri dignitatem et robur, quod factis consistebat, et summam nobilitatem verebatur neque socium eum regni accipere et externos hostes pellere per eum, et subiectis libertatem conciliare, sed Turcis ut familiarissimis et amicis studens mittebat legatos ad eos et donis immodicis et variis promissis eos excitabat contra illum, ut omni vi et arte hunc debellarent atque aut gladii opus eum redderent aut captivum facerent et vilem iis, qui eum odissent. sed non erat dei, talem virum melioribus factis satis ornatum iis qui eum quaererent, constituere argumentum cupiditatis iniustae: propterea etiam promissis quidem regis mulcebantur et moveban-

δὲ θεία ἀντίληψις ἄλλως αὐτοῖς διετίθει τὴν ἔκβασιν· προσήρχοντο γὰρ μᾶλλον τῷ Βοτανειάτῃ, καὶ τὴν δούλωσιν ἐπηγγέλλοντο, καὶ συμμαχεῖν ὑπισχνοῦντο, καὶ τῇ μοίρᾳ τούτου συνέταττον ἑαυτούς. ὅσοι δὲ πρὸς ἀντικαταστάσεις καὶ μάχας ἐτράποντο, παρ' αὐτοῦ καὶ τῶν ἰδίων στρατιωτῶν ἐξόχως ἡττώμενοι πολλοὺς μὲν τῶν οἰκείων ἀπέβαλον, ἄλλοι δὲ φόβῳ βληθέντες φυγῇ τὴν σωτηρίαν αὐτῶν ἐπραγματεύοντο. πολλοὶ δὲ τῶν Ῥωμαίων ἀντικαστῆναι τούτῳ θελήσαντες αὐτοῖς φρουρίοις ἑάλωσαν.

Τρίτην δὲ ἄγοντος τοῦ ὀκτωβρίου μηνός, καὶ μέλλοντος f. 219 v. τοῦ Βοτανειάτου τὴν βασιλικὴν ἐπιστῆσαι σκηνήν, καὶ ταύτης σκηνοπηγίαν προτρεψαμένου γενέσθαι διὰ τὴν ἔξοδον καὶ τὴν εἰς τὴν βασιλεύουσαν πρόοδον (ἐν πεποιθήσει γὰρ ἦν ὡς δρομαίως τῆς βασιλευούσης βασιλικῶς ἐπιβήσεται), θαῦμά τι καὶ τέρας ἐξαίσιον ἐν ὀφθαλμοῖς καθωράθη πάντων. αὖλον γὰρ πῦρ, ὡς ἀπὸ πηγῆς ἀναβλύζον καὶ πρὸς ἀέρα χεόμενον, πρὸς τὴν ἑώαν κατεφάνη περὶ πρώτας νυκτὸς φυλακάς. καὶ ἦν ὁ ἀὴρ φλογὸς καθαρᾶς πεπλησμένος, καὶ φέρων τὸ τοῦ πυρὸς ῥεῦμα μέχρι Χαλκηδόνος καὶ Χρυσοπόλεως καταπληκτικὸν καὶ λίαν ὑπερφυές· οὐδέπω γὰρ οὐδεὶς εἶδε πῦρ αὖλον ἐπὶ γῆς ὡς ἀπὸ πηγῆς ἀναβλύζον καὶ τὸ περιέχον ἅπαν ἐκπυροῦν καὶ ἀποσπινθηρίζον οὐχ ἥκιστα. ἀπὸ δὲ Χρυσοπόλεως τὸν τοῦ στενοῦ πορθμὸν ὑπερβεβηκὸς πῇ μὲν τὰ ἐν

οἶδε C.

turque Turcae, divinum autem praesidium aliter iis disponebat exitum. accedebant enim magis Botaniatae et servitutem promittebant et societatem pugnae pollicebantur et huius parti se adiungebant. quicunque autem ad aciem et pugnas se vertebant, ab eo et suis ipsorum militibus eximié devicti multos suorum amiserunt: alii autem metu icti fuga salutem suam curabant: multi autem Romani resistere huic volentes cum ipsis castellis capti sunt.

Tertium autem diem agente Octobri mense cum Botaniates regium ascendere vellet tentorium et huius confectionem imperasset propter exitum et prosecutionem ad regiam (confidebat enim se celeriter regiam regio modo ingressurum esse), miraculum et prodigium ingens oculis conspiciebatur omnium: materiae enim expers ignis quasi ex fonte prosiliens et in aëra effusus versus orientem apparuit circa primas noctis vigilias: atque erat aër flamma pura impletus et ferebat ignis amnem usque ad Chalcedonem et Chrysopolin terribilem et valde ingentem: nondum enim quisquam viderat ignem materiae expertem in terra quasi ex fonte prosilientem, et omnia quae circa erant incendentem atque igniculos evomentem non minime. a Chrysopoli

Βλαχέρναις ἀνάκτορα περιέλαβε, πῇ δὲ τὴν ἄλλην ἀρκτικὴν ἐπιφάνειαν, καὶ περιεσώθη μέχρι πολλοῦ, πᾶσιν ἀναφανδὸν ἐπικηρυκευόμενον παρουσίαν ἐκ τῆς ἑώας μεγάλης δυνάμεως· οἱ δ' ἐπιστημονικώτεροι τῶν θεωμένων, καὶ συμβολικῶς τὸ δέον ἐπιγινώσκοντες, ἀπὸ λάμπης λαμπτῆρα φωσφόρον ἐπιδημῆσαι τοῖς βασιλείοις προεσήμαινον, ὥστε χρηματίσαι τοῖς μὲν ἀγαθοῖς καὶ τὰ ὑπὲρ αὐτοῦ φρονοῦσι φῶς καὶ θυμηδίαν καὶ χαρὰν ἀνεκλάλητον, τοῖς δὲ κατ' αὐτοῦ μελετῶσι καὶ ἀντιταττομένοις αὐτῷ φλόγα τῷ ὄντι πυρὸς κατατήκουσαν τούτους καὶ κατακαίουσαν. καί γε τῆς συμβολικῆς πορρήσεως οὐ διήμαρτον· δηλώσει δὲ προϊὼν ὁ λόγος.

Τοῦ δὲ ὀκτωβρίου μηνὸς παρεληλυθότος ἀποστατική τις κακόνοια τὴν ἑσπέραν αἰφνιδίως περιεδόνησεν. εἰς γὰρ Ἐπίδαμνον, τὸ νῦν κεκλημένον Δυρράχιον, τὴν δουκικὴν ἔχων ἀρχὴν Νικηφόρος πρόεδρος ὁ Βρυέννιος, καὶ ταύτης παραλυθείς, βασιλέως ἑαυτῷ περιέθηκεν ὄνομα, καὶ τοῖς ἐκεῖσε στρατιώταις καὶ ὀπαδοῖς καὶ συστρατιώταις χρησάμενος ἔξεισιν ἐκεῖθεν πρὸς Ἀδριανούπολιν. ὁ τούτου αὐτάδελφος, Ἰωάννης ὀνομαζόμενος, τινὰς τῶν ἑσπερίων δυνάμεων εἰς τὴν ἰδίαν ἐπιβουλὴν καταρτίσας, μεθ' ὧν ἦσαν Βαράγγων καὶ Φράγγων πλήθη πολλά, τῷ αὐταδέλφῳ συνθέσθαι παρέπεισε, σὺν αὐτοῖς δὲ καὶ τὸν κατεπάνω τῆς αὐτῆς πόλεως, συγγενέα

5. λαπτῆρα C. 18. ὁ] ἔνθα ὁ?

autem angustiarum fretum transgressus hic Blachernarum templum corripuit, illic reliquam borealem superficiem et conservatus est diu omnibus clare nuntians adventum ex oriente magni exercitus. qui accuratius intelligebant, quae viderant, et ex signo necessarium cognoscebant, ex squalore facem lucentem in regiam adventuram divinabant, ut fieret bonis et de eo cogitantibus lux et hilaritas et gaudium inenarrabile, iis autem, qui contra eum meditarentur et opponerentur ei, flamma revera ignis liquefaciens hos et conflagrans. atque profecto in symbolica praedictione non erraruni: quod declarabit oratio procedens.

Cum autem October mensis praeteriisset, seditionis quaedam imprudentia occidentem repente concussit. Epidamni enim, quod nunc vocatur Dyrrhachium, ducis imperium habens Nicephorus praeses Bryennius atque hoc solutus, regis sibi imposuit nomen, et ibi versantibus militibus et comitibus et sociis usus egreditur inde Adrianopolin: huius frater, Ioannes dictus, occidentales quosdam exercitus ad suum consilium instruens, inter quos erant Barangorum et Frangorum copiae permultae, iis, ut fratri accederent, persuasit, cumque iis etiam praefecto eiusdem urbis, qui cognatus huius et contribulis erat: et

τούτου καὶ συμφυλέτην ὑπάρχοντα. καὶ πρὸ τοῦ καταλαβεῖν εἰς Ἀδριανούπολιν τὴν εὐφημίαν αὐτῷ καὶ τὴν βασιλείαν προδιεγράψαντο, ἀνοήτως πάντως καὶ πάσης ἀσφαλοῦς παρατηρήσεως ἄνευθεν. ἦ γὰρ ἄν, εἰ μὴ καὶ οἱ κρατοῦντες ἐν Βυζαντίῳ ἀνοητότεροι ὑπῆρχον, ταχέως ἂν παρελύθη καὶ κατεπολεμήθη τὰ τῆς τοιαύτης ἐπιβουλῆς. αἱ γὰρ ἄλλαι Θρακῷαι πόλεις καὶ Μακεδονικαὶ πλὴν τινῶν συνετήρουν ἔτι τοῦ πάθους αὐτὰς ἔξω, καὶ παρὰ βασιλέως ἐπαγγελίας ἐγγράφους καὶ παραγγελίας προσέμενον ἐπὶ καταστροφῇ τῶν ἀποστατῶν, διὰ τὸ καὶ τὸν Βρυέννιον ἔτι μακρόθεν καθεστάναι τῆς τοῦ Ἀδριανοῦ. ἦν δὲ τῷ βασιλεῖ καὶ στρατὸς ἰδιαίτατος, ἀπὸ συγκλύδων ἀνδρῶν ἀθροισθείς, καὶ τῇ γυμνασίᾳ προσλαβὼν f. 220 r. τὸ εὐδόκιμον, οὓς καὶ ἀθανάτους ὁ βασιλεὺς οὗτος ὠνόμασε. καὶ διὰ πάντων εὐχερῶς εἶχεν ἐπιθέσθαι τοῖς γε ἐν τῇ Ἀδριανουπόλει χωρὶς τοῦ προσδοκωμένου ἡγεμόνος καθυλακτοῦσι, καὶ ἢ τρέψασθαι τούτους, καὶ εἰς ἀσφάλειαν ἑαυτῷ περιστῆσαι τὰ πράγματα, ἢ τάς γε λοιπὰς πόλεις εἰς τὴν ἑαυτοῦ κατοχυρώσασθαι πίστιν, καὶ ἀντίξουν ἔχειν ἐν τῇ ἑσπέρᾳ κατὰ τῶν ἐναντίων βοήθημα. ὃ δὲ ἀνοίᾳ καὶ ἀμελείᾳ καὶ τὸ κατασκευαζόμενον διὰ πολλῶν ἡμερῶν ἐγγύθεν αὐτοῦ ἠγνόησεν ἀπειροκάλως σκαιώρημα (τριῶν γὰρ ἡμερῶν οὐ πόρρω τῆς πόλεως ἡ Ἀδριανούπολις ἀπέχει διάστημα), καὶ μετὰ τὸ γνῶναι ἀναπεπταμένως καὶ μετ' εὐθείας διατεθεὶς τοὺς ἐναντίους ἰσχυροὺς ἀπειργάσατο, ὡς εἶναι τὰ πλείω τῶν τοὺς

3. ἀσφαλῶς C.

antequam Adrianopolin veniret salutationem ei et regnum decreverunt, imprudenter omnino et sine omni tuta cautione: profecto enim, nisi etiam imperatores Byzantii magis imprudentes fuissent, celeriter sublatum debellatumque esset tale consilium. ceterae enim Thracum et Macedonum urbes paucis exceptis servabant se etiamtum perturbationis expertes, et a rege iussa stripta et mandata exspectabant ad eversionem apostatarum, quia etiam Bryennius etiamtum longe abesset ab Adrianopoli. erat autem regi etiam exercitus proprius ex advenis hominibus coactus et exercitatione accipiens auctoritatem, quos etiam immortales rex hic nominavit, atque omnino expeditum ei erat, aggredi illos Adrianopoli sine duce exspectato latrantes et aut in fugam vertere hos et tutum sibi constituere imperium, aut ceteras quidem urbes in sua fide firmare et oppositum habere in occidente contra adversarios auxilium. ille autem imprudentia et negligentia etiam praeparatas per multos dies prope se ignoravit turpiter insidias: dierum enim trium non amplius ab urbe Adrianopolis abest intervallo: atque postquam rem cognovit, dissolute et

ἐχθροὺς ἐπαιρόντων καὶ μεγαλυνόντων εἰς ὕψος ἐξ ἀμελείας καὶ ὑστερήσεως τῶν ἀντιτεταγμένων αὐτοῖς, καθὰ προδιείληπται. εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, δι' ἑτέρων καμάτων καὶ ἀντιπαρατάξεων ἑτέρων τὴν βασιλείαν ὁ παντέφορος ὀφθαλμὸς ἀξίῳ ταύτης ἐπραγματεύετο.

Ἔγωγε οὖν ἐν τῇ Ῥαιδεστῷ τηνικαῦτα παρατυχών, ἐπίσκεψιν ἐκεῖσε καταλαβὼν τῶν κτημάτων μου, τὰς μὲν γινομένας φήμιας ἀκοῇ παρελάμβανον, ἠπίστουν δὲ τοῖς λεγομένοις, ὅτι διὰ πολλῶν ἡμερῶν ἐφημίζοντο, συμβάλλων καθ' ἑαυτὸν ὅτι, ἐπείπερ ἡ Ῥαιδεστὸς τοσοῦτον ἀπέχει διάστημα τῆς Ἀδριανουπόλεως ὅσον ταύτης ἡ μεγαλόπολις, πάντως ἄν, εἰ ἀληθὲς ἐτύγχανε τὸ θρυλλούμενον, ἐμεμαθήκει ἂν ὁ βασιλεὺς τοῦτο καὶ ταχέως ἐποιήσατο τὴν διόρθωσιν, πανταχοῦ γραμμάτων βασιλικῶν ἐπιφοιτώντων ταῖς πόλεσι. καὶ κατὰ τοῦτο ἔμεναν ἀτρεμής, εἶτα καὶ θαρρῶν τῇ πίστει τῶν ἐν τῇ Ῥαιδεστῷ πολιτῶν ὡς φυλαττούσῃ τοῖς βασιλεῦσι τὰ τῆς εὐγνωμοσύνης ἐνέχυρα. ἔλαθον δὲ περιπεσὼν ἀπροόπτως διὰ τῶν εἰκότων συλλογισμῶν, μικροῦ δεῖν, μεγίστῳ τινὶ παραπτώματι. γυνὴ γάρ τις ἐν τῇ Ῥαιδεστῷ τὰ πρῶτα φέρειν κατὰ πάντων σπουδάζουσα, συγγένειαν ἐκ τοῦ ἀνδρὸς πρὸς τὸν Βρυέννιον τοῦτον συνάπτουσα, λαθραίως πολλοὺς ὑπέσυρε τῶν Ῥαιδεστηνῶν, δώροις τούτους καὶ ὑποσχέσεσιν ὡς ἑαυτὴν μεταθέσθαι συμπείσασα καὶ συνωμοσίαν ἐξ ἰδιοχει-

15. κατατουτ . . ἔμενεν C 17. ἔλαθε C. 19. γυγὴ C.

stulte dispositus adversarios validos reddidit, ut plerique hostes efferrent et in altum tollerent propter negligentiam et tarditatem sibi oppositorum, ut antea demonstratum est: vel si oportet verum dicere, aliis laboribus et pugnis alii regnum omnia spectans oculus digno eo curabat.

Equidem Raedesti tum versabar, quaestionem ibi instituens possessionum mearum: rumores quidem audiendo accipiebam: diffidebam autem dictis, quia per multos dies divulgabantur, reputans mecum, quandoquidem Raedestus tanto intervallo abest ab Adrianopoli, quanto ab hac urbs capitalis, omnino, si verus fuisset rumor, auditurum fuisse regem eum et celeriter correctionem instituturum: ubique literis regiis allatis urbibus. et ideo manebam intrepidus: deinde etiam fretus fide civium Raedesti ut quae servaret regibus pietatis pignora. nescivi autem me improviso incidisse opinionis ratiocinationibus paene in maximum casum. mulier enim quaedam Raedesti primas agere inter omnes studens, affinitate e coniuge cum Bryennio hoc coniuncta, clam multos subornabat Raedestanos, donis his et promissis, ut ad se transirent persuadens,

ρων καὶ ὅρκων συστήσασθαι. ὅτε δὲ τὸ ἔργον τῆς συνωμοσίας ἐπλήρωσε, καὶ εἰς τὸ αὔριον ἀναγορεῦσαι τὸν Βρυέννιον τὰ τῶν συναραμένων αὐτῇ διεσκέψαντο, εἷς τούτων χάριτας ἐκ τινῶν προηγησαμένων χρηστῶν ὁμολογεῖν ἔχων μοι προσῆλθεν ἀωρὶ τῶν νυκτῶν, καὶ τὴν ἐπιβουλὴν ὑπεσήμανεν. αὐτὸς δὲ πολλὰ δυσχεράνας, καὶ πολὺν ὀνειδισμὸν τούτων καὶ μυκτῆρα καταχεάμενος ὡς καταπροδόντων τὴν ἑαυτῶν σωτηρίαν καὶ τὸ τῆς πίστεως σύμβολον, ἀνυπονοήτως μὲν αὐτὸν καὶ μετ' ἐπιεικείας ἀπεπεμψάμην, μελετήσας δὲ παραυτίκα τὴν πόλιν ταύτην καὶ τὴν ἐπιβουλὴν ἐκφυγεῖν, ὥρμησα μέν, ὡς εἶχον ἡμιόνων καὶ ἵππων καὶ ἀνθρώπων καὶ τῆς ἄλλης παρασκευῆς, ἐκ ταύτης ἀποφοιτῆσαι σπουδαίως κατὰ τὸ λεληθός, οὐ μὴν ἠδυνήθην διὰ τὸ προκατασφαλισθῆναι τὰς πύλας τῆς πόλεως μοχλοῖς σιδηροῖς καὶ ὁπλίταις παρὰ τῆς τοῦ Βατάτζη γυναικός, ἣν ὁ ἀνωτέρω λόγος ἐδήλωσεν, ἕως f. 220 v. δι' ἀπειλῶν πολλῶν καὶ μηνυμάτων κατασείσας αὐτήν, ὅτι πρὸς πόλεμον αὐτῇ συρραγήσομαι, τῆς ἡμέρας ἐπιφοιτώσης συνεχωρήθην τὴν ἔξοδον, τὸ ἄδηλον φοβηθείσης μετὰ τῶν ταύτης υἱέων τῆς τοῦ πολέμου ἐκβάσεως. ἐξῆλθον οὖν ἐκεῖθεν, καὶ τῆς εἰς τὴν βασιλίδα φερούσης ἁψάμενος πάντα τὰ ἔμπροσθεν εὗρον γαλήνης μεστά, καὶ τοὺς τοῦ βασιλέως στρατιώτας διεσκεδασμένους εἰς παραχειμασίαν ταῖς ἄλλαις πόλεσι καὶ μηδένα κυδοιμὸν ὑποπτεύοντας. σπουδαίως οὖν

et coniurationem propriis subscriptionibus et iuribusiurandis coniungerent: quando autem opus coniurationis implevit et qui ab eius parte stabant in posterum diem renuntiare Bryennium statuerunt, unus ex his, qui gratias pro quibusdam prioribus meritis habere mihi debebat, venit ad me intempesta nocte et consilium significabat, ipse valde indignans et multa opprobria in hos et despicientiam iaciens ut in prodentes salutem suam et fidei pactum: sine suspicione eum et clementer dimisi; meditatus autem statim urbem hanc et insidias effugere, profectus sum ita ut eram cum mulis et equis et hominibus et ceteris impedimentis, ut ex hac venirem studiose clam. neque vero poteram, quia praeclusae erant portae urbis obicibus ferreis et per milites gravis armaturae a Batatzi uxore, quam superior sermo commemoravit, donec minis multis et declarationibus concutiens eam, cum dicerem me bellum cum ea conserturum esse, die illucescente exitum impetravi: cum incertum ea timeret cum filiis belli eventum. egressus igitur sum inde et viam quae ad urbem fert tenens omnia priora inveni tranquillitate plena, et regis milites dispersos in hiberna ad alias urbes, neque ullam turbam suspicantes: studiose ergo ingressus

εἰσελθὼν εἰς τὴν βασιλεύουσαν, πρὸ τοῦ τὴν ἰδίαν οἰκίαν καταλαβεῖν παρῆλθον εἰς τὰ βασίλεια, καὶ τῷ λογοθέτῃ Νικηφόρῳ πρὸς λόγους ἐλθὼν πάντα τὰ συνενεχθέντα προσήγγειλα, καὶ τὸ ποιητέον αὐτῷ συνεβούλευσα, καὶ ὡς ὅτι τάχιστα χρὴ τήν τε Ῥαιδεστὸν χρυσοβούλλῳ λόγῳ κατακοιμίσαι καὶ φιλανθρώποις δεξιώσεσιν οἰκειώσασθαι, καὶ τὰς ἄλλας πόλεις ὡσαύτως, καὶ τὸ στρατιωτικὸν ἐς ταὐτὸν συναθροῖσαι, καὶ παραλῦσαι τὴν τῶν πλείστων πρὸς τὸν ἀποστάτην συνάθροισιν· ἀπῆν γὰρ ἔτι τῆς Ἀδριανουπόλεως οὐ μικρὸν ἄποθεν, ὅτε καὶ τῷ Βασιλάκῃ, τῷ ἀποσταλέντι μετ' αὐτὸν δουκὶ Δυρραχίου, παρατυχὼν ἐντὸς τοῦ ἄστεος τῆς Θεσσαλονίκης περὶ τῆς ἀρχῆς ἠμφισβήτησε· καὶ εἴπερ δεξιῶς τοῖς πράγμασιν ὁ Βασιλάκιος τῷ τότε ἐχρήσατο, κατεπολέμησεν ἂν τοῦτον ἐν ἀρχῇ τῆς ἀποστάσεως σαλεύοντα. ὁ δὲ λογοθέτης ἐν μειδιάματι ποιούμενος τὰ παρ' ἐμοῦ τούτῳ μετὰ σπουδῆς εἰσηγούμενα, μετεωρισμοῖς τισὶ καὶ ἀναβολαῖς τὰ μηδὲ μικρᾶς ὑπερθέσεως δεόμενα παραδέδωκεν, ἕως τοῦ πάθους φλεγμαίνοντος τὴν ἰατρείαν ἐπεχείρησε μέν, ἔγνω δὲ μάτην παρακινῶν τὰ ἀκίνητα. καὶ τότε πάλιν ᾐσθόμην ὡς καλῷ τὸ κακὸν ἰᾶσθαι ὀλίγοι τῶν ἐν ἡμῖν ἀνθρώπων δεδύνηνται.

Καταλαβὼν οὖν εἰς Τραϊανούπολιν ὁ Βρυέννιος συνηντήθη παρὰ τοῦ ἀδελφοῦ καὶ τῶν συνηραμένων αὐτῷ Φράγγων καὶ Μακεδονικῶν παρατάξεων. παρήχθησαν δ' αὐτῷ καὶ

urbem antequam meam domum assequutus sum, accessi ad regiam, et cum logotheta Nicephoro collocutus omnia quae gesta erant nuntiavi, quidve faciendum esset ei persuasi, atque quam celerrime oportere Raedestum imperatoria oratione demulcere et humanis allocutionibus conciliare, atque ceteras urbes item, et exercitum in unum locum cogere et dissolvere plurimorum ad apostatam conventum: aberat enim etiamtum ab Adrianopoli non paulum, quando etiam cum Basilace, qui ad eum missus erat, duci Dyrrhachii conveniens intra urbem Thessalonicen de imperio egit: atque si dextre rebus Basilacius tum usus esset, debellasset hunc in principio seditionis sibi non constantem. sed logotheta risu excipiens quae a me huic studiose narrabantur, levitati et dilatationi ea, quae ne minimam quidem cunctationem paterentur, tradidit, donec malo flagrante medicinam experiretur quidem, sed intelligeret se frustra movere quae moveri non poterant: atque tum rursus sensi, paucos hodiernorum hominum valere malum pulchro fanare.

Assecutus ergo Trianopolin Bryennius occurrit ordinibus fratris et qui cum eo surrexerant Frangorum et Macedonum: allata sunt ei

τὰ τῆς βασιλείας παράσημα, οἵ τε ἵπποι μετὰ τῶν δίφρων καὶ τὰ ἐρυθρὰ καὶ βασίλεια πέδιλα. καὶ κατασφαλισάμενος πάντας ὅρκοις καὶ συνθήκαις συχναῖς, μὴ ἂν ἀθετῆσαι τοῦτον ἄχρι καὶ τελευταίας πνοῆς, οὕτω τὴν ἁλουργίδα μετ' εὐφημίας καὶ δορυφορίας ἀπειλήφει πολλῆς, καὶ τοὺς πόδας τοῖς ἐρυθροῖς μεταμείψας πεδίλοις καὶ εἰς αὐτοβαφὲς ἐπαναβὰς ὄχημα μετὰ πολλῆς ἀγερωχίας καὶ φρονηματισμοῦ καὶ τῆς τοῦ στρατοῦ βοῆς καὶ ἠχῆς εἰς Ἀδριανούπολιν ᾤχετο, ἄρτι τοῦ νοεμβρίου μηνὸς ἐπιστάντος, ὅτε κατηφὴς ὁ ἀὴρ ἐκ τῆς τοῦ μεγάλου φωστῆρος ὑποχωρήσεως, πρὸς τὸ ταυρικὸν ζώδιον ἀπιόντος, καὶ στυγνὸς καταφαίνεται. αἰχμάλωτος δὲ τηνικαῦτα ληφθεὶς ὁ πρόεδρος Κωνσταντῖνος ὁ Θεοδωροκάνος, ἀνὴρ ἔνδοξος καὶ γένους ἐπισημότητι καὶ βίου λαμπρότητι καταφανὴς καταγινωσκόμενος, οὐ καλῶς μὲν οὐδὲ δικαίως παρ' αὐτοῦ προσεδέχθη καὶ ὡς εἷς τῶν ἀγενῶν παρωράθη, οὐ μὴν δὲ σωματικὴν τιμωρίαν ὑπέστη, καίτοι γε ταύτην ὑποπτεύων διὰ προηγησαμένας ἔχθρας καὶ μάχας κεφαλικάς. φυγαδευθεὶς δὲ πρός τινα τῶν Μακεδονικῶν πόλεων f. 221 r. μετ' οὐ πολὺ τῷ χρεὼν ἐλειτούργησεν· εἴτε φυσικῷ θανάτῳ εἴτ' ἐξ ἐπιβουλῆς κερασθέντος, οὐδεὶς ἀκριβῶς ἐπίσταται.

Ἐν δὲ τῷ μέλλειν εἰσελάσαι τὸν Βρυέννιον εἰς Ἀδριανούπολιν πᾶσα σχεδὸν ἡ πόλις τὴν προεκκειμένην περίχωρον κατελάμβανε, καὶ ἦν τὸ πλῆθος ἀγεληδὸν διακεχυμένον εἰς τὸ

etiam regni insignia, equi cum curru et rubra regiaque sandala: et postquam confirmavit omnes iureiurando et pactionibus multis, ne proderent eum usque ad ultimum spiritum, sic purpuram cum salutatione et comitatu accepit multo, et pedes rubris distinguens sandalis et tinctum ascendens currum cum multa superbia et arrogantia et exercitus clamore et exclamatione Adrianopolin profectus est, cum maxime November mensis instaret, quando caecus aer propter recessum magni luminis ad tauri signum abeuntis et obscurus apparet. captivus autem tum factus praeses Constantinus Theodorocanus, vir clarus et generis splendore et vitae claritate illustris spectatus, non pulchre quidem et iuste ab eo exceptus est et unus ex ignobilibus est neglectus, sed corporis poenam non subiit, licet hanc suspicatus propter priores inimicitias et pugnas capitales, expulsus autem ad quandam Macedonum urbem non multo post necessitatem sustinuit, quae num morte naturali an insidiis ei parata fuerit, nemo certo scit.

Cum autem ingressurus esset Bryennius Adrianopolin, omnis fere urbs exstantem vicinitatem excepit: atque erat multitudo gregatim effusa per campum, pompam eius excipiens. ubi autem apparuerunt

πεδίον, τὴν πρόοδον αὐτοῦ ἐκδεχόμενον. ὡς δ' ἀνεφάνησαν τὰ σημεῖα καὶ προσεχώρουν αἱ παρατάξεις αὐτοῦ, βαρεῖαν ἀπαγγέλλουσαι τὴν αὐτοῦ ἐπιφοίτησιν, καὶ τὰ κέρατα πανταχόθεν φοβερόν τι καὶ καταπληκτικὸν ἐπεσήμαινον, κἀκεῖνος ἐν παρασήμοις παρὰ πλείστων δορυφορούμενος κατελάμβανε, διατάξαντες δὲ ἑαυτοὺς στοιχηδὸν οἱ πρὸς θέαν ἐξιόντες πολῖται, οἵ τε στρατιῶται τὰς ἀσπίδας προτείνοντες καὶ τὰς αἰχμὰς τῶν ὅπλων ἐπισυναίροντες, ἠχή τε τῶν βυκίνων καὶ τῶν σαλπίγγων ἐγίνετο καὶ τὸ τῆς εὐφημίας ἤρθη παρὰ πάντων περίοπτον, ἔδοξαν οἱ πλείους τὴν παρουσίαν αὐτοῦ βασιλέως μεγίστου καὶ δυνατωτάτου καθίστασθαι· κἀκεῖνος ὑπεράνω παντὸς λόγου ἑαυτὸν λογισάμενος, μεστὸς ἐλπίδων καὶ αὐχήματος εἰς τὴν ἐνεγκαμένην αὐτὸν εἰσελήλυθε πόλιν. ἦσαν δὲ ταῦτα, ὡς ὕστερον τὸ πρᾶγμα τὸν ἔλεγχον δέδωκε, πιθήκων ἢ γεράνων ὁρμήματα καὶ νεανιεύματα· ἔνθα γὰρ θεὸς οὐ συνευδοκεῖ καὶ ψηφίζεται, καὶ πρᾶξις εὐθυτάτη καὶ θεοφιλὴς διάνοια τὴν ἄνωθεν οὐκ ἐκκαλεῖται βοήθειαν, φροῦδον ἅπαν καὶ ἀσθενὲς τὸ παρ' ἀνθρώπων γενόμενον.

Ἐν δὲ τῇ Ῥαιδεστῷ, πρὸ τοῦ τὸν Βρυέννιον καταλαβεῖν εἰς Ἀδριανούπολιν, ἐπικρατησάσης τῆς Βατατζίνης (ἐδιχονόουν γάρ τινες πρὸς τὴν αὐτοῦ ἐπιχείρησιν) ἀνηγορεύθη ὁ Βρυέννιος. καὶ πρῶτον ἔργον τοῖς ἐγχωρίοις ἐγένετο τὸ καθελεῖν καὶ καταβαλεῖν εἰς γῆν τὸ κοινὸν ἀτόπημα καὶ ἀδι-

6. δὲ om C.

signa et accedebant ordines eius gravem nuntiantes adventum et cornua undique formidolosum sonum et terribilem canebant, et ille cum insignibus a plurimis circumdatus advenit, et se disponebant secundum ordines qui ad spectandum exierant cives et milites scuta protendebant et cuspides armorum tollebant, et clangor buccinarum et tubarum oriebatur, et salutationis clamor sublatus est ab omnibus clarus, putarunt plurimi praesentiam eius regis maximi et potentissimi adesse: atque ille supra omnem sermonem se aestimans, plenus spe et superbia in urbem quae eum tulerat, ingressus est. erant autem haec, ut postea res ipsa documentum dedit, simiorum vel gruum incepta et iuvenilia facta. ubi enim deus non assentitur et suffragatur et res sincera et deo gratum consilium superne non impetrant auxilium, inania omnia et infirma sunt quae ab hominibus fiunt.

Raedesti autem cum, antequam Bryennius Adrianopolin intravit, imperaret Batatzina (dissentiebant enim nonnulli de eius incepto) renuntiatus est Bryennius et primum factum incolis fuit, ut tollerent et deiicerent publicum scelus et iniuriam et logothetae triste cogitatum

κημα καὶ τοῦ ἀπὸ λογοθετῶν δύστηνον ἐπινόημα καὶ τῇ εὐθηνίᾳ ἐπιβουλεῦον, τὸν καινουργηθέντα φημὶ ἐκτὸς τοῦ ἄστεος φούνδακα καὶ κατεπόθη μέχρις ἐδάφους διαρρυείς. τοῦ δὲ κάστρου Πανίου ἔτι μὴ συναπαχθέντος αὐτοῖς ἐπεστράτευσαν οἱ τῆς Ῥαιδεστοῦ κατ' αὐτοῦ· καὶ δι' ἡμερῶν τινῶν παραστησάμενοι αὐτὸ τινὰς μὲν τῶν ἔνδον ἠμύναντο, τοὺς δὲ ἄλλους ἐπὶ χώρας κατέλιπον. ἔκτοτε δὲ οὐ διέλιπον ἐκ τῆς ἀποστατικῆς μοίρας εἰς τὴν Ῥαιδεστὸν παραβάλλοντες στρατιῶται, καὶ μᾶλλον ἀλλογενεῖς, καὶ τοὺς περικύκλῳ ἀγροὺς λυμαινόμενοι, προφάσει τάχα τῆς τοῦ κάστρου φυλακῆς καὶ διατειχίσεως· ἤθελε γὰρ καὶ αὐτοὺς ἡ Βατατζῖνα δι' ὄγκον ὑπερηφανίας καὶ ἀποτροπὴν τῆς ὑποπτευομένης αὐτῇ ἐπιβουλῆς καὶ παρακινήσεως. συνετηρήθη δὲ καὶ ὁ ναύσταθμος τοῦ τοιούτου κάστρου σκόλοψι καὶ περιπάτοις ξυλίνοις καὶ ἄλλοις ὀργάνοις τῶν ἀλλοτρίων νεῶν ἀποτρεπτικοῖς. πολλῶν δὲ ὄντων ἐν τῷ αἰγιαλῷ οἰκημάτων, καταστροφὴ τούτων δι' ὑπονοουμένην κατεπράχθη ἐπίθεσιν. καὶ ἁπλῶς πάντα ταραχῆς ἐπέπληστο καὶ συγχύσεως. ᾐσθόμην δὲ καὶ αὐτὸς τῶν f. 221 v.
τοιούτων κακῶν ὡς τὴν ἀποστασίαν ἀποφυγών, τῆς ἐντὸς τοῦ κάστρου οἰκίας καὶ τῶν ἀγροτικῶν μου κτημάτων διαρπαγὴν τῶν ἐν αὐτοῖς οὐ τὴν τυχοῦσαν ὑποστάντων.

Ὁ δὲ Βρυέννιος τάξεις καὶ ἀρχὰς τῇ βασιλικῇ δορυφο-

11. an ἠρέθιζε? 22. τάξας C. correxit interpres.

et copiae insidians, nova ratione factum dico extra urbem horreum, et devoratum est usque ad solum, effusum. castello autem Panio nondum abacto ab iis profecti sunt Raedestani adversus id: atque postquam per dies nonnullos id in potestatem suam redegerunt, alios, qui intus erant, arcebant, reliquos in loco reliquerunt. inde ex eo autem tempore non desierunt ex seditiosa parte in Raedestum irruere milites magisque peregrini et agros circa sitos devastare praetexto custodiae castelli et circumvallationis. cupiebat enim etiam eos Batatzina propter superbiam arrogantiae et praesidium insidiarum, quas suspicaretur, et turbarum. conservatus autem est etiam portus huius castelli palis et porticibus ligneis et aliis instrumentis quae alienas naves averterent: cumque multa in litore essent aedificia, eversio horum propter insidias, quas suspicabatur, facta est, et omnino omnia turba impleta erant et confusione. sensi autem et ipse talia mala, ut postquam seditionem effugi, domus, quae intra castellum est, et agrestium mearum possessionum rapinam, quae inter eas non sortem subierant.

Sed Bryennius ordines et magistratus regio comitatui utiles constituens et honores, quaecunque huic videbantur, quotidie instituens,

ρίᾳ χρειώδεις ὑποστησάμενος, καὶ τιμὰς ὅσαι τούτῳ ἐδόκουν ὁσημέραι καταπραττόμενος, ἐφαπλῶσαι τὴν χεῖρα καὶ μέχρι Βυζαντίου διεμελέτησε, καὶ ἑαυτῷ προεκκαθᾶραι καὶ λειῶσαι τὴν εἰς τὰ βασίλεια εἴσοδον. τιμήσας οὖν τὸν ἴδιον αὐτάδελφον Ἰωάννην τῷ τῶν κουροπαλάτων ἐπιφανεῖ ἀξιώματι, δυνάμεις ἁδρὰς ἐνεχείρισε καὶ πρὸς αὐτὸ τὸ Βυζάντιον ἐξαπέστειλε, πίσυνος ὢν ὡς ἐπείπερ οἱ πολῖται τὸν βασιλέα σὺν τῷ λογοθέτῃ δι' ὀργῆς καὶ μίσους ἀτενοῦς ἔχουσι, προσέξουσί τε αὐτῷ μετὰ τηλικαύτης στρατιᾶς παρατεταγμένῳ καὶ προσδέξονται σὺν ὁμολογίαις ἐντός, καὶ οὕτως ἀδεῶς ἐπιφοιτήσει αὐτὸς ἐν ἑτοιμασίᾳ βασιλικῇ καὶ ἀποδοχῇ. ἀλλ' ἦν ὁ σκοπὸς ἔξω τῆς τοῦ μέλλοντος ἀποβάσεως. τῆς μὲν γὰρ στρατιᾶς τὸ συγκεκροτημένον καὶ πολυάνθρωπον εἶχέ τινα πρὸς τοὺς ἐκτὸς φοβερὰν ἐπιφάνειαν, καὶ μᾶλλον ὅτι καὶ τῇ Περίνθῳ, τῇ νῦν Ἡρακλείᾳ καλουμένῃ, προσπαραβαλὼν ὁ τοῦ Βρυεννίου αὐτάδελφος, μὴ συγκατανευούσῃ πρὸς τὴν τοῦ Βρυεννίου ἀνάρρησιν διὰ τὸ καὶ στρατιώτας ἔνδον ἔχειν βασιλικούς, κατὰ κράτος εἷλε καὶ πολλοὺς ἀνεῖλεν αὐτῆς, καὶ τὰ ἐκτὸς μετὰ τῶν ἔνδον ἐδῄωσεν. ὑπεχώρησε γὰρ καὶ ὁ ἐν Σηλυμβρίᾳ ἐφεδρεύων Ἀλέξιος πρόεδρος ὁ Κομνηνός, δομέστικος ὕστερον τῆς δύσεως προβληθείς, μετὰ τῶν συνόντων αὐτῷ στρατιωτῶν, καὶ τῇ βασιλευούσῃ σπουδαίως ἐπανελήλυθεν. οἱ δὲ τὴν βασιλίδα οἰκοῦντες οὐδαμῶς πρὸς τὴν τῆς στρατιᾶς ἐπιφοίτησιν κατεπλάγησαν, ἀλλ' οὕτως εἶχον περὶ

8. μύσους ἀγενοῦς C.

porrigere manum vel usque ad Byzantium meditatus est, et sibi purgare et complanare aditum in regiam. ornans igitur suum fratrem Ioannem Curopalati illustri dignitate exercitus sat magnos ei tradidit et adversus ipsam Byzantium dimisit, confidens quandoquidem cives regem et logothetam irae et odio infimo habebant, eos accessuros esse ad eum tali exercitu instructum et recepturos cum assensu, atque sic se tuto adventurum esse ipsum, regie firmatum et exceptum. sed erat propositum extra eorum quae futura erant exitum. copiarum enim exercitatio et multitudo habebat quandam iis qui extra erant terribilem speciem, eoque magis quod etiam Perinthum, quae nunc vocatur Heraclea, aggressus frater Bryennii, non adnuentem ad Bryennii renuntiationem, cum etiam milites intus haberet regios, vi cepit et multos in ea sustulit, et externa cum iis, quae intus erant, devastavit. recessit enim etiam qui Selymbriae insidebat Alexius Comnenus praeses, domesticus postea occidentis creatus, cum militibus suis et ad regiam studiose rediit. qui autem urbem inhabitabant nequaquam ad-

αὐτὴν ὡς ἂν εἴ τινες κριοὶ καὶ βουκολίων ἀγέλαι πρὸς κολωνοὺς ἢ Σεμιράμια τείχη τὰς ἰδίας προσαράττουσι κεφαλάς, ἢ κηφῆνες περιβομβοῦσιν ἄνδρας γιγαντολέτορας. οἱ μὲν γὰρ τὴν ἀρχὴν καταλαβόντες τῷ βασιλεῖ κατεφάνησαν τὴν ἐν Βλαχέρναις προκαταλαβόντες ἀκρόπολιν, καί τινας ἀκροβολισμοὺς καὶ προσβολὰς ἐκ τῶν τόξων καὶ πετροβόλων ὀργάνων εἰργάσαντο, ἔπραξαν δὲ οὐδὲν ἢ ὅσον ἐπίδειξίν τινα τῆς ἀνταρσίας προενεγκεῖν. ὀπισθόρμητοι δὲ γεγονότες τραυματισθέντων καὶ τινῶν ἐξ αὐτῶν, καὶ τοῖς ἄλλοις τείχεσι πλησιάσαντες, ὑβριστικὰς φωνὰς ἢ παροινίας παρὰ τῶν πολιτῶν ἠνωτίσαντο, καὶ ἀκοντίοις καὶ λίθοις ἀπεσοβήθησαν, καὶ μίμοις γελοίων καθυπεβλήθησαν, καὶ τῆς ἀποκηρύξεως ἐν πολλαῖς ἡμέραις πρὸ τῆς πόλεως στρατοπεδευσάμενοι πληροφορίαν ἐδέξαντο. εἶχε γὰρ ἅπαντας ἔρως ἐπιμανὴς τοῦ Βοτανειάτου, καὶ τὴν ἐκείνου βασίλειον ἐπιδημίαν ὡς ἐπιδημίαν θεοῦ προσεδέχοντο.

Μηδὲν δὲ τῶν ὧν ἤλπισεν ὁ τοῦ Βρυεννίου αὐτάδελφος εὑρηκώς, καὶ τὴν εἰς τὴν βασιλεύουσαν εἴσοδον ἀπογνούς, διεπεραιώθη τὴν τοῦ ἁγίου Παντελεήμονος γέφυραν· καὶ θέμενος ἐν τοῖς τοῦ Στενοῦ μέρεσι τὴν παρεμβολὴν παρῆλθεν συντεταγμένος ὡς τῷ βασιλεῖ καὶ τοῖς λοιποῖς πολίταις ἐκ τοῦ προφανοῦς διοπτικώτερον φανησόμενος, καὶ τὸν αὐτάδελφον εὐφημίαις κατὰ διαδοχὴν ἑκάστου λόχου ἐτίμησεν. f. 222 r.

ventu exercitus obstupefacti sunt: sed sic sentiebant de eo, ut si arietes vel boum greges ad colles vel muros Semiramidis sua infligant capita, vel fuci circumstrepant viros gigantum confectores. qui enim imperium acceperant regi apparuerunt, postquam Blachernarum arcem antea ceperunt, et levia proelia et impetus arcubus et instrumentis iaculatoriis conseruerunt. egerunt autem nihil nisi ut ostentationem seditionis proferrent. redeuntes autem, cum etiam nonnulli ex iis vulnerati essent, et reliquis moenibus appropinquantes superbas voces vel iniurias ex civibus audiverunt, et iaculis lapidibusque pulsi sunt et per histriones ridiculorum depressi: et repulsae, dum multos dies ante urbem castra tenent, certam fidem acceperunt. tenebat enim omnes cupido furiosa Botaniatae, et illius regium adventum tanquam adventum dei excipiebant.

Postquam autem nihil eorum, quae speraverat, frater Bryennii invenit et aditum in urbem desperavit, transiit sancti omnimisericordis pontem, et positis in angustiarum partibus castris praeteriit instructus ut regi et ceteris civibus ex aperto clarius occursurus, et fratrem laudibus quoque ordine se excipiente ornavit: quod cum aëra feriens

ὡς δὲ τὸν ἀέρα πλήττων μόνον ἐδείκνυτο, καὶ ὄνος ἦν πρὸς λογικοὺς καὶ λογισμῷ κρείττονι κατεστρατηγημένους ὀγκώμενος, ὀργῇ καὶ θυμῷ τὴν ψυχὴν ἐκκανθείς, καὶ βακχικόν τι καὶ σιληνιακὸν πεφρονηκώς, πῦρ ἐνῆκε ταῖς παρακειμέναις οἰκίαις ἀπὸ τοῦ ἁγίου Παντελεήμονος μέχρι τῶν ἀναπλεομένων μερῶν τοῦ Στενοῦ. καὶ ἡ φλὸξ ἀρθεῖσα πάσας σχεδὸν τὰς οἰκίας πλὴν ὀλίγων κατεδαπάνησεν, ὡς καὶ εὐκτηρίους οἴκους καὶ περικαλλεῖς οἰκίας καὶ ναοὺς ἐπισήμους πυρὸς γενέσθαι θεομισοῦς παρανάλωμα. καὶ μᾶλλον τῶν Ἰουδαϊκῶν, διὰ τὸ ξύλοις κατηρτίσθαι πάσας, οὐδεμία διέφυγε τὴν τοῦ πυρὸς ἐρωήν. ἐῴκει δὲ οὗτος τῷ μέλλοντι μὲν ἀποσβέσαι πῦρ, ἐλαίῳ δὲ κατ᾽ αὐτοῦ χρωμένῳ καὶ τὴν ἰσχὺν ἐντεῦθεν μεῖζον ἐπαίροντι· μισοῦντας γὰρ αὐτὸν τοὺς πολίτας καὶ τὸν τούτου αὐτάδελφον, εἰς πλεῖον μῖσος ἐκ τῆς ἀτοπωτάτης ἠρέθισε πράξεως. ὡς δ᾽ ἔγνω ἑαυτὸν μάτην ἐπὶ κακοῖς αὐλιζόμενον καὶ διαύλους σκηνὰς ἐργαζόμενον, καὶ τῷ χειμῶνι δεινῶς μετὰ τῶν συστρατευομένων αὐτῷ πιεζόμενον, ἀναστήσας τὴν στρατιὰν πρὸς ἑσπέραν ἐβάδιζε. καὶ αὐτὸς μὲν σὺν δυσὶ παρατάξεσιν εἰς τὸ τοῦ Ἀθύρα πολίχνιον κατεσκήνωσε, τὸ δὲ λοιπὸν πλῆθος εἰς παραχειμασίαν διέδωκεν.

Ὀψὲ δὲ καὶ βραδέως ὁ βασιλεὺς ἐπεμνήσθη τοῦ Ῥουσελίου καὶ τῆς αὐτοῦ γενναιότητος, πύματον ἄρα καὶ ἔξωρον τὸ λυσιτελοῦν προστησάμενος. ἔχων γὰρ αὐτὸν ἐν παραφυ-

solum appareret et asinus esset adversus ratione praeditos et ratiocinatione meliore ductos rudens, ira et animo exustus animam et Baccharum et Silenorum quid spirans, ignem iniecit adiacentibus domibus inde a S. Pantelcemone usque ad eas quae sursum navigantur partes angustiarum: atque flamma excitata omnes fere domus paucis exceptis consumsit, ita ut etiam sacella precibus faciendis destinata et perpulchrae domus et templa praeclara ignis fierent deo invisi sumtus: atque magis ex Iudaicis quia omnes lignis erant exstructae, nulla domus effugit ignis impetum. videbatur autem hic exstinguere velle ignem, sed oleo contra eum usus vim inde maiorem excitare: cives enim, qui eum et eius fratrem oderant, ad maius odium ineptissimo excitavit facto. cum autem intellexisset se frustra in malis versari et in angustiis tentoria facere, et hieme graviter cum militibus suis premi, excitans exercitum ad occidentem procedebat atque ipse cum duobus ordinibus in oppido Athyra castra posuit: reliquam autem multitudinem in hiberna divisit.

Sero autem et tarde rex meminerat Ruselii eiusque nobilitatis, ultimum et intempestivum quod prodesse posset constituens. tenens

λακῇ καὶ δεσμοῖς διὰ τὸ καὶ πρὸ ἡμερῶν τινῶν ἁλωθῆναι φυγαδείαν ἑλόμενον ἐπὶ τῷ πρὸς τὸν Βοταννειάτην αὐτομολῆσαι τῇ Λάμπῃ ἐνδιατρίβοντα, ἠναγκάσθη τότε ὁ βασιλεύς, τῶν πραγμάτων ὥσπερ ῥευμάτων θαλαττίων ἐπικεχυμένων αὐτῷ, βοηθὸν τὸν ἄνδρα καὶ συλλήπτορα προσλαβεῖν. τῆς οὖν φρουρᾶς αὐτὸν ἐξελών, καὶ πολλοῖς πρὸς αὐτὸν ἐπαγωγοῖς χρησάμενος ῥήμασι, καὶ ἀμνηστίαν τῶν προτέρων κατασκευάσας, καὶ πολλαῖς ὑποσχέσεσι καὶ δώροις καὶ τιμαῖς καταμαλάξας τὴν τούτου ψυχήν, καὶ πρὸς εὔνοιαν μεταθέσθαι καὶ πίστιν παρασκευάσας ἀπόρρητον, εἰς τὴν κατὰ τῶν ἐναντίων ἀντιπαράταξιν διηυτρέπισε. καὶ ἀπὸ τῶν τειχῶν μὲν διαλεχθῆναι πρότερον τοῖς συνοῦσι Φράγγοις τῷ Βρυεννίῳ πεποίηκεν, ὡς δι' οὐκ ἔπεισε τούτους καὶ προεχώρουν εἰς τὰ ὀπίσω πρὸς τὰ τῆς ἑσπέρας ἐνδότερα, ἥ τε φήμη προσήγγειλε τὸν τοῦ Βρυεννίου αὐτάδελφον ἀφυλάκτως ἐντὸς τοῦ Ἀθύρος ἐπισκηνοῦν, συμβούλιον γέγονεν ἐπελθεῖν αὐτῷ ἐξ ἐφόδου, στρατηγοῦντος τοῦ προέδρου Ἀλεξίου σὺν τῷ Ῥουσελίῳ, μετὰ τῶν ἐν τῇ βασιλίδι στρατιωτῶν. ὅρκοις οὖν φρικωδεστάτοις τὰ πιστὰ δεδωκὼς τῷ βασιλεῖ ὁ Ῥουσέλιος ἐν τῷ πανσεβάστῳ σηκῷ τῶν Βλαχερνῶν αὐτῷ συνδυάσαντι, νυκτὸς f. 222 v. ἐξῆλθε τῆς πόλεως. Ῥωσικὰ δὲ πλοῖα, τὴν ἀπὸ θαλάσσης παραγγελθέντα ἐπίθεσιν, σύνθημα παρέσχον τοῖς κατ' ἤπειρον στρατιώταις, ἵν' ὀρθριώτερον ἅμα τῷ Ἀθύρα προσβάλωσι,

enim eum in custodia et vinculis, quia etiam diebus nonnullis ante deprehensus erat fugam eligens ut ad Botaniatam transfugeret Lampae versantem, coactus est tum rex, rebus tanquam fluctibus maris irruentibus in eum, auxiliantem virum et socium adhibere. custodia igitur eum eximens et multis erga eum allicientibus usus verbis, et oblivionem priorum instituens et multis promissis et donis et honoribus demulcens huius animum et ad benevolentiam vertere et fidem studens immutabilem ordine contra hostes opposito eum instruxit, et e muris colloqui antea cum Frangis, qui cum Bryennio erant, eum iussit. cum autem non persuaderet his et progrederentur ad interiores occidentis partes et fama nuntiaret, Bryennii fratrem inconsulto intra Athyrem versari, consilium factum est aggrediendi eum impetu, imperante praeside Alexio et Ruselio cum militibus, qui in urbe erant. iuribusiurandis ergo gravissimis fidem postquam dedit regi Ruselius in templo Blachernarum maxime venerabili cum eo congresso noctu egressus est urbe: Rosica autem navigia maritimum impetum nuntiantia signum praebuerunt militibus in continenti constitutis, ut mane simul Athyrem aggrederentur, atque includentes adversarium cum omnibus suis et de-

καὶ κατακλείσαντες ἔνδον τὸν ἀντικείμενον μετὰ τῶν συνόντων αὐτῷ πάντων καταγωνισάμενοι τρέψωσι, καὶ ὑπὸ τὴν σφῶν αὐτῶν χεῖρα ζωγροῦσαν ἢ φονεύουσαν ἅπαντας ὡς ἐν δικτύῳ ποιήσωσι. καὶ ἦν ἡ μελέτη σταθηρὰ καὶ στρατηγικὴ καὶ τοῦ θηράματος σύνοχος, εἰς τέλος δὲ μὴ περισωθεῖσα τὸ τῆς νίκης διέφθειρε τρόφιμον. συνήρχοντο μὲν γὰρ ἐν ταὐτῷ τό τε πεζικὸν καὶ ναυτικὸν στράτευμα, προελθόντες δὲ πρὸ τοῦ ἄστεος οἱ τῆς πεζικῆς μοίρας στρατιῶται, καὶ ἀποπλανηθέντες ἐκεῖθεν ἐπὶ κατασκοπῇ καὶ καταλήψει δῆθεν τινῶν Μακεδόνων αὐλιζομένων ἐν πορρωτάτω ἀγροῖς ἐκείνων μὲν οὐκ εὐστόχησαν καὶ ἀπέτυχον τῆς ἐπιβουλῆς, τοῖς δὲ Βαράγγοις οὐ συνεδύασαν, ὅτε τῷ Ἀθύρα προσέβαλον. ὅμως δ' οὖν οἱ μὲν Βάραγγοι τὰς πύλας αὐτοῦ βιασάμενοι ἐντὸς εἰσεπήδησαν, καὶ πανόπλοις ἐπιφοραῖς ἔτι πρωίας οὔσης τοὺς τοῦ Βρυεννίου κατηγωνίσαντο. ἱππότες δὲ ὄντες ἐκεῖνοι τῶν ἵππων ἐπιβάντες εἰς φυγὴν ἐξωρμήκασι. μὴ ὄντων δὲ τῶν ἐν ἠπείρῳ στρατιωτῶν κατ' ὄψιν αὐτῶν καὶ ὑπάντησιν, διέφυγον τὴν πανωλεθρίαν. ὕστερον δ' ἐπιφανεὶς ὁ Ῥουσέλιος σὺν τῷ προέδρῳ Ἀλεξίῳ ἐδίωξαν μὲν κατόπιν, βουλόμενοι δὲ τὸν διωγμὸν ἐπιτεῖναι καὶ πολλοὺς σφῆλαι τῶν ἐναντίων κατασεσεισμένους τῷ φόβῳ καὶ φεύγοντας ἀμεταστρεπτὶ παρὰ τῶν ἰδίων οὐκ εἰσηκούσθησαν, δεδιότων τὸ ἀποτέλεσμα. ἔπεσον δέ τινες Μακεδόνες ἐν τῷ κάστρῳ παρὰ τῶν Ῥῶς, ἄλλοι

3. ζωογονοῦσαν C.

bellantes verterent et in suam manum conservantem aut necantem omnes tanquam in rete redigerent: atque erat consilium firmum et imperatorium et venationis tenax, postremo autem non conservatum victoriae perdidit alimentum: conveniebant enim in eundem locum tum pedites et navalis exercitus: progressi autem ante urbem milites qui ex parte peditum erant, et vagantes inde ad speculandum et occupationem nonnullorum Macedonum, qui longe in agris versabantur, illis quidem non sunt potiti et aberrarunt a proposito cum Barangis autem non convenerunt, quando Athyrem aggressi sunt. tamen Barangi portas eius effringentes intus insilierunt, et gravi armaturae impetu etiamtum mane Bryennii milites debellarunt: illi autem, equites, equos ascendentes in fugam se proiecerunt: cum autem non essent milites, qui in continenti erant in conspectu eorum neque iis obvenirent, effugerunt summam cladem: postea autem adveniens Ruselius cum praeside Alexio persecuti sunt eos a tergo: sed cum vellent persecutionem protendere et multos prosternere adversarios concussos metu et fugientes irretorto oculo, a suis non exauditi sunt metuentibus exitum. ceciderunt autem nonnulli Macedones in castello ex Rosicis, alii vivi capti sunt, simi-

δὲ ζῶντες ᾐχμαλωτίσθησαν. ὁμοίως δὲ καὶ παρὰ τῶν ἱπποτῶν. συνηθροίσθη δὲ καὶ λαφυραγωγία ἐκ τῆς ἐκείνων ἀποσκευῆς, καὶ τοῦ αὐταδέλφου τοῦ Βρυεννίου ὀχήματα πράσινα καὶ ὅπλα καὶ σήμαντρα.

Ἐπανελθόντων δὲ τῶν τοῦ βασιλέως στρατιωτῶν εἰς αὐτόν, χαρά τις τοῦτον καὶ τοὺς περὶ αὐτὸν περιέλαβε. τοῖς δὲ Βυζαντίοις οὐδὲν τούτων θεραπεῦον ἐδείκνυτο, ὅτι τὴν τοῦ βασιλέως μάχην καὶ τοῦ Βρυεννίου κύνεριν ἐλογίζοντο. εἷλε γὰρ πάντας κατ' ἄκρας ὁ πόθος τῆς τοῦ Βοτανιάτου χρηστότητος, ἐπείπερ ἐγίνωσκον αὐτοῦ τὸ γένος περιφανὲς καὶ πρὸς τοὺς πολεμικοὺς ἀγῶνας ἐπίδοξον καὶ χρηστὸν τοῖς πολίταις καὶ σύντροφον, καὶ αὐτὸν δὲ παραπλησίαν ἔχοντα τῷ γένει τὴν γνώμην καὶ τὴν ἀνδρίαν καὶ τῆς ψυχῆς τὸ ὑγιὲς ἐγκαλλώπισμα· οὐδεὶς γὰρ πόλεμος ἀγωνιστικὸς καὶ βαρὺς εἶχεν αὐτὸν ἔξω τῶν ἐπ' αὐτῷ ἀνδραγαθημάτων, οὐδεμία παρασκευὴ τῶν ἄκρων ἀπείρατόν τε καὶ ἄγευστον, ἀλλὰ καὶ δουκικὰς ἀρχὰς καὶ αὐτὰς μεγίστας φρονήσει καὶ ἀνδρίᾳ καὶ f. 223 r. ἀγαθότητι κατεκόσμησε. καὶ ἡ πόλις αὐτὸν ἠγάπα διὰ τὴν ἄγαν ἐπιείκειαν καὶ πραότητα καὶ τὸ τῆς χειρὸς ἐν πολέμοις καὶ ὅπλοις ἀκαταγώνιστον καὶ ἐν δώροις ἀσύγκριτον, καὶ τὸ δεξιὸν καὶ εὔχαρι, καὶ τὸ πάσης ἀλαζονείας καὶ ὑπερηφανίας τυγχάνειν αὐτὸν ὑψηλότερον, καὶ τὸ δὴ μεῖζον, ἀνέγκλητον· οὐδέπω γὰρ ἀδικίαν κατενεκλήθη παρά τινος παρ' ὅλαις ταῖς

21. τὸ om C.

lique ratione etiam ex equitibus. congesta autem est etiam praeda ex illorum impedimentis et fratris Bryennii currus virides et signa.

Reversis autem regis militibus ad eum gaudium quoddam hunc et qui circa eum erant, cepit. Byzantiis autem nihil horum utile apparebat, cum regis pugnam et Bryennii reputarent. occupavit enim omnes summum desiderium virtutis Botaniatae, quandoquidem cognoscebant eius genus clarum et ad bellica certamina illustre, et utile civibus et coniunctum, atque ipsum similem habere generi sententiam et fortitudinem et animi sanam gloriationem. nullum enim bellum ingens et grave habebat eum extra victorias nullus apparatus summorum expertem et inanem, sed et ducis magistratus et ipsos maximos prudentia et fortitudine et virtute ornavit. atque urbs eum diligebat propter summam clementiam et lenitatem et manum in bellis et armis invictam et in donis incomparabilem, et quod dexter et gratus et omni humilitate et superbia erat superior, et, quod maius est, nondum accusatus: nondum enim propter iniustitiam accusatus erat a quoquam in omnibus suis actionibus: atque testis ipse, qui hoc scribo, sum ego,

αὐτοῦ πράξεσι. καὶ μάρτυς αὐτὸς ὁ συγγράφων ἐγώ, ὅτι δικαστὴς διὰ χρόνων πολλῶν γενόμενος, καὶ πᾶσι στρατιώταις καὶ πολίταις καὶ ἄρχουσι κατά τε τὴν βασιλεύουσαν κατά τε τὰς βασιλικὰς ἐκστρατείας δικάσας περὶ διαφόρων φάκτων καὶ ὑποθέσεων, οὐδενὶ δικαστηρίῳ τοῦτον εὗρον ἁλώσιμον, περὶ μικροῦ ἢ μεγίστου κατηγορούμενον πράγματος. ἄπαγε ἀλήθειαν ἐπὶ μάρτυρι θεῷ καὶ οὐ ψεῦδος κολακικὸν ἀποφθέγγομαι.

Πρὸς τοῦτον οὖν ἀποβλέπον τὸ τῆς πολιτείας συνάθροισμα πρᾶγμά τι τολμᾷ τῶν πώποτε γενομένων ὑπερφέρον καὶ μέγιστον. τοῦ γὰρ βασιλεύοντος εἰς τὰ ἐν Βλαχέρναις ἀνάκτορα κατὰ τὴν κυριακὴν προκαθημένου καὶ χρηματίζοντος, καὶ πάσης τῆς συγκλήτου παρισταμένης αὐτῷ, οἱ ἐν τῷ μεγάλῳ τεμένει τῆς τοῦ θεοῦ σοφίας ἐκκλησιάζοντες, πάντα φόβον τοῦ βασιλέως ἀποσεισάμενοι καὶ δημοκρατουμένους ἑαυτοὺς οἰηθέντες (πείθει γὰρ ὁ φόβος καὶ τῶν ἀνεφίκτων κατατολμᾶν), ἀναγορεύουσι τὸν Βοτανειάτην βασιλέα λαμπρᾷ τῇ φωνῇ τῇ ἐπαύριον τῆς λαμπαδηφόρου τῶν θεοφανίων ἤτοι τῶν φώτων ἑορτῆς, ἔτι τούτου ἐν τῷ ἰδίῳ καθημένου πολίσματι κατὰ τὴν τῶν ἀνατολικῶν ἐπαρχίων, καὶ μηδεμιᾶς ἐκ τούτου προσδοκωμένης τῆς ἐκδικήσεως. οἰηθείη δ' ἄν τις ὅτι χρυσοβούλλιον ἀναγνωσθὲν τούτου καὶ τὰ θυμήρη καθυπισχνούμενον διεθέρμανε τοὺς πολίτας πρὸς τὴν αὐτοῦ ἀναγόρευσιν. οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· προλαβὼν γὰρ ὁ κρα-

13. συγκρίτου C.

me, cum iudex per annos multos essem et omnes milites et cives et imperantes in regia et regiis expeditionibus iudicarem de diversis factis et argumentis, hunc nullo iudicio invenisse deprehensum, propter parvam vel maximam accusatum rem: apage: veritatem per testem deum neque mendacium blandum loquor.

Ad hunc igitur respiciens civitatis multitudo rem quandam suscipit rebus unquam factis superiorem et maximam. rege enim in Blachernarum templo dominica praesidente et versante et toto conventu adstante et convenientes in magnum fanum sapientiae dei omnem timorem regis excutiebant et populari imperio se gubernari putantes (persuadet enim timor, ut etiam quae fieri non possint, audeamus) renuntiant Botaniatem regem clara voce, postero die facium Theophaniorum sive luminum festi, etiamtum hoc in suo sedente oppido in orientis provincia nullaque ex hoc exspectata ultione. putet fortasse aliquis, literas huius imperatorias recitatas et grata promittentes calidiores reddidisse cives ad eius renuntiationem. non est ita,

τῶν Μιχαὴλ τοῦτο πεποίηκεν· ἀλλ' ἐπαναγνωσθὲν ἐν τῇ ἐκκλησίᾳ οὐ μόνον εὐχαριστίαν οὐκ ἤνεγκεν, ἀλλὰ καὶ ὕβριν αὐτῷ πρὸς πάντων καὶ ἀναισχύντους φωνὰς προεξένησε. καὶ ὁ Βρυέννιος δὲ τοιαῦτα πολλὰ διεπέμψατο· ἀλλ' οὐδεὶς προσέσχεν αὐτοῖς, καίτοι τῆς πόλεως ἀγχοῦ καθισταμένου αὐτοῦ ἐν ἰσχύι, καὶ δυναμένου τοῖς ἔνδον παραβοηθῆσαι ταχέως, εἰ πρὸς αὐτὸν ἀποκλίνοιεν. ὅπου δὲ τὸ θεῖον συνεπινένευκε διὰ τὴν τούτου ἀρετὴν καὶ χρηστότητα, ἐκεῖσε καὶ ἡ τῶν ἀνθρώπων ὁρμὴ καὶ θέλησις βέβηκεν, ἀπλανεῖς ἐχόντων τοὺς χαρακτῆρας τῆς τοῦ ἀνδρὸς φύσεώς τε καὶ πράξεως.

Πρὸς ταῦτα συνῆκε μὲν ὁ κρατῶν οὐδαμῶς, οὐδὲ τὰς παραδοξοποιίας ταύτας εἰς νοῦν ἀνήνεγκεν ἰσχυρότερον, καὶ θείαν ὀμφὴν ἢ κρίσιν τῶν οὕτω συντρεχόντων ἡγήσατο τὴν ἐπίρροιαν· ἀλλὰ μύων ὡσανεὶ τοὺς τῆς διανοίας ὀφθαλμοὺς ἰταμώτερός πως ἐγίνετο καὶ ἀντίξους τοῖς πράγμασι, μᾶλλον δὲ ταῖς ἐκ τοῦ θείου συμβολικαῖς ἐπιδείξεσι. καὶ τὰ μὲν ἄλλα ὅσα μειρακιωδῶς διεσκέπτετο, συντρέχοντος ἐν πᾶσι Νικηφόρου τοῦ λογοθέτου τοῦ δρόμου, μηχανορράφοις τισὶν ἢ ἀστρονόμοις καὶ διοσημίας τινὰς ἐπαγγελλομένοις καὶ ἀφιδρυμάτων προρρήσεσιν ἐκ τελετῶν προσανέχων καὶ δημοκόποις ἢ δεισιδαίμοσι, λέγειν νῦν περιττὸν καὶ ἄκαιρον ἥγημαι· ὅσα δ' ἐκ τοῦ προφανοῦς ἐτυράννει καὶ βιαιότερον ἢ κατὰ

non est: praevertens enim imperator Michael hoc fecit: sed renuntiatae in conventu non solum gratum animum non tulerunt, sed etiam ludibrium ei ab omnibus et impudentes voces conciliarunt. atque Bryennius tales multas misit: sed nemo earum rationem habebat, quamquam prope urbem stabat validus et poterat iis qui intus erant auxilio venire celeriter, si ad eum deflecterent. ubi autem numen divinum adnuit propter huius virtutem et utilitatem, illuc etiam hominum impetus et voluntas abiit firmas habentium notiones naturae viri et actionis.

Haec igitur animadvertit imperator nequaquam neque haec miracula ad mentem retulit firmiorem neque divinam vocem vel iudicium eorum, quae ita conveniebant, putavit affluxum, sed muscarum instar mentis oculis magis inconsultus fiebat et oppositus rebus, magisque numinis divini symbolicis signis. atque cetera quidem, quae iuveniliter cogitabat concurrente in omnibus Nicephoro logotheta stadii, cum impostoribus et astronomis et iis qui signa coelestia nuntiarent et signorum praedictionibus secundum initiationem se adverteret et popularibus adulatoribus aut superstitiosis, enarrare nunc superva-

βασιλέως χρηστότητα συνεκρότει, ταῦτα τῷ λόγῳ παραδιδόναι καὶ μνήμης ἀξιοῦν οὐκ ἀνάξιον.

Τῆς γὰρ κοινῆς γλώσσης ἀπαρεσκομένης πρὸς τὴν τοῦ βασιλεύοντος ἀγνωσίαν καὶ ἀκυβέρνητον ἔπαρσιν, καὶ δι' αὐτῆς πανταχόθεν ἐπισυρρεῖν τὰ δεινὰ διαλεγομένης, ὡς ἑκατέρωθεν τὴν βασιλίδα τῶν πόλεων περιηχεῖσθαι ταῖς τῶν σιδήρων αὐγαῖς καὶ τομαῖς, καὶ τῇ σπάνει τῶν ἀναγκαίων τὸ πλεῖστον μέρος τὸ ζῆν ἀπορρήγνυσθαι (τριῶν γὰρ νομισμάτων ὁ τοῦ σίτου μέδιμνος ἐπιπράσκετο, καὶ τῶν θανόντων οὐκ ἦν εὐχέρεια πρὸς τὸ θάπτεσθαι), συνῆλθον εἰς ταὐτὸν οἱ τῆς ἀρχιερατικῆς ἀξίας τῷ ἀρχιποίμενι τούτων καὶ πατριάρχῃ Κοσμᾷ, καὶ περὶ τῶν ἐνεστώτων ὡς τὸ εἰκὸς ἐβουλεύοντο, καὶ τῷ Βοτανειάτῃ τὴν νικητήριον ψῆφον ἐπὶ τῷ ἄρχειν βασιλικῶς προσετίθεσαν, οὐ προδήλως μέντοι καὶ προπετῶς διὰ τὸ ἐκ τοῦ βασιλεύοντος δέος, ἀλλ' ἐκ συλλογισμῶν καὶ λογικῶν παραθέσεων καὶ τρόπων ἐπιεικῶν, συναγόντων εἰς τὴν αὐτὴν ἔννοιάν τε καὶ ξύρροιαν τὸ προτιθέμενον βούλευμα. εἷς δὲ τῶν ἄλλων γνώσει διαφέρων καὶ λογιότητι, καὶ τὸ παρρησιαστικὸν κεκτημένος ἐκ φύσεως, τὴν προεδρίαν μὲν ἔχων τῆς τοῦ Ἰκονίου καθολικῆς ἐκκλησίας, Ἀσκάλωνα δὲ πατρίδα τῆς Φοινίκης αὐχῶν, καὶ παρὰ τῶν ἄνωθεν ὡς κορωνίδα κεκτημένος τὸ εὐσεβές, τρανότερόν τε καὶ διαλεκτικώτερον τῷ βουλευτηρίῳ τὴν οἰκείαν γνώμην ἐνσημηνάμενος

caneum et intempestivum puto: quae autem palam tyrannice agebat et violentius quam ex regis virtute parabat, haec narrationi tradere et memoria dignare non est indignum.

Cum enim communis sermo aegre ferret regis imperitiam et ancipitem insolentiam et contenderet ea undique affluere mala, utrinque reginam urbium circumstrepi ferri radiis et vulneribus, atque inopia rerum necessariarum maximam partem vitam amittere, (tribus enim assibus modius frumenti emebatur et mortuorum non erat facultas sepeliendorum), convenerunt in eundem locum qui summorum pontificum dignitate erant praediti, ad summum horum pastorem et patriarcham Cosmam, et de instantibus ut par erat deliberabant: atque Botaniatae evincens suffragium quia regie imperabat dederunt, neque tamen palam et praeceps propter regis metum: sed ex ratiocinationibus et rationis comparationibus et modis aequis, qui in eandem sententiam et consensum agerent propositum consilium. unus autem ceteris prudentia excellens et ratione et libertatem dicendi nactus natura, principatum habens catholicae Iconii ecclesiae, Ascalone autem Phoeniciae patria glorians et a maioribus tanquam coronam adeptus pietatem, et

ἔχθιστος ἐλογίσθη τῷ τε λογοθέτῃ καὶ αὐτῷ βασιλεῖ. καὶ αὐτίκα τοὺς ἄξοντας αὐτὸν ἀνάρπαστον ἐξαπέστειλαν. ὃ δέ, προγνοὺς τὸ τῆς ὀργῆς ἀκατάσχετον, ἐντὸς εἰσέδυ τῆς δευτέρας σκηνῆς τοῦ μεγάλου ναοῦ τῆς ἁγίας σοφίας, ἥτις ἅγια μὲν ἁγίων τοῖς πάλαι κατωνομάζετο, ἡμῖν δὲ τοῖς τῆς νέας διαθήκης πρὸς τούτῳ καὶ θεσιαστήριον καὶ ἄδυτον καὶ ἱλαστήριον· καὶ τῶν θείων ἀπρὶξ ἐχόμενος τόπον ἀσυλίας τὴν θείαν ἐποιεῖτο ἀντίληψιν. ἀλλ' οἱ πεμφθέντες, εἴτ' ἐξ ἰδίας ἀσεβείας καὶ θηριωδίας εἴτ' ἐκ παραγγελίας τοῦ πέμψαντος, μηδὲν εὐλαβηθέντες μηδ' ὑποπτήξαντες τὴν ὄντως θεότευκτον σκηνὴν καὶ τῶν οὐρανίων ἀντίτυπον, ἀλλὰ τῷ θυμῷ μεθυσθέντες καὶ βακχικόν τι καὶ ἀρειμάνιον συμφρονήσαντες, ἢ τό γε ἀληθέστερον εἰπεῖν, ἀφρόνως ἐπινοήσαντες, εἰς αὐτὸ f. 224 r. τὸ καὶ ἀγγέλοις αἰδέσιμον φονίως εἰσελαύνουσιν ἱλαστήριον, καὶ τὸν ἀρχιερέα ξιφήρεις ὄντες ἀνάρπαστον ποιησάμενοι τῷ βασιλεῖ παριστῶσιν. ὃ δὲ ἀνήκεστον μὲν οὐδὲν εἰς αὐτὸν διεπράξατο, τήν τε παρρησίαν τοῦ ἀνδρὸς αἰδεσθεὶς καὶ τὸ ἐν λόγοις εὐδόκιμον, καὶ τὴν ἀπὸ τοῦ θείου νέμεσιν καὶ τὸν ἐκ τοῦ θυσιαστηρίου καταπλαγεὶς ἑλκυσμόν· τὸ δὲ τῆς παρανομίας καὶ ἀτοπίας ἐκληρώσατο μῖσος ἐκ πάσης ἡλικίας καὶ τύχης καὶ φύσεως.

Καὶ ὡς μὲν οἱ ἀρχηγοὶ ἐκ τοῦ τοιούτου μύσους δίκας

14. φονείως C.

qui clarius et disertius consilio sententiam suam significaverat, inimicissimus habitus est logothetae et ipsi regi: atque statim eos, qui eum raptum agerent, miserunt. ille autem praevidens irae impotentiam se subduxit intra secundum tentorium magni templi sanctae sapientiae, quae quidem sancta sanctarum a priscis vocabatur, nobis autem qui novo foederi adstricti sumus, praeterea etiam ara et penetrale et clementiae sedes, et signa divina assidue tenens loco asyli divinum sibi conciliabat praesidium. sed qui missi erant, sive propria impietate et immanitate sive iussu eius, qui eos miserat, nihil caventes neque verentes revera divinum tentorium et coelestium imaginem, sed animo ebrii et bacchicum quid et belli furorem spirantes sive id quod verius est dictum, imprudenter cogitantes in ipsam vel angelis venerabilem more homicidarum irruunt clementiae sedem et summum pontificem gladiis instructi rapiunt et regi constituunt. is autem crudele nihil in eum commisit, libertatem dicendi in viro veritus et orationum gloriam, et divina ultione et quod ab ara detractus erat, obstupefactus. odium autem iniuriae et insolentiae sortitus est ab omni aetate et fortuna et natura.

Atque quomodo duces propter tale odium poenas non diu post

οὐκ εἰς μακρὰν ἔτισαν, μὴ δυνηθέντες τὴν θείαν ταύτην αὐλὴν σωτηρίας ὁδὸν καὶ εἴσοδον ἑαυτοῖς ὑπογράψαι, καὶ πόρρω ταύτης ἀποκρουσθέντες τιμωρίας θεοσύλαις πρεπούσας ἠνέγκαντο, κατὰ καιρὸν ὁ λόγος δηλώσει σαφέστερον· ἕτερον δὲ πάλιν παρηνομήθη τῷ βασιλεῖ, παφλαζούσης τῆς ἀκμῆς τοῦ κινδύνου, τῆς τοιαύτης ἀτοπίας οὐκ ἔλαττον. τί δὲ τοῦτο; τοὺς δοκοῦντας εὐπορωτέρους εἶναι τῶν ἄλλων θείους σηκοὺς ἀπεσύλησε, τὰ τούτων ἱερὰ σκεύη σὺν αὐτοῖς τοῖς θείοις εὐαγγελίοις διὰ τὸν περικείμενον αὐτοῖς κόσμον ἐξ ἐπιτάγματος ἀσεβοῦς ἀφελόμενος, μήτε τῶν τῆς φρικτῆς ἱερουργίας καὶ μυστικῆς τραπέζης ἀποσχόμενος κρατήρων ἢ κανῶν ἢ λοιπῶν περιρραντηρίων, μήτε πέπλων καλυπτόντων τὰ ἱλαστήρια μήτ ἄλλης σκευῆς θείων πραγμάτων φεισάμενος. καὶ ταῦτα τῷ παλατίῳ μετενεγκὼν θησαύρισμα πυρὸς καταφλέγοντος καὶ κρίμα θανάτου ἑαυτῷ ἐθησαύρισε· μηδὲν γὰρ ἀπονάμενος ἐξ αὐτῶν ἢ ὅσον ἀμοιβὰς ἀπαισίους καὶ θεήλατον ὀργὴν καὶ παρακοπὴν ἐπισπάσασθαι, καὶ τἆλλα πάντα τοῦ βασιλικοῦ πλούτου μετ' ἦχον συναπεβάλετο. τὸ γὰρ πρόσχημα τῆς ἀπορίας οὐκ εἶχεν αὐτῷ συμβαλλόμενον, ὅτι καὶ χρυσὸς αὐτῷ καὶ ἄργυρος κατακεκλεισμένος οὐκ εὐαρίθμητος ἦν. καὶ ὁ μετ' αὐτὸν βεβασιλευκὼς περιῃρημένον ἅπαντα τὸν τοῦ παλατίου πλοῦτον εὑρὼν καὶ διηρπασμένον ἐν τῷ καιρῷ τῆς ἀποκηρύξεως τούτου καὶ ἀπελάσεως, τὴν

luerint, non valentes divinam hanc sedem salutis viam et aditum sibi adumbrare, et quomodo deinde ab hac repulsi ultionem sacrilegis aptam reportarint, suo tempore oratio declarabit certius. aliud autem rursus iniuste factum est a rege fremente summo periculo tale insolentia non minus. quid hoc? templa quae videbantur ceteris ditiora, divina spoliavit, horum sacra instrumenta cum ipsis divinis evangeliis propter circumdatum iis ornatum ex mandato impio auferens, neque horrendi sacrificii et secretae mensae abstinens vasis et canistris et aspergillis reliquis, neque vestibus clementiae signa tegentibus neque alii apparatui rerum divinarum parcens, atque haec in palatium transferens thesaurum ignis flagrantis et iudicium mortis sibi congessit: nihil enim fructus capiens ex iis nisi quod remunerationem infaustam et divinam iram et insaniam contraheret, etiam cetera omnia regiarum divitiarum cum clamore amisit: praetextum enim inopiae non habebat sibi obveniens, quia et aurum ei et argentum immensum inclusa erant, et qui post eum regnavit sublatas omnes palatii divitias inveniens et raptas tempore repudiationis huius et exsilii, magno non imminutus est et maxime regio consilio: sed benignis manibus et

μεγάλην οὐκ ἠμβλύνθη καὶ βασιλικωτάτην προαίρεσιν, ἀλλ' ἀφθόνοις χερσὶ καὶ μεγαλοδώροις πάντας ὑπὲρ πᾶσαν ἐλπίδα ἰσχυρῶς κατεπλούτισε, καὶ φιλοτίμοις δεξιώσεσι καὶ ῥόγαις μυριοταλάντοις στρατὸν κατὰ τοῦ ἀντικειμένου Βρυεννίου καὶ τῶν ἄλλων τυράννων μέγιστον παρεκίνησε, καὶ οὐδὲν αὐτῷ ἄπορον ἢ ἐνδεὲς τὸ παράπαν συνήντησεν· ὡς εἶναι δῆλον καὶ ἀληθῆ τὸν παλαιὸν καὶ συνετώτατον λόγον, ὅτι ὅπου προαίρεσις ἀγαθή, τὸ κωλῦον οὐδέν, μάλιστα δὲ βασιλεῖ τῶν ἄλλων ὑπερφέρον τὸ πλούσιον. καὶ οὐδεὶς εἶδέ ποτέ τινα τούτων πενόμενον· ἀλλ' ὅσον ἐξάντλητα παρ' αὐτοῦ δι' εὐποιίας τὰ χρήματα καὶ χρεωλυσίας πεποίητο, τοσοῦτον παρὰ τοῦ βασιλεύοντος ἄνωθεν ἐπιχορηγεῖται τούτῳ πηγὴ καὶ ποταμὸς χρυσῶν ἀνεξάντλητος. ἀληθινὴ γάρ ἐστιν ἄμπελος ὁ τῆς ἀφθόνου μεταδόσεως κύριος, τοσοῦτον ἐπαυξανόμενος ὅσον περιτέμνει τὸν πλοῦτον καὶ σκορπίζει δι' ἀγαθότητα. f. 224 v.

Ἀλλὰ τὰ μὲν περὶ τοῦ σοφοῦ βασιλέως κατὰ καιρὸν λελέξεται ὕστερον, ὅτε τοῦτον ἡ πόλις λαμπρὰ λαμπρῶς ὑποδέξεται καὶ μυρίαις τιμήσῃ ταῖς εὐφημίαις καὶ πανηγύρεσιν· ἐν δὲ τοῖς ἑσπερίοις μέρεσι φεύγων μὲν ὁ τοῦ Βρυεννίου αὐτάδελφος μετὰ τῶν ἀμφ' αὐτὸν τῇ Ῥαιδεστῷ προσεπέλασε, καὶ ταύτης ἐντὸς εἰσελήλυθεν, οἱ δὲ Πατζινάκοι τὴν τῶν Μακεδόνων ἀποστασίαν ἰδίαν εὐπραγίαν καὶ εὔνοιαν λογισάμενοι, μετὰ πλήθους οὐκ ἐλαχίστου τῇ Ἀδριανουπόλει

1. ἠμβλήθη C. 9. ὑπερφέροντι? οἶδε C. 10. ἐξήντλητον C.

liberalibus omnes supra omnem spem valde ditavit et honorificis exceptionibus et largitionibus multorum talentorum exercitum contra oppositum Bryennium et ceteros tyrannos maximum excitavit: neque quidquam ei inopiae vel difficultatis omnino obvenit, ita ut sit clara et vera oratio illa vetusta et prudentissima, ubi consilium bonum adsit, ibi nihil esse impedimenti, maxime autem regem ceteris excellere divitiis: atque nemo novit unquam quenquam horum egenum: sed quantum exhauriuntur ab eo divitiae beneficiis et officiis solvendis, tantum a rege supero praebetur huic fons et fluvius auri inexhaustus. vera enim vitis est benignae largitionis dominus, tantum auctus, quantum circumscribit divitias, et spargit propter virtutem.

Sed de sapiente rege suo tempore dicetur postea, quando hunc urbs splendida splendide excipiet et innumerabilibus honorabit laudibus et festis. in occidentalibus autem partibus fugiens frater Bryennii cum suis, Raedesto appropinquavit et hanc urbem intravit. Patzinaci autem Macedonum seditionem suam felicitatem et benevolentiam putantes cum multitudine non minima Adrianopoli appropinquarunt et hanc

προσήγγισαν, καὶ ταύτην περικαθίσαντες τὸν παρὰ τῶν Μακεδόνων προχειρισθέντα βασιλέα πατάξειν ἠπείλουν μετὰ τῶν συναραμένων καὶ συνδραμόντων αὐτῷ. ἄλλους δέ τινας ταχυδρομεῖν ἠσκημένους κατὰ τῆς χώρας ἐξέπεμψαν, οἳ πᾶσαν ὁμοῦ κατελωβήσαντο καὶ διήρπασαν, φόνον μὲν πολὺν τῶν ἐν ἀγροῖς ποιησάμενοι, κτηνῶν δὲ ἀμυθήτων ἀγέλας ἐλάσαντες, καὶ οὐδὲ ἓν εἶδος κακώσεως παραλιπόντες τοῖς κάμνουσιν. ὁ δὲ Βρυέννιος ἐν πλήθει καὶ ἀγερωχίαις τὸ πρόσθεν καυχώμενος, ἀγενὴς ἐφάνη πρὸς τοὺς βαρβάρους καὶ ἄτονος, καὶ τὸ τεῖχος τῆς τοῦ Ἀδριανοῦ καταφυγὴν εἶχε μόνην, οὐ τὴν τῶν ὅπλων ἀντίθεσιν, ἕως λιμὸς βαρύτατος ἐντὸς κατατρύχων αὐτὸν καὶ τοὺς σὺν αὐτῷ, μετὰ πάσης τῆς ἵππου καὶ τῶν ὑποζυγίων αὐτῶν, ἠνάγκασε τοῖς βαρβάροις συνθέσθαι καὶ πάντα πρᾶξαι τὰ παρ' αὐτῶν προσταττόμενα. συναθροίσας οὖν χρυσίον ἁδρὸν ἐξ ἑαυτοῦ καὶ τῶν συναποστατησάντων αὐτῷ, τοῖς Πατζινάκαις ἀντίλυτρον δέδωκεν οὐ μεῖον τῶν εἴκοσι ταλάντων ἤτοι κεντηναρίων περιιστάμενον, σὺν αὐτῷ δὲ καὶ ὑφασμάτων καὶ ἀργυρῶν σκευῶν οὐκ ἐλάχιστον χρῆμα. καὶ τοῦτον τὸν τρόπον ἀπαναστῆναι τοὺς Πατζινάκους ἐκ τῆς πολιορκίας διέθετο. μένων δὲ κατὰ χώραν ἠργυρολόγει τοὺς πειθομένους αὐτῷ, πρὸς μὲν τοὺς ἐναντίους καὶ ἀλλοφύλους οὐδὲν γενναῖον ἐπιδειξάμενος, ἀλλ' ὥσπερ τις πτὼξ ἐν ὕλῃ οὕτως ἐν τοῖς τείχεσι τῆς Ἀδριανουπόλεως κρυπτόμενος, πρὸς

1. τῶν περὶ correxit Brunetus.

obsidentes regem a Macedonibus creatum se percussuras minabantur cum iis, qui auxilio venerant et cum eo coierant: alios autem, qui celeriter antecurrere exercitati erant, in terram miserunt, qui quidem omnem simul devastarunt et diripuerunt, caedem multam agrestium facientes, pecudum ingentium greges agentes, neque unum genus vexationis relinquentes afflictis. Bryennius autem in multitudine et artificiis antea elatus, ignobilis apparuit adversus barbaros et remissus, et murum Adrianopolis confugium habebat solum, non armorum oppositionem, donec fames gravissima intus conficiens eum et eos, qui cum eo erant, cum omni equitatu et iumentis eorum, coegit cum barbaris pacisci et omnia facere quae ab iis imperabantur. cogens igitur pecuniam multam ex se et iis, qui cum eo defecerant, Patzinacis pretium redemtionis dedit non minus viginti talentis (sive centum milibus) constans, simulque et vestium stragularum et argenteae supellectilis non minimam copiam: atque ita ut desisterent Patzinaci obsidione permovit. manens autem in loco exigebat pecunias a subiectis in adversarios et peregrinos nobile nihil ostendens: sed tanquam lepus in silva ita in muris Adrianopolis abditus, adversus contribules autem

δὲ τοὺς ὁμοφύλους ἐπιγαυρούμενος ἀκρατῶς, καὶ πολυειδεῖς ἀπαιτήσεις καὶ τιμωρίας κατασκεδάζων αὐτῶν, καὶ μᾶλλον τοὺς ξένους ξεσμοῖς ὑποβάλλων, ἵν' ἐκ τῶν σωμάτων αὐτῶν οὐχ αἱμάτων ἀλλὰ χρημάτων ἀνερευνήσῃ πηγάς.

Ὁ δὲ Βοτανειάτης οὐχ οὕτως, ἀλλὰ τοὺς εἰς αὐτὸν εἰσρέοντας ξένους ἢ ἄλλοθέν ποθεν αὐτῷ παρεμπίπτοντας οὐ μόνον ἀτιμωρήτους καὶ ἀναφεῖς κατελίμπανεν, ἀλλὰ καὶ δώροις ἐτίμα καὶ μεγίστοις περιλάμπροις τοῖς ἀξιώμασι, καὶ σιτήσεις ἐχορήγει τὴν χρείαν ἐκ πολλοῦ τοῦ περιόντος νικώσας αὐτῶν. ὅθεν καὶ ὁ δικάζων ἀδεκάστως θεὸς δεξιὰν τὴν ψῆφον τῷ δεξιῶς χρωμένῳ τοῖς πράγμασιν ἐπεβράβευσε. καὶ ὅπως, ἤδη ῥητέον.

Ἐν τοιούτοις τῶν πραγμάτων ἀμφιδοξούντων ἔξεισι τῆς ἰδίας πόλεως ὁ Βοτανειάτης, τῆς πρὸς τὴν βασιλίδα φερούσης μετ' εὐψυχίας ἁπτόμενος. δύο δὲ τῶν ὑποστρατήγων αὐτοῦ, κράτος ἔχειν πολεμικὸν καὶ πλῆθος στρατιωτικὸν βρενθυόμενοι, τὴν ὑποχώρησιν ἔκλεψαν καὶ λιποταξίου γραφὴν ἀπηνέγκαντο, πανταχόθεν ἄπιστοι καὶ ἀχάριστοι καὶ ἀγνωμοσύνης φανέντες ἀνάμεστοι· οὐ γὰρ ᾠήθησαν οἱ κακοδαίμονες οὐδ' εἰς νοῦν ἔβαλον τὸ τῆς θεηγορίας διάταγμα, ὡς οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν· ἀλλὰ δειλιάσαντες πρὸς τὰς τῶν Τούρκων παρατάξεις, αἳ τῷ Βοτανειάτῃ ἐφήδρευον, τὴν πρὸς αὐτὸν στοργὴν ἐξωμόσαντο καὶ παρα-

f. 225 r.

8. μεγ. καὶ περιλ.?

superbiens impotenter et varias postulationes et poenas fundens eorum magisque peregrinos exuens ut ex corporibus eorum non sanguinis sed pecuniae indagaret fontes.

Sed Botaniates non ita: sed eos, qui ad eum affluebant peregrini, vel aliunde in eum incidebant, non solum incolumes et intactos relinquebat, sed etiam donis honorabat et maximis et illustribus dignitatibus, et alimenta praebebat egestatem eorum longe superantia.

Quamobrem etiam iudicans incorrupte deus dextrum suffragium dextre uso rebus tribuit, atque, ut iam dictum est, in tanta incertitudine rebus versantibus egreditur sua urbe Botaniates, viam ad urbem ferentem bono animo tenens. duo autem centuriones eius potentiam bellicam et multitudinem militarem se habere gloriantes clam recesserunt et aciei relictae causam reportarunt, ubique infidi et ingrati et pravitatis apparentes pleni: neque enim putarunt infausti neque animadverterunt divinae orationis determinationem, non servari regem propter multam potentiam: sed timidi adversus Turcarum ordines, qui Botaniatae insidiabantur, eius amorem eiuraverunt et proditores iurum-

βάται τῶν ὅρκων καὶ τῶν συνθηκῶν ἐχρημάτισαν. ἀλλ' οὗτος ἀτρέστῳ καὶ εὐγενεῖ τῷ φρονήματι, τῇ θείᾳ ψήφῳ τὰ κατ' αὐτὸν ἐπιτρέψας, οὐδένα λόγον τούτων πεποίηκεν, ἀλλὰ συμβαλὼν τὰς πονηρίας καὶ ἀτασθαλίας αὐτῶν, καὶ ὡς ἄλλως Ἀλωέας καὶ λωβητῆρας εὐθύμως τούτοις ἀποσεισάμενος, ἵνα μὴ καυχήσωνται συμβαλέσθαι τούτῳ πρὸς τὸ προκείμενον σπούδασμα καὶ τὴν τῆς βασιλείας ἀνάβασιν, καὶ αὐτοὶ τὰς εὐεργεσίας ἀναξίως κομίσωνται, τῆς ὁδοιπορίας ἀπάρχεται. οἱ δ' ἐφεδρεύοντες, πολλοὶ καὶ πανταχόθεν συρρέοντες, ὠρύοντο μὲν ὡς σκύμνοι καὶ καθυλάκτουν ὡς κύνες, εἰς χεῖρας δὲ τούτῳ ἐλθεῖν καὶ πόλεμον συρράξαι φόβῳ καὶ φρίκῃ συνείχοντο, καίτοι πολλάκις εἰς τοῦτο μεταβῆναι μετακαλούμενοι. ἀλλ' ὥσπερ ἐπὶ τῶν Ἰσραηλιτῶν γέγραπται, τῆς ἐρυθρᾶς τμηθείσης θαλάσσης ἀβρόχως αὐτοὺς διαπεραιωθῆναι διὰ ξηρᾶς, ὡς τείχους ἐκ δεξιῶν καὶ τείχους ἐξ εὐωνύμων ἱσταμένου τοῦ ὕδατος, οὕτως ἐνταῦθα τεθαυματούργηται· ὡς γὰρ ῥεῦμα πανταχόθεν συντρέχοντες καὶ παρατειχίζοντες αὐτὸν οἱ πολέμιοι ψαῦσαι τούτου καὶ πόλεμον θαρρῆσαι οὐκ ἀπετόλμησαν, ἐν ὁμοιώσει δὲ δορυφόρων τὰς παραπομπὰς ἐπεποίηντο. ὅσοι δὲ πολεμήσοντες ἤλασαν, ἢ πίπτοντες οἰκτρῶς τὴν ψυχὴν ἀπεβάλοντο, ἢ τὴν ἧτταν ὡς ἐξ ἀκαταμαχήτου δυνάμεως ἀνελόμενοι οὐκέτι δευτέρως ἐπιχειρεῖν ἐδοκίμασαν. πᾶσα δὲ πόλις ἐπερχόμενον αὐτὸν ἐν

5. τούτους? 22. δευτέροις C.

iurandorum et pactionum facti sunt. sed hic intrepido et nobili animo divino suffragio res suas tribuens nullam rationem horum habuit: sed conferens pravitatem et iniurias eorum et se malos vinitores et turpes bono animo excussisse, ne gloriarentur huic convenire ad propositum studium et ascensionem regni et ipsi beneficia indigne reportarent, iter incipit: insidiantes autem, qui multi erant et undique confluebant, ululabant tanquam catuli et latrabant ut canes: quominus autem ad manus huic venirent et bellum consererent, metu et horrore retinebantur, licet saepe ad hoc transire excitati: sed ut de Iudaeis scriptum est, rubro mari diviso siccos eos transiisse per aridum muro a dextro et muro a sinistro adstante aquae, ita hic simile miraculum factum est: ut enim amnis undique concurrentes et circumvallantes eum hostes tangere hunc et bellum subire non sunt ausi: similitudine autem satellitum comitatum fecerunt: quicunque autem ad bellandum profecti erant, aut cadentes misere vitam amittebant aut cladem ut ex invicta potentia perpessi non iam rursus aggredi statuerunt: urbes autem omnes advenientem eum in alto et divino lacerto libenter et multa cum laude et clamoribus excipiebant. mercenarii

ὑψηλῷ καὶ θείῳ βραχίονι ἀσπασίως καὶ σὺν πολλῇ τῇ εὐφημίᾳ καὶ τοῖς ἀλαλαγμοῖς ὑπεδέχοντο. μισθοφορικὸν δ' ἐκ τῆς τοῦ ἀντιθέτου βασιλέως ἀποστολῆς τῇ κατὰ Βιθυνίαν Νικαίᾳ ἐπιξενούμενον καὶ συντηροῦν τῷ βασιλεῖ τὴν πόλιν δῆθεν ἀπερικτύπητον, πρὸ τριῶν ἡμερῶν καταλιπὸν τὸ ἐπίταγμα καὶ τῆς τοῦ πέμψαντος εὐηθείας κατορχησάμενον, μετὰ δουλικοῦ καὶ συντάγματος καὶ σχήματος ἀπήντησε τούτῳ τῷ Κοτυαείῳ προσμίξαντι. καὶ τὴν δουλείαν ὁμολογῆσαν καὶ τὸ τῆς πίστεως τρανολογῆσαν ὑπόδειγμα, προεπορεύετο καὶ προεκινδύνευε τούτου μετὰ τῶν ἰδίων ὅπλων καὶ ἵππων καὶ τῆς ἄλλης παρασκευῆς. διὰ θαύματος δ' ἐποιεῖτο πῶς οἱ θρασεῖς καὶ πολεμικώτατοι Τοῦρκοι τιθασσοὶ καὶ χειροήθεις γεγόνασι, καὶ τὸν δουλικὸν ζυγὸν ὑπελθεῖν κατατίθενται, καὶ περινοστοῦσι μὲν ἱππαζόμενοι, δορυφόρων δὲ τάξιν ἀποπληροῦντες εἰσί.

Καὶ ταῦτα μὲν ἐθαυματουργοῦντο μέχρι Νικαίας αὐτῆς, τοῦ προσκυνουμένου σημείου ἐπ' ὀνόματι τοῦ ἀρχιστρατήγου προηγουμένου πάντων, καὶ προφυλακτικῶς τὰς ὁδοὺς ὑπανοίγοντος, καὶ τὴν εἰς αὐτὸν πίστιν τοῦ βασιλεύοντος f. 225 v. στεῤῥὰν καὶ ἀκλόνητον ὑπεμφαίνοντος, καὶ τὴν χάριν διδόναι θαυμασίαν ἐξ ἔργων παραδεικνύοντος. τῇ δὲ Νικαίᾳ τῷ βασιλεῖ προσεγγίσαντι χορεία τις ἐναρμόνιος τοῖς ἐγχωρίοις συνέστη καὶ κρότος εὐφημίαις ὑπέρσεμνος, πάντων χαρμόσυνα θυόντων καὶ χαριστήρια, καὶ τῆς σωτηρίας προκηρυτ-

autem, qui ex oppositi regis missione Nicaeae Bithyniae versabantur et regi servabant urbem turbae expertem, ante tres dies relinquentes mandatum et eius qui eos miserat simplicitati insultantes servili et ordine et habitu obvenerunt huic qui Cotyaeo se coniunxerat et servitutem profitentes et fidei certum dantes documentum, progrediebantur et propugnabant huic cum suis armis et equis et cetero apparatu. miraculo autem fiebat, quomodo asperi et bellicosissimi Turcae mites et mansueti facti sint et ad servitii iugum subeundum se deponant et circumeant equitantes et satellitum ordinem impleant.

Atque haec quidem miraculose fiebant usque ad Nicaeam ipsam, cum adoratum signum sub nomine primi ducis praeiret omnibus et caute vias aperiret et regis fidem in eum firmam et inconcussam ostenderet, et gratiam reddere admirabilem secundum facta monstraret. regi autem Nicaeae appropinquanti chorus concinnus incolarum adstitit et clamor laudibus augustus, omnibus sacra gaudii et gratiae facientibus, et salutis nuntiantibus signa, ita ut et ipsi stuperent hostes atque tum

τόντων τὰ σύμβολα, ὡς καὶ αὐτοὺς ἐκπλαγῆναι τοὺς πολεμίους καὶ τότε βεβαιοτέραν τὴν ὁμολογίαν ἐπισυντάξασθαι τῆς δουλώσεως. καὶ γὰρ ἐπιβάντος αὐτοῦ τῆς τοιαύτης πόλεως μετὰ τῆς οἰκείας δυνάμεως, καὶ τὰς βασιλικὰς εὐεργεσίας καὶ στρατηγίας σαφῶς διατιθεμένου καὶ διατάττοντος, καὶ τιμαῖς περιβλέπτοις καταγεραίροντος τοὺς ἀστικούς τε καὶ ξενικοὺς καὶ ὅσοι τῆς στρατιᾶς καὶ τῆς ἄλλης διαμονῆς παρετύγχανον περὶ τὸν τῆς Νικαίας περίβολον, οἱ Τοῦρκοι δουλικῶς ἐστρατοπεδεύσαντο, καὶ τὴν εἰς αὐτὸν ἐπιταχθέντες εἴσοδον τῷ στήθει τὰς χεῖρας συνέπλεκον, καὶ τὴν θέαν τούτου μεγίστην εὐεργεσίαν ἐτίθεντο, καὶ συμπονεῖν αὐτῷ καὶ συμπράττειν τὰ θυμήρη κατεπηγγέλλοντο. διὸ καί τινες τῶν εὐπατριδῶν τῆς Περσίδος, ἀδελφοὶ κατὰ σάρκα καὶ φύσιν ὑπάρχοντες, καὶ τὴν τοῦ Κουτλουμούση ἐπωνυμίαν ἐκ πατρῴας προσηγορίας ἐφέλκοντες, τῆς σουλτανικῆς δὲ μερίδος καὶ ἐξουσίας ἀντιποιούμενοι καὶ τῷ ἐθνάρχῃ τῶν Οὕννων ἀντιταττόμενοι, καὶ κατὰ τοῦτο τῇ Ῥωμαίων προσφοιτήσαντες γῇ, καὶ κράτος ἑαυτοῖς ἀντίθετον ἐκείνῳ περιποιούμενοι, προσῆλθον αὐτῷ κατὰ Νίκαιαν. καὶ ὅπερ ἐν οὐδενὶ βασιλεῖ τῶν Περσῶν γένους ὄντες βασιλικοῦ οὔτε Ῥωμαίων κατεδέξαντο πρᾶξαι, τοῦτο πρὸς αὐτὸν παραδόξως ἀπέδειξαν, γόνυ τε κλίναντες καὶ προοδοποιεῖν αὐτῷ τὴν εἰς τὴν βασιλίδα ὁδοιπορίαν σὺν πολλῇ πεποιθήσει διασημαίνοντες. οὓς δὴ καὶ λόγοις καὶ τρόποις εὐσυνέτοις κοσμιωτέρους καὶ εὐνοϊκωτέ-

19. ἐν] ἂν?

firmius pactum componerent servitutis: etenim cum ingrederetur illam urbem cum suo exercitu et regia beneficia et imperia clare disponeret et ordinaret, atque honoribus illustribus ornaret urbis incolas et peregrinos et quicunque ex exercitu et reliqua sede aderant in Nicaeae circuitu, Turcae servilem in modum castra posuerunt et ad eius aditum imperati pectori manus implicabant, et eius conspectum maximum beneficium ponebant et se cum eo laborare et agere grata velle promittebant. quamobrem etiam nonnulli nobiles Persidis, fratres secundum carnem et naturam, et Cutlumusae cognomen ex paterno nomine ducentes, et sultani partes et potestatem affectantes, et duci Hunnorum oppositi et tum Romanorum imperio appropinquantes et potentiam sibi oppositam illi conciliantes, accesserunt ad eum Nicaeae: atque quod apud nullum regem Persarum, cum essent e genere regio, neque Romanorum sustinuerunt facere, hoc erga eum praeter spem ostenderunt, cum et genu flecterent et ut praeiret ad regiam ei cum multa fide significarent: quos quidem et verbis et moribus prudentibus modera-

ρους ἀπεργασάμενος, οὕτως εἰς τὴν ἑαυτοῦ δούλωσιν καὶ πίστιν διεθέρμανε καὶ τῆς αὐτοῦ βασιλείας ἐραστὰς ἀπειργάσατο, ὡς καὶ ἄλλους, ὃ δὴ λέγεται, γενέσθαι ἐξ ἄλλων καὶ τοῖς σὺν αὐτῷ Ῥωμαίοις ὁμονοῆσαι, καὶ μιᾶς γενέσθαι συμφυΐας καὶ δεσποτείας ἐν τῇ ἑνώσει τῆς πίστεως καὶ εἰλικρινοῦς διαθέσεως. τότε γὰρ πεπλήρωται τὸ προφητικόν, ὅτι πρόβατον μετὰ λύκων συμβοσκηθήσονται καὶ παρδάλεις μετὰ ἐρίφων.

Καὶ τί τὸ ἐντεῦθεν; στρατιώτας Ῥωμαίους μετ' αὐτῶν
ὁ Βοτανειάτης παραμετρήσας καὶ μίξας ἓν αὐτοὺς πεποίησε
σύνταγμά τε καὶ στράτευμα, καὶ εἰς τὴν ἀντιπέρας ὄχθην
τῆς βασιλευούσης, ἀπέστειλεν. οἳ καὶ προελθόντες, καὶ περὶ
τὴν Χαλκηδόνα καὶ Χρυσόπολιν πηξάμενοι τὰς σκηνάς, ἄρτι
τοῦ μαρτίου μηνὸς τῆς πρώτης ἰνδικτιῶνος ἐν ταῖς πρώταις
καλάνδαις τυγχάνοντος, πολλὴν θυμηδίαν τοῖς πολίταις ἐνῆ-
καν, μαθοῦσιν ὅτι τοῦ Βοτανειάτου ἀπόστολοι οὗτοι καὶ στρα- f. 226 r.
τιῶται κατέλαβον. ἦραν γὰρ φωνὴν ἅπαντες. καὶ χάριτας
ἀπένεμον τῷ θεῷ, καθότι Ῥωμαϊκὰς εἶδον δυνάμεις καὶ τοι-
αῦτα περιπετάσματα τῷ τόπῳ τούτῳ ἐπιδημήσαντα. χρόνος
γὰρ παρελήλυθεν ἱκανὸς ἀφ' ὅτου Ῥωμαίους οὐκ ἔσχεν ὁ τό-
πος ἐκεῖνος ἐπιφανέντας τὸ σύνολον. Τούρκων γὰρ ἐπὶ τῶν
ἡμερῶν τοῦ Μιχαὴλ ἐγίνετο καταγώγιον καὶ πολλῶν αἱμά-
των Χριστιανικῶν μολυντήριον, καὶ τὸ πᾶν ἔρημος καὶ ἀοί-

tiores benevolentioresque reddens ita sibi ad servitutem et fidem excitabat atque sui regni amantes fecit: ita ut etiam alii, id quod aiunt, fierent ex aliis et cum eius Romanis consentirent, et unius fierent coniunctionis et dominationis in unitate fidei et integrae constitutionis. tum enim vera facta est divinatio illa, oves cum lupis simul et pardales cum hoedis pastum iri.

Quid deinde? milites Romanos cum iis Botaniates aequans et miscens unum ex iis fecit ordinem et exercitum et in adversum litus urbis misit: qui etiam progressi et circa Chalcedonem et Chrysopolin figentes tentoria, cum modo adesset mensis martius primae indictionis primis calendis, multum gaudium civibus iniecerunt, cum animadverterent, Botaniatae missos hos et milites advenisse: sustulerunt enim clamorem omnes et gratias tribuerunt deo: quia Romanas videbant vires et talia praesidia ad hunc locum advenisse. tempus enim praeterierat sat magnum, ex quo Romanos non haberet locus ille apparentes omnino. Turcarum enim diebus Michaelis erat deversorium et multi sanguinis Christiani sordes et omnino locus vacuus et desertus et inaccessus erat. postquam autem tum apparuerunt Romanae domi-

κητος καὶ ἄβατος ἦν. ὡς δ' ἐφάνησαν τότε τὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐπίσημα, πάντας ὁμοῦ τοὺς Βυζαντίους εἰς θάρσος μεῖζον καὶ νίκης ἐλπίδα ἐπέλθησαν, ὅτι καὶ αἱ παράλιοι πόλεις ἅπασαι τοὺς τοῦ Βοτανειάτου πεζοὺς στρατιώτας παραγενομένους εὐθύμως ἐδέξαντο, τό τε τῶν Πυλῶν ἄστυ καὶ τὸ ἐν Πραινέτῳ καὶ αὐτὴ Νικομήδεια, ἧς ὁ στρατηγὸς πρὸ τῆς Νικαίας τῷ Βοτανειάτῃ μετὰ περιχαρείας ἀπήντησεν. οὐδὲ τὸ ἐν Ῥουφινιαναῖς πολίχνιον, καρτερώτατον καὶ δυσμαχώτατον ὂν καὶ στόμα τῆς μεγαλοπόλεως κείμενον, φροντίδα τοῦ Μιχαὴλ διὰ τὴν πρὸς τὴν βασιλίδα ἐγγύτητα καὶ προσέχειαν ἔθετο, ἀλλὰ καὶ αὐτοὺς πεζοὺς αὐτοῦ στρατιώτας ἐντὸς ὑπεδέξατο. καὶ δι' ὀλίγου καὶ ἀκαριαίου καιροῦ πάντα τὰ τῆς ἐκείνου αἱρέσεως ἐπληρώθησαν, καὶ πρὸς αὐτὸν πᾶσα ἡλικία καὶ φύσις μετέθετο. οὕτω θεία τις δύναμις πάντας συνώθει καὶ συνήργει πρὸς τὴν τοῦ ἐρχομένου βασιλέως οἰκείωσιν· ἐπεὶ καὶ οἱ περὶ τὸν βασιλεύοντα Μιχαήλ, ἐξ ὅτου περ οἱ τοῦ Βοτανειάτου τὴν πόλιν κατεῖδον κἀκεῖνος προσήγγισε, τῶν τοῦ Βρυεννίου κατά τινας ξυμβολὰς παρὰ προσδοκίαν περιεγίνοντο. στρατιώτας γὰρ ὁ Βρυέννιος ἀποστείλας εἰς τὴν τῆς Κυζίκου χερρόνησον τῆς αὐτῆς μὲν ὑποταγῆς ἐπειρᾶτο τοὺς ἐγχωρίους ποιήσασθαι καὶ δασμοφορεῖν αὐτοὺς ἤρξατο· στόλος δ' ἐκ τῆς βασιλίδος καταλαβὼν τούτους κατεπολέμησε, καὶ πολλοὺς τῶν ἐκ Κυ-

3. ἠρέθισαν interpres. ὅτε? 11. αὐτὸ τοὺς π.? 13. τὰ] τάχει?

nationis insignia, omnes simul Byzantios ad animum maiorem et victoriae spem excitarunt, quia etiam maritimae urbes omnes pedites Botaniatae milites advenientes libenter exceperunt, Pylarum oppidum et Praeneti et ipsa Nicodemia, cuius dux ante Nicaeam Botaniatae cum multo gaudio obvenit: neque oppidum, quod est in Rufinianis, firmissimum et maxime impugnabile et os megalopolis rationem Michaelis habebat, quia prope urbem et ei coniunctum erat: sed et ipsos pedites eius milites intus recepit. atque per paucum et breve tempus omnia eius partis impleta sunt, et ad eum omnis aetas et natura transibat: ita divina quaedam vis omnes premebat et conducebat ad regis venientis coniunctionem: quandoquidem etiam qui circa regnantem Michaelem erant, ex quo Botaniatae mitites urbem conspexerunt et ille appropinquavit, Bryenni milites quibusdam proeliis praeter exspectationem superabant: milites enim Bryennius mittens in Cyzici peninsulam in eandem ditionem studebat incolas redigere et vectigalia exigere ab iis coepit: classis autem ex urbe adveniens hos debellavit et multos Cyzicenos referens privata est his ad litus a Botaniatae mili-

ζίκου ἀνακομίζων ἀφῃρέθη τούτους πρὸς τῇ ἀκτῇ παρὰ τῶν τοῦ Βοτανειάτου στρατιωτῶν, ἤδη καταλαβόντος τὰς Προποντίους ἀκτὰς καὶ τὰς καθ' Ἑλλήσποντον. ἀλλὰ καὶ ὁ Λατῖνος Ῥουσέλιος ἀποσταλεὶς τὸ δεύτερον κατὰ τοῦ αὐταδέλφου τοῦ Βρυεννίου, μέχρις Ἡρακλείας Θρᾴκης ἀπολέμητος σὺν τοῖς στρατευομένοις καταλέλειπτο, καὶ τὴν πόλιν ταύτην ὀχύρωμα τοῦ ἰδίου στρατεύματος ἐποιήσατο, προφυλαττόντων πάντων καὶ προοδοποιούντων τῷ Βοτανειάτῃ τὰ νικητήρια.

Τὸ δ' ἀπὸ τοῦδε παρεσκευάζετο μὲν ὁ βασιλεὺς αὐτόν, λέγω τὸν θεοπρόβλητον Βοτανειάτην, εἰς τὸ χωρεῖν πρὸς τὴν βασιλεύουσαν ἐκ Νικαίας· πολὺ δὲ πλῆθος συρρέον ἐκ τῆς μεγαλοπόλεως πρὸς αὐτὸν ἐφοίτα, καὶ διεσώζετο παρὰ τῶν Τούρκων τὴν ἀπὸ θαλάσσης μέχρι Νικαίας νεμομένων περίχωρον. ὡς γὰρ ἐρωτῶντες αὐτοὺς πρὸς τὸν βασιλέα ἥκειν f. 226 v. *σπουδαίως ἐμάνθανον, εὐθὺς τούτους ὡς ὁμοδούλους καὶ συνήθεις πρὸς τὴν ὁδοιπορίαν παρέπεμπον ταχινώτερον. ἡμερῶν δὲ τινῶν διαγενομένων οὐκ ἤνεγκε τὸν πόθον ἡ εὐδαίμων καὶ προκαθεζομένη τῆς ἑῴας μητρόπολις καὶ τὸ τῆς δουλικῆς στοργῆς περιούσιον, καὶ τὸ πρὸ τῆς πόλεως προκαθῆσθαι σκηνίτας τοὺς ἐκείνου προασπιστάς τε καὶ στρατηγοὺς ἐν ἐκεχειρίᾳ καὶ ἀπραξίᾳ ἐν δεινῷ ποιησαμένη, τὴν ὠδῖνα τῆς βουλήσεως ἐκρηγνύει, καὶ κοινῇ ψήφῳ πάντες οἱ ἐν αὐτῇ τὸν Βοτανειάτην αὐτοκράτορα Ῥωμαίων καὶ δεσπότην ἀναγορεύ-*

tibus, qui iam occupaverat litora maritima et quae ad Hellespontum sita sunt. sed etiam Latinus Ruselius missus iterum contra fratrem Bryennii usque ad Heracleam Thraciae sine proelio cum militibus relictus erat, et urbem hanc praesidium sui exercitus fecit, conservantibus omnibus et prosequentibus Botaniatae tropaea.

Ex eo autem tempore se parabat rex (ipsum dico a deo praelatum Botaniatem), ut procederet urbem Nicaea. magna autem multitudo affluens e magna urbe ad eum veniebat et servabatur ex Turcis, qui loca a mari usque ad Nicaeam tenebant. cum enim interrogantes eos ad regem venire studiose intelligerent, statim hos ut collegas servitutis et coniunctos ad iter mittebant celerius. cum autem dies nonnulli praeteriissent, non tulit desiderium beata et praesidens orienti urbs et servilis amoris copiam et ante urbem sedere in tentoriis illius propugnatores et duces in pace et otio aegre ferens partum voluntatis edebat, et communi suffragio omnes in ea Botaniaten imperatorem Romanorum et dominum renuntiant cum multo et indomito conventu et clamore, cum modo festum adventus evangelii matris dei instaret, et venerunt omnes in commune et maximum dei aedificium:

ουσι μετὰ πολλῆς καὶ ἀκατασχέτου τῆς συνδρομῆς καὶ περιηχῆς, ἄρτι τῶν τοῦ εὐαγγελισμοῦ τῆς θεομήτορος ἐπιβατηρίων ἐφισταμένων. καὶ παρῆλθον ἅπαντες εἰς τὸ κοινὸν καὶ μέγιστον τοῦ θεοῦ οἰκητήριον. κἀκεῖσε μετὰ τῆς συνόδου συγκροτοῦσιν οἱ τῆς συγκλήτου λογάδες τὴν εὐφημίαν ὑπερφυῆ καὶ μετέωρον, προεξάρχοντος τούτοις καὶ αὐτοῦ τοῦ πατριάρχου θεουπόλεως μεγάλης Ἀντιοχείας, τῇ βασιλίδι ἐνδιατρίβοντος. καὶ πᾶς ὁ κλῆρος συννεύει, καὶ ὅσοι τῆς ἀγορᾶς, καὶ τῶν Ναζιραίων οἱ δοκιμώτατοι· ὁπότε καὶ ὁ Ῥουσέλιος πολεμήσας τοῖς ἀμφὶ τὸν τοῦ Βρυεννίου αὐτάδελφον κατὰ κράτος αὐτοὺς ἐτροπώσατο, τοῦ καιροῦ μαρτυροῦντος πάντως ὅτι τῷ Βοτανειάτῃ καὶ τὰ τῆς νίκης ταύτης θεόθεν κεχάρισται. καὶ τηνικαῦτα κατὰ φατρίας διαιρεθέντες οἱ τῆς πολιτείας ἐπώνυμοι καὶ πάντες οἱ τῆς Ῥωμαίων φυλῆς, ὥσπερ ἄνωθεν ἐκ θείας δεξιᾶς στρατηγούμενοι, συνταγματάρχαις τε αὐτόμαλοι ἐχρήσαντο, καὶ τῶν μὲν ἀνακτόρων, ἃ τὸ μέγα παλάτιον λέγεται κυριεύουσιν ἐξ ἐφόδου στρατιῶται ἐκ τοῦ Βοτανειάτου περαιωθῆναι παρασκευάσαντες καὶ τὸ φυλάττον ἐκεῖσε μισθοφορικὸν πολέμῳ καταπαλαίσαντες· καθαιροῦσι δὲ καὶ τὸν βασιλεύοντα Μιχαὴλ φυγόντα εἰς τὰ ἐν Βλαχέρναις ἀνάκτορα, καὶ πρὸς τὸν μοναχικὸν μετασκευάζουσι βίον, καὶ τῇ μονῇ τοῦ Στουδίου μετ' εὐτελοῦς τοῦ ὑποζυγίου προφυλακτικῶς παραπέμπουσιν, ὃς δὴ καὶ ἐμονάρχησε χρόνους ἓξ καὶ μῆνας ἕξ. καὶ προϊστῶσιν ἀρχὰς ὅσαι τήν τε τοῦ παλατίου φρουρὰν καὶ τὴν ἀγορανομικὴν εὐταξίαν διακοσμεῖν

20. εἰς om C.

ibique cum conventu constituunt qui e senatu electi erant salutationem ingentem et altam, praeeunte his etiam ipso patriarcha divinae urbis, magnae Antiochiae, qui in urbe versabatur: et omnis clerus adnuit et omnes forenses et Naziraeorum illustrissimi: quando etiam Ruselius bellans cum iis, qui circa Bryennii fratrem erant, vi eos fugavit, tempore testante omnino, Botaniatae etiam hanc victoriam divinitus datam esse: atque tum secundum gentes divisi qui in civitate censi erant et omnes, qui e Romana stirpe erant, quasi superne divina dextra ducti ordinum duces sua sponte secuti sunt, et regia, quod magnum Palatium dicitur, potiuntur milites Botaniatae subito transvecti, mercenariis, qui ibi praesidium agebant, bello divictis capiunt etiam regnantem Michaelem, qui confugerat in Blachernarum regiam, et ad monachicam instruunt vitam et ad monasterium Ztudii cum vili iumento caute mittunt: qui quidem regnaverat annos sex et menses sex; et constituunt magistratus, quotquot palatii praesidium et aedili-

ἔμελλον, μήτε τὸν στόλον ἐάσαντες ἀκυβέρνητον, ἀλλὰ κἂν τούτῳ δρουγγάριον ἐπιστήσαντες.

Οὕτω δὲ τῶν κατὰ τὴν πόλιν πραγμάτων ἐχόντων, καὶ βασιλέως καθαιρεθέντος ὁπλιτικὸν ἔχοντος ἐκ μισθοφορᾶς ἐν μυριάσι συναριθμούμενον, καὶ τοῦ Βοτανειάτου πολεμικῶς καὶ μαχίμως τὴν ὑπὲρ τῆς κοινῆς τῶν Ῥωμαίων εὐετηρίας ὁρμὴν ἐξαρτύσαντος, ἀναίμακτον ἅπαν καὶ ἀνώλεθρον συνεπεράνθη τὸ ἀποτέλεσμα, ὡς μηδὲ ῥῖνά τινος αἵματος γενέσθαι διάβροχον· ὅπερ δεῖγμα τῆς εἰς θεὸν αὐτοῦ πίστεως f. 227 r.
καὶ τῆς ἐκ θεοῦ προχειρίσεως τούτου σαφέστατόν τε καὶ οἰκειότατον. ἀλλὰ τὸ μὲν ἀπὸ βασιλέων ἔσχεν ὁ τῆς θεομήτορος ἐν Βλαχέρναις σηκὸς ἱερώτατος, καὶ περιέσωσεν ἐν αὐτῷ τὴν τρίχα καὶ τὸν κόσμον ἐκτιναξάμενον· τὸν δ' ἀπὸ λογοθετῶν καὶ τὸν τούτου προασπιστὴν Δαβίδ, τὸ τοῦ μεγάλου ἑταιρειάρχου κεκτημένον ὀφφίκιον, ὃς ἐκ παραγγελίας αὐτοῦ τοῦ ἀπὸ λογοθετῶν τὸν ἀρχιερέα τῆς ἱερᾶς τραπέζης ἐν τῷ θυσιαστηρίῳ τῆς τοῦ θεοῦ λόγου σοφίας βιαίως ἀνείλκυσεν, οὐδεὶς θεῖος δόμος ἐδέξατο καὶ περιέστειλεν ἔνδοθεν (ᾐδέσθησαν γὰρ προσελθεῖν καὶ προσρυῆναι ἐκείνοις ὧν τὴν καταφυγὴν ἄλλοις αὐτοὶ ἀπηγόρευσαν, καὶ ὧν ὕβριν καὶ ἀτιμίαν ἐκ προπετείας ἀτασθάλους κατέχεον), ἀλλὰ τῶν ἵππων ἐπιβάντες σὺν ὀλίγοις τῶν ἀμφ' αὐτοὺς πρὸς ἑσπέραν ἐξώρμησαν. καὶ καταλαμβάνουσι τὸν Ῥουσέλιον εἰς Ἡράκλειαν ἤδη τῆς κατὰ τῶν ἀντιπάλων νίκης τὰ χαριστήρια θύοντα· ὕστε-

tium ordinem adornaturi erant, neque classem reliquerunt sine gubernatore, sed etiam huic drungarium imposuerunt.

Cum autem sic in urbe res se haberent, et rex sublatus esset, qui exercitum gravis armaturae haberet mercede ad myriades numeratum, cumque Botaniates bellicose et fortiter communis Romanorum salutis studium gubernaret, sine cruore omnis et sine caede perfectus est exitus, ita ut ne nasus quidem cuiusquam sanguine tingueretur: id quod documentum eius fidei dei et divinae creationis huius certissimum est et maxime proprium: sed regem habuit dei matris in Blachernis templum sanctissimum et servavit, postquam in eo capillum et ornatum deposuit: logothetam autem et eius propugnatorem Davidem qui magni societatum ducis habuerat officium, qui quidem iussu logothetae summum pontificem a sancta mensa in ara sapientiae divini verbi vi detraxit, nulla divina domus excepit et texit intus: veriti enim sunt accedere et appropinquare illis, quarum confugio aliis ipsi interdixerant, et in quas superbiam et dedecus impia audacia effuderant: sed equos ascendentes cum paucis suorum ad oc-

ρον δέ, μετὰ τὸ ἐπανελθεῖν τὸν Ῥουσέλιον, ποιναῖς περιπίπτουσι, τῆς δίκης μετελθούσης αὐτούς.

Οἱ δ' ἐν τῇ βασιλευούσῃ φυλακὰς ἀμφοτέροις τοῖς ἀνακτόροις ἐπιστήσαντες, ὡς προείρηται, προσέμενον τῷ μεγάλῳ τεμένει, καὶ ἐπιστολὰς τῷ Βοτανειάτῃ δουλικὴν ἐχούσας τὴν ῥῆσιν ἀνέπεμπον, καὶ τὴν ἐπιδημίαν ὡς θεοῦ τῷ ὄντι ποθεινῶς ἐπετάχυνον. καὶ ἦσαν ἐπὶ τρισὶν ἡμέραις ἀβασίλευτον τηροῦντες τὴν πόλιν καὶ ἄσυλον, καὶ τοῦτο μονονουχὶ ἐπιφωνοῦντες συχνῶς ὅπερ καὶ ἐπὶ τοῦ ἐμοῦ Χριστοῦ οἱ παῖδές ποτε μετὰ κλάδων εὐφήμουν, τὸ "εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου βασιλεὺς εὐσεβέστατος". ὃ καὶ παραδοξότατον τοῖς ὅλοις διεγινώσκετο, καὶ οὐδενὶ τῶν ἁπάντων εἰς γνῶσιν ἐλήλυθεν ἢ ἱστορία παραδέδωκεν, ἵνα χηρεύουσα βασιλεύουσα πόλις μηδένα τῆς ἀρχῆς λογίσηται ἄξιον ἢ τὸν ἐρχόμενον ἔξωθεν καὶ προερχόμενον μετὰ βασιλικῆς πεποιθήσεως. ὅθεν καὶ ὁ στόλος ἅπας, ἄχρι Πραινέτου μετὰ συντάξεως ἀποπλεύσας, εὐφημίαις τοῦτον οὐρανοβάμοσιν ἐμεγάλυνε. καὶ πολλοὶ τῶν ἐν ἐξουσίαις πολιτῶν, οἷς τὸ βαδίζειν καὶ ἀποστάδ . . ἀσύνηθες ἦν, προτρέχοντες ἄχρι Νικαίας πεζοὶ τῷ βασιλεῖ τὰ εὐαγγέλια θερμῶς μετὰ πολλοῦ τοῦ ἄσθματος προηγόρευον, μηδένα φόβον τῶν Τούρκων εἰς νοῦν λαμβάνοντες, οἳ τὸν ἐν μέσῳ χῶρον ἀγεληδὸν περιέτρεχον. ἐν δὲ τῇ Πραινέτῳ διαναπαυσάμενος ὁ βασιλεὺς (πρὸς ἑσπέ-

cidentem processerunt et inveniunt Ruselium, qui Heracleae iam victoriae de adversariis reportatae gratias sacrificaret: posteaquam autem Ruselius rediit, in poenas incidunt iustitiae eos persequentis.

Qui autem in urbe erant, praesidia utrique regiae imponentes, ut dictum est antea, manebant apud magnum fanum et epistolas Botaniatae servilem habentes dictionem mittebant, et adventum tanquam dei revera cupide accelerabant: et per tres dies sine rege servabant urbem et incolumem, et hoc paene pronuntiabant crebro, quod etiam meo tempore Christi filii cum ramis celebrabant: „salutatus qui venit nomine domini rex piissimus“: id quod etiam maxime inexspectatum universis cognoscebatur neque cuiquam omnium in notitiam venit aut historia tradidit, orbam urbem quenquam imperio habuisse dignum nisi venientem extrinsecus et procedentem cum regia confidentia: quare etiam classis omnis usque ad Praenetum ordine navigans salutationibus hunc coelestibus tollebat et multi cives magistratibus praediti, qui longius abire non solebant, procurrentes usque ad Nicaeam pedites regi nuntium bonum calide cum multo sudore pronuntiabant, nullum metum Turcarum animo concipientes, qui interiectum locum gregatim percursabant. Praeneti autem quiescens rex (nam occidentem

ραν γὰρ ἐκεῖσε κατέλαβε) παννύχιος πᾶσιν ὡμίλει καὶ περιχαρῶς προσεδέχετο, καὶ τιμαῖς ἀπλέτοις καὶ χαρίσμασιν ἀναριθμήτοις αὐτοὺς ἐκόσμει καὶ κατελάμπρυνεν. εἶτα πρωιαίτερον τῆς βασιλικῆς νεὼς ἐπιβὰς εὐθὺ τῆς βασιλευούσης ἐξώρμησε, σαλπίγγων καὶ βυκίνων περιηχήσεσι καὶ κρότοις κυμβάλων καὶ φωναῖς εὐφήμοις καὶ μεγαλουργίαις ἀπείροις τὴν καταπληκτικῶς ἐνδεικνύμενος. ἡ δὲ θάλαττα πᾶσα κατεδενδροῦτο τοῖς πλοίοις, καὶ ἐμιμεῖτο ἀγρὸν παντοίοις δένδροις f. 227 v. συνηρεφῆ κατάκομον· μέτρον γὰρ οὐκ ἦν τῶν προϋπαντώντων αὐτῷ καὶ τὴν εὐφημίαν ὑπεραιρόντων καὶ ᾀδόντων τὴν τῶν ἐπιβατηρίων χαρμόσυνον ἑορτήν. μικροῦ γὰρ πᾶν γένος ἀνθρώπων καὶ ἡλικία πᾶσα χορείας καὶ πανηγύρεις ὑμνοπόλων ἐστήσαντο, καὶ ἀπαρχὰς τῆς ἑαυτῶν ἀνακλήσεως τῷ θεῷ καθιέρωσαν. τοῦτον τὸν τρόπον μέχρι τῶν ἀνακτόρων πλεύσας, καὶ κατὰ γῆν μείζονι τῇ φρυκτωρίᾳ καὶ τῷ περιβοήτῳ θαύματι καὶ κινήματι καὶ τοῖς ἐγκωμίοις ἁπάντων καταστεφθείς, αὐτῶν ἐπιβαίνει τῶν ἀνακτόρων καὶ τὸ ἄκρατον κράτος τῆς βασιλείας ἐν ἐξόχοις τερατουργήμασιν ἐπενδύεται.

Τὸ δ' ἀπὸ τοῦδε τίς λόγος ἐκφράσει καὶ διηγήσεται; τὸ ἐν ἀξιώμασι καὶ τιμαῖς περιβλέπτοις καὶ μεγαλοπρεπέσι διηνεκὲς καὶ ἀνένδοτον, καὶ τὸ ἐν δώροις καὶ χαρίσμασι ὑπερφέρον καὶ ὑπερεκχυνόμενον, ὡς λῆρον εἶναι τὸν Πακτωλὸν ἐκεῖνον καὶ Χρυσορρόαν, οἳ τὴν τῶν Λυδῶν παραρρέον-

6. τὴν] τὴν παρουσίαν vel τὴν εἴσοδον? 18. ἐπενδύετο C.

versus contendit) per totam noctem cum omnibus versabatur eosque hilarissime excipiebat et honoribus ingentibus et gratiis innumerabilibus eos ornabat et illustrabat: deinde mane regiam navem ascendens statim urbem contendit, tubarum et buccinarum clangore et planctu cymbalorum et vocibus gratis et magnificentia immensa dignitatem valde ostentans: mare autem omne ut arboribus densabatur navigiis et imitabatur agrum variis arboribus tectum et comatum: metrum enim non erat eorum, qui obvenirent ei et salutationis clamorem tollerent et canerent hilare adventus festum: paene enim omne genus hominum et aetas omnis choros et conciones hymnos canentes constituerunt, et primitias suae renuntiationis deo dedicarunt. hoc modo usque ad regiam navigans et terra maiore facium signo et claro miraculo et motu et laudibus omnium coronatus ipsam regiam ascendit, et plenam potentiam regni ingentibus prodigiis induit.

Ex eo autem tempore quae oratio enarrabit et dicet eius in dignitatibus et honoribus illustribus et magnificis constantiam et firmitatem et in donis et gratiis ingentem et effusam rationem: ita ut nugae sint Pactolus ille et Chrysorroas, qui Lydorum praeterfluentes terram

τες γῆν χρυσὸν τοῖς ῥεύμασι παρασύρειν ἱστόρηνται. οὐδὲ Νειλῷα ῥεύματα πάντα πρὸς τὸ ἄκρον τῆς τῶν δωρημάτων αὐτοῦ περιουσίας παρεμετροῦντο. καὶ τὸ θαῦμα τοῖς ὅλοις ὑπερθαύμαστον ἦν, ὅθεν τὰ τοῦ πλούτου καὶ τῆς ἀφθονίας ταύτης τοῖς ἀνακτόροις ἐπήντλητο. εἰ γὰρ κρουνοὶ χρυσῶν ῥείθρων ἄρτι νέον ἐξ ὑποβρυχίων τούτου μερῶν ἐπηγάσθησαν, οὐκ ἂν εἰς τοιαύτην μετάδοσιν καὶ προαίρεσιν ἐν ὀλίγαις ἡμέραις ἀρκέσαι ηὐτόνησαν. νῦν δὲ τῆς φύσεως μὴ δεδωκυίας τοιαῦτα, φαίνεται τὴν ὑπέρφωτον χύσιν τῆς τριλαμποῦς τριάδος ὑπὲρ φύσιν κατάλληλον τῇ προαιρέσει τὴν χορηγίαν αὐτῷ προμηθεύεσθαι τῶν τηλικούτων πλουτοποιῶν ἐπιδόσεων καὶ τῶν ἀπείρων πρὸς ἄπειρα πλήθη φιλοτιμημάτων καὶ δεξιώσεων. τὸ γὰρ εὐτελὲς δῶρον πεντεκαίδεκα λιτρῶν ὑπῆρχεν ἀπόδεσμος, ἀκινήτων κτήσεων ἑκατοντάλιτροι δωρεαί, πρὸς οὓς δὲ καὶ δὶς τοσούτων καὶ τρίς, ὀφφικίων παντοίων ἐπαντλήσεις καὶ παροχαί. καὶ ἵνα τι συνελὼν εἴπω, πᾶν εἶδος χαρισμάτων τοῖς προλαβοῦσιν ἐπεψηφίζετο. οὐ γὰρ ἐν περιλάμπροις ἀξιώμασι μόνον τῶν βασιλικῶν εὐεργετημάτων τὸ γέρας ἐδείκνυτο, ἀλλὰ καὶ ἐν ὀφφικίοις καὶ ἀγροῖς καὶ χρυσίοις καὶ ἀποσκορακίσει ἐπηρειῶν καὶ παντὶ τῷ ποθουμένῳ τε καὶ συμφέροντι. οὐδεὶς γὰρ ᾔτησε τῶν ἁπάντων ὃς οὐ παραυτίκα τῆς αἰτήσεως ἔτυχε. καὶ μᾶλλον ἱεροὶ ναοὶ καὶ θεῖα τεμένη καὶ φροντιστήρια πάντα καὶ ἱλαστήρια· κοινὸν

4. an πόθεν? 7. ταύτην C.

aurum omnibus trahere dicti sunt: neque Nili amnes omnes pro summa eius donorum copia aestimabantur: atque miraculum universis ingens erat: unde divitiae et copia in regia accumulatae erant. etenim si fontes aureorum amnium recenter ex humidis eius partibus adducerentur, non ad hanc liberalitatem et voluntatem per paucos dies sufficere valerent. sic autem cum natura talia non dederit, videtur effusio divina ter lucentis trinitatis supra naturam respondentem voluntati curasse ei tales divites accessiones et immensas ad immensam multitudinem donationes et largitiones: vile enim donum quindecim librarum erat vectigal, immotarum possessionum dona centum librarum: praeterea etiam duplo et triplo officiorum variorum accessiones et largitiones, atque ut brevi dicam, omne genus munerum amplioribus decernebatur: neque enim in illustribus dignitatibus solum regiorum beneficiorum honor apparebat, sed etiam in officiis et agris et pecuniis et expulsis minis et omnibus quae desiderantur et utilia sunt: nemo enim omnium rogavit quid, quin statim rogatione potiretur: magisque templa sancta et divina fana et monasteria omnia et clementiae sedes: communis enim erat beatitudo in omnibus, et communis beneficientiae

γὰρ ἦν τὸ τῆς εὐδαιμονίας ἐν ἅπασι, καὶ κοινὴ τῆς εὐεργεσίας ἡ ἐπιμένεια. ἐφ' οἷς καὶ ἀπορία πάντας κατεῖχε καὶ θάμβος ἐξαίσιον, πῶς τοῦ προβεβασιλευκότος Μιχαὴλ πενίαν θρηνοῦντος ἀεὶ καὶ ἀπορίαν δεινήν, καὶ ἀδύνατον αὐτῷ τὴν χεῖρα καθεστάναι πρὸς εὐεργεσίαν μικρὰν ἐπιλέγοντος διὰ τὸ τῆς βασιλείας τάχα δυστύχημα, ἐκ ποίων πηγῶν οὗτος ὁ μετ' ἐκεῖνον τὰ Ῥωμαίων σκῆπτρα ἐγχειρισθεὶς τοσαύτας ἀνεκδιηγήτους εὐεργεσίας καὶ δόσεις καὶ πλουτοποιὰ χαρίσματα f. 228 r. ἐνεδείξατο, καὶ τιμὰς ὑπὲρ ψάμμον καὶ χορὸν οὐρανίων φωστήρων. καὶ τῶν μὲν ἄλλων ἡμερῶν τὰς τιμὰς διὰ τὸ πλῆθος καὶ τὸ ἀόριστον σιγῇ παραδέδοται· τὰ δ' ἐπὶ τῇ τῶν βαΐων κυριακῇ πάντας ἀμωσγέπως ἐξέπληξαν. πᾶσα γὰρ ἡ σύγκλητος, ὑπὲρ μυριάδας ἀνδρῶν παραμετρουμένη, κατ' ἄνδρα καὶ κεφαλὴν μεγάλων ἠξιοῦντο τιμῶν, τετραρίθμους καὶ πενταρίθμους βαθμοὺς ὑπερβαινουσῶν, ὡς μηδὲ αὐτὸν τὸν πρωτοβεστιάριον ἐκ τοῦ βασιλέως δύνασθαι παραλαμβάνειν τοὺς τιμωμένους καὶ τὰς ἀξίας ἐπιφωνεῖν, ἀλλὰ συναντᾶσθαι παρὰ τῶν τιμῶν συχνῶς καὶ ὑποστρέφειν ἐπὶ τὴν προβολὴν καὶ αὖθις ἀνθυποστρέφειν, ἢ καὶ ἐπὶ τοῦ αὐτοῦ ἱστάμενον ἄλλ' ἐπ' ἄλλοις καταλαμβάνοντας ἐπισπεύδειν αὐτ . . τὰς τιμωμένων ἐκφωνήσεις, καὶ μόχθον σχεῖν τηλικοῦτον ὅσος αὐτῷ καὶ τὴν φωνὴν περιέκοψεν. εἴπω τι ἀστειότερον; οἱ ἀργοὶ καὶ πένητες τῆς βασιλευούσης, οἱ ταῖς ἐπισκεπέσι τῶν λεωφόρων, αἵπερ

11. παραδέδωκα?

assiduitas: propter quae etiam dubitatio omnes tenebat et admiratio ingens, quomodo cum superior rex Michael inopiam quereretur semper et egestatem diram, et infirmam sibi manum esse diceret ad beneficium parvum propter regni fortunam, ex qualibus fontibus hic qui post illum Romanorum sceptrum acceperat tanta inenarrabilia beneficia et dona et divites largitiones ostendisset et honores supra arenam et chorum coelestium luminum. atque quod ceterorum dierum honores attinet propter multitudinem eorum et infinitum numerum silentio traditi sunt: quae autem die dominica palmarum acciderunt, omnes aliquo modo excitarunt. omnis enim conventus myriades hominum excedens viritim et secundum capita magnis ornabatur honoribus quatuor et quinque gradus superantibus, ita ut ne ipse quidem protovestiarius a rege posset accipere honoratos et dignitates pronuntiare sed obrueretur honoribus saepe et cederet ad suffragium rursusque recederet aut etiam in eodem loco stans perpetuo auctas accelerarет honoratorum pronuntiationes et laborem haberet tantum, ut ei et vocem conficeret. dicam quid urbanius: desides et pauperes urbis qui in

ἔμβολοι λέγονται, περινοστοῦντες καὶ ἐμφωλεύοντες, καὶ παρασίτων τάξιν ἢ κολάκων ἢ τόγε ἀληθέστερον εἰπεῖν προσαιτῶν ἐπέχοντες, συνήθως ἔχοντες ταῖς οἰκίαις τῶν τιμωμένων ἐπιφοιτᾶν καὶ προφημίζειν ἐν εὐχαριστίᾳ μεγαλουργῷ τὴν βασιλέων χάριν καὶ τὸ τῆς τιμήσεως ἐπιφανὲς καὶ περίολβον, καὶ αὐτοὶ ἐκ πενήτων γεγόνασι πλούσιοι καὶ εὔποροι ἐξ απόρων τῇ συνεχείᾳ καὶ τῷ πολυαρίθμῳ τῶν τιμωμένων, ἁδρὰν καθ' ἑκάστην χρυσίου ποσότητα παρὰ τούτων εἰσκομιζόμενοι. γίνεται γὰρ ἡ δόσις παρὰ πάντων τῶν εὐδαιμονούντων ὡς ἐξ ἐράνου, ἣν καὶ συνήθειαν τοῦ Χριστοῦ ἀστεϊζόμενοι λέγουσι. προϊούσης δὲ τῆς εὐεργεσίας εἰς ἀναρίθμητον στῖφος, καὶ πρὸς τὸ πανταχόθεν περιτρέχειν τῆς πόλεως καὶ λαμβάνειν καὶ οὗτοι ἀπέκαμον, κἂν ἐπικερδὴς ἦν ἡ αἰτία τῆς διὰ πάντων ἐπιφοιτήσεως· ἡ γὰρ ἀμετρία τῶν πόνων πείθει καὶ κέρδους τοὺς οὕτω κεκμηκότας περιφρονεῖν.

Ἀλλ' ἐπὶ μὲν τῶν πολιτῶν καὶ τῶν σὺν αὐτῷ κὰν τῇ βασιλευούσῃ προϋπόντων στρατιωτῶν τὰ τοιαῦτα ἐτερατουργοῦντο καὶ ξενοτρόπως ἐπράττοντο, ἐπὶ δὲ τῆς ἐθνικῆς μερίδος ὑστέρει τὸ κατορθούμενον. οὐ μὲν οὖν, ἀλλ' ἐπ' ἐκείνων μᾶλλον τὰ βραβεῖα προσεπετείνοντο. οἱ γὰρ Κουτουλμούσιοι Τοῦρκοι μετὰ πλήθους Οὐννικοῦ ἐν Χρυσοπόλει κατασκηνούμενοι πλειόνων ἀγαθῶν, ὡς τὴν δουλικὴν στοργὴν καὶ πίστιν τηροῦντες τῷ βασιλεῖ, παραπήλαυον. καὶ οἱ προεξάρχοντες

tectis viarum publicarum, quae quidem porticus dicuntur, versantur et latent et accubitorum ordinem vel adulatorum vel ut verius est dicendum mendicantium obtinent, solentes ad domus honoratorum accedere et celebrare in gratia magnifica regum clementiam et honorem illustrem et valde beatum, et ipsi ex pauperibus facti sunt divites, et pollentes ex egenis continuitate et magno numero honoratorum sat magnam quotidie pecuniae copiam ab his ferentes. fit enim donum ab omnibus beatis quasi ex symbolis, quam etiam consuetudinem Christi elegantiores dicunt. procedente autem beneficientia ad immensum acervum, etiam ad omnes partes urbes currere et accipere vel hi defatigati sunt, licet lucrum afferret causa ubique adveniendi. immoderati enim labores adducunt sic defatigatos, ut etiam lucrum negligant.

Sed inter cives quidem et milites, qui cum eo et in urbe adessent, talia mire fiebant et hospitaliter agebantur: in pagana autem parte tardabatur beneficium. sed in illos magis praemia extendebantur. Cutulmusii enim Turcae cum multitudine Hunnica Chrysopoli versantes plura bona ut servilem amorem et fidem servantes a rege nacti sunt et principes exercitus eorum (amerades solet hos vocare et se-

τοῦ στρατοῦ αὐτῶν (ἀμηράδας οἶδε τούτους καλεῖν καὶ σελαρίους ἡ τῶν Τούρκων φωνὴ) τὴν βασιλίδα καταλαμβάνοντες ἐν δουλικῷ τῷ σχήματι καὶ φρονήματι, τὰς χεῖρας καὶ τοὺς κόλπους ἐξῆγον πεπλησμένας χρυσῶν καὶ ὑφασμάτων πολυτελῶν. καὶ αὐτοῖς τοῖς Κουτουλμουσίοις καθημερινή τις f. 228 v. ἡ ἐκ τῶν βασιλικῶν θησαυρῶν καὶ ἀναρίθμητος ἐπίρροια ἐπεγίνετο· καὶ διὰ τοῦτο τυμπάνων ἠχὴ καὶ εὐφημία παρὰ τοῦ φοσσάτου τῶν Τούρκων πολυειδὴς ἐκ Χρυσοπόλεως ἀνεπέμπετο. καὶ πανταχόθεν εὐφημίαι καὶ χάριτες συνεκροτοῦντο καὶ τὴν πόλιν ἐστεφάνουν καὶ τῆς προτέρας ἀνεκτῶντο στυγνότητος, ὡς ἀνάπλασιν μιμεῖσθαι τὴν τοῦ θεοσδότου τουτουὶ βασιλέως ἐπιδημίαν καὶ τὴν μεγαλουργίαν τῆς πράξεως. τὸ δὲ πάντων θαυμασιώτερον, ὅτι μηδὲ τὸ παλάτιον εὗρεν, ὃ πρὸ αὐτοῦ κατεῖχεν, ἄσυλον καὶ ἀπόρθητον, ἀλλ' ἀποσεσυλημένον καὶ περιῃρημένον τοῖς ὅλοις καὶ παντὸς χρυσοῦ καὶ ἀργύρου καὶ ὑφάσματος ἐψιλωμένον, παντάπασιν ἐν τῇ συγχύσει τῆς ἐκείνου καταστροφῆς ἀπογυμνωθέν. ὅσα δὲ μᾶλλον εὗρε τοῦ ἀπὸ τῶν ἐκκλησιῶν ἀφαιρεθέντος παρὰ τοῦ προβασιλεύσαντος κόσμου καὶ τῶν κειμηλίων περισωζόμενα, πάντα ταῖς ἐκκλησίαις καὶ τοῖς θείοις σηκοῖς ἀνταπήνεγκε, μὴ δείσας ὅλως ἀπορίαν, καὶ τῷ καιρῷ τὰ πρόσφορα τῆς χρείας προσενεγκών· ὅπου γὰρ θεὸς τὸ θεραπευόμενον, ἅπαν ἕτερον ἐν δευτέρῳ ἐτίθετο.

Ἕτερον δέ, τούτων οὐκ ἔλαττον εἰς ἐγκώμιον. ἐν ταῖς

larios Turcarum lingua) urbem obtinentes servili habitu et animo, manus et sinus efferebant impleta auro et textis pretiosis: atque ipsis Cutulmusiis quotidiana e regiis thesauris et innumerabilis accessio fiebat: et propterea tympanorum sonus et celebratio a fossato Turcarum varia Chrysopoli edebatur: et undique celebrationes et grates plaudebantur et urbem coronabant, et e priore restituebant tristitia, ita ut transformationem aequaret dati a deo huius regis adventus et magnificentia actionis. maxime autem mirum, quod ne palatium quidem invenit, quod ante eum obtinebat integrum et intactum, sed spoliatum et direptum omnibus, et omni auro et argento et textis orbatum omnino, in confusione cladis illius denudatum: quae autem invenit ornamentorum et insignium ex ecclesiis a priore rege detractorum servata, omnia ecclesiis et divinis templis reddidit, non timens omnino inopiam: et occasioni utilem usum addens. Ubi enim deus cultum omnem alium secundo loco ponebat.

Alium non minus in laudem: in maritimis litoribus, quae re-

παραλίοις ἀκταῖς ταῖς τὴν βασιλίδα περιζωννυούσαις τῶν πόλεων προτειχισμάτια διὰ ξύλων ἐκ χρόνων μακρῶν γενόμενα, καὶ τῇ γείτονι θαλάσσῃ οἷον περιπλεκόμενα ἢ περιπτυσσόμενα ἢ τοὺς ἑλιγμοὺς αὐτῆς ἀντωθούμενα, καὶ ταῖς καταίρουσιν ὁλκάσι καὶ τοῖς ἐκ γῆς ἐμπόροις εὐμάρειαν πρὸς τὴν στάσιν καὶ τὴν τῶν συναλλαγμάτων σύστασιν παρεχόμενα (σκάλαι τῇ κοινῇ διαλέκτῳ κατονομάζονται) δεσπότας εἶχον καὶ ἄλλους τινάς· ἐπὶ πλέον δὲ τῶν λοιπῶν δεσποτείαν ἐκέκτηντο τά τε πτωχοτροφεῖα καὶ νοσοκομεῖα καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι καὶ φροντιστηρίων διάφορα, οὐ μόνον δ' ἐν τῇ βασιλευούσῃ ἀλλὰ καὶ ἔν τισι τῶν ἐπινείων αὐτῆς. καὶ ἁπλῶς αἰγιαλοὶ πάντες δεσπότας εἶχον τοὺς ἐξ ἠπείρου δεσπόζοντας κατὰ τὰ πάτρια νόμιμα καὶ τὰς βασιλικὰς διατάξεις, αἳ τὰ πρόθυρα τῆς θαλάσσης τοῖς παρακεκτημένοις ἐν τῇ γείτονι χέρσῳ παρέχουσι. τούτων ὁ πρὶν βασιλεύων πάντας τοὺς δεσπότας τῆς κυρεότητος ἰταμῶς ἀπεστέρησε, προφάσεις ἐπανατείνας ἑώλους τε καὶ γεγηρακυίας καὶ ὅλον ἐχούσας τὸ ἐνδομυχοῦν εὐκατάγνωστον, συνεργοῦντος αὐτῷ θερμότερόν τε καὶ βιαιότερον τοῦ τῆς τῶν Νεοκαισαρέων ἐκκλησίας προβεβλημένου. τυραννικῶς γὰρ μᾶλλον ἢ ἀρχιερατικῶς τὸν ἐμπιστευθέντα τούτῳ θρόνον τῆς τοῦ βασιλικοῦ σακελλαρίου προβολῆς διοικῶν, ἐμισήθη τε παρὰ πάντων καὶ διὰ τὰς ἀπηνεστέρας πράξεις ἀπηνεστέραν

2. *προτειχίσματι* C. 3. *περιπλακόμενα* C. 12. *δεσποτείας* C.

ginam urbium cingunt, propugnacula lignis ex longo tempore facta et vicino mari quasi circumvoluta aut circumtecta aut aestus eius repellentia et appellentibus navibus tractoriis et terrestribus mercatoribus facultatem standi et pacta componendi praebentia: scalae communi dialecto vocantur: dominos habebant et alios quosdam: magis autem ceteris dominationem habebant et hospitia pauperum et nosocomia et cetera pia aedificia et monasteria, varia non solum in urbe sed etiam in quibusdam portibus eius.

Atque omnino litora omnia dominationes habebant, e continenti dominos secundum patrios mores et regias constitutiones, quae aditus maris iis, qui possessores sunt in vicina continenti, praebent. horum prior rex omnes dominos potestate impudenter privavit, praetexta extendens decrepita et obsoleta et omnino occulta et vituperabilia, cum auxiliaretur ei calidius et violentius praeses ecclesiae Neocaesareae. tyranni enim magis quam pontificis summi ratione creditum huic thronum praesidii regii sacellarii administrans et odio habitus est ab omnibus et propter crudeliora facta crudeliorem paene periculum subiit inveniendi exitum, repudiatus et a plurimis collegis munerum et pontificibus summis ut societate eorum indignus, quia terrenis

μικροῦ δεῖν ἐκινδύνευσεν εὑρεῖν τὴν ἀπόβασιν, ἀποκηρυττόμενος καὶ παρὰ τῶν πλείστων συλλειτουργῶν καὶ ἀρχιερέων ὡς τῆς f. 229 r. μετ' αὐτῶν κοινωνίας ἀνάξιος διὰ τὸ τοῖς κοσμικοῖς προσομιλεῖν ἀγριώτερον, καὶ θεσμοὺς πατέρων καὶ ἀποστολικοὺς ἀθετεῖν κανόνας, καὶ μυρίαν τῷ βίῳ καὶ τοῖς εὐαγέσιν οἴκοις καὶ θείοις ἐπιφέρειν τὴν συμφοράν. καὶ εἰ μὴ κατέλυσε τὰ τοιαῦτα τούτου ἐγκλήματα ὁ τότε κρατῶν αἰτήσει τῇ πρὸς τοὺς ἀρχιερεῖς καὶ μεγίσταις ταῖς ἀξιώσεσι, καὶ αὐτὸς φυγαδίας ἐκ τῆς κοσμικῆς κακοποιίας καὶ τοῦ θρόνου τῶν λαϊκῶν ἐγεγόνει, κἂν ἔκειτο καθῃρημένος καὶ σπίλῳ ἀτιμίας καταχραινόμενος. ἀλλὰ καὶ ὣς οὐκ ἤνεγκε τὸ πῦρ ὁ κηρός· καὶ τοῦ φιλοχρίστου βασιλέως ἐπιδημήσαντος φρίκη θανάτου καὶ διάλυσις τῆς ζωῆς αὐτῷ ἐπεγένετο, περὶ τὸ τοῦ Πόντου στόμα, ἔνθα τι φρούριόν ἐστιν ἀτίμων ἀνδρῶν κακὸν ἐντάφιον, τὴν ἐκεῖσε καταστροφὴν κομισάμενος, ὡς καὶ τὴν κόνιν αὐτοῦ ἀντὶ ἐπιτυμβίων χοῶν τοῖς λίθοις ἀτιμασθῆναι τῶν μισούντων αὐτοῦ τὸ κακόηθες. ἀλλ' ὁ φιλόχριστος οὑτοσὶ βασιλεύς, πόρρω τὴν τοῦ πρώην βασιλεύσαντος μικρολογίαν ἐκτιναξάμενος, καὶ δεῖν ἀποδεδόσθαι τὰ τοῦ θεοῦ τῷ θεῷ ἐπειπών, καὶ μηδεμίαν φειδὼ τοῦ δημοσίου καὶ τῆς κατεπειγούσης χρείας προσφόρως θέμενος, ὃ καὶ ἀξιεπαινώτατον πολλῆς τῆς ἐκ τούτων ἐνορωμένης προσόδου, ἀποκαθιστᾷ τὰς τοιαύτας παραλίους σκάλας τοῖς πρωὴν δεσπόταις, ἐξ ὧν ἀπεσπάσθησαν, καὶ χρυσοβούλλῳ γραφῇ τὸ ἀμετάθετον καὶ ἀπερικτύπητον τούτων αὐτοῖς ἐμπεδοῖ, καὶ γίνεται πᾶσι βοη-

se coniungebat furiosius et leges patrum atque apostolorum tollebat canones, et ingens vitae et piis aedificiis et divinis afferebat malum: atque nisi solvisset talia huius probra qui tum dominabatur rogando sacerdotes summos et maximis dignitatibus, et ipse exsul terrenae pravitatis et throni laici factus esset, et iaceret sublatus et saxo ignominiae inquinatus: sed vel sic non tulit ignem cera: atque cum Christi amans rex adveniret, horror mortis et dissolutio vitae ei accidit, cum circa maris ora, ubi castellum aliquod est turpium hominum commune sepulcrum, obitum ferret: ita ut etiam cinis eius pro inferiis lapidibus dehonestatus sit eorum, qui eius pravitatem odissent. sed Chrisi amans hic rex, longe superioris regis humilitatem excutiens, et oportere reddi quae dei essent, deo pronuntians neque ullam parsimoniam aerarii et prementis usus utilem putans, id quod etiam maxime laude dignum, cum magnus ex his appareret reditus, restituit has maritimas scalas prioribus dominis, quibus demtae erant, et imperatoriis literis

θὸς καὶ ἀντιλήπτωρ, καὶ οὐ μόνον βασιλεὺς ἀλλὰ καὶ πατὴρ ἀγαθός· ἀνίχνευε γὰρ διὰ παντὸς καὶ φροντίδα μεγίστην ἐτίθετο τὸ ἅπαν ἐξᾶραι ἀπὸ προσώπου τῆς γῆς ἀδίκημα καὶ ἀνόμημα.

Τέλος δὲ τῶν βασιλικῶν εὐεργετημάτων καὶ διαδόσεων οὔτε κόρος τὸ σύνολον ἦν, οὔτ' εἰπεῖν αὐτῷ ἐξεγένετο τὸ παρ' Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐνίοτε προφερόμενον, ὅτε μὴ εὐεργετήσας ἔτυχε, τὸ "σήμερον οὐκ ἐβασίλευσα." πᾶσα γὰρ ἡμέρα παντὸς δωρήματος τελείου καὶ παροχῆς ἀφθόνου τοῦτον ἔχει παροχέα καὶ ἀφθονώτατον πρύτανιν· καὶ διὰ πάσης ἀφορμῆς ἐχώρει ἐφ' ᾧ μηδένα τῆς ἐκ τούτου εὐποιίας ἀπολειφθῆναι ἀπείρατον. ἐπῄνει γὰρ καὶ τὸν τοξότην ὡς εὐστόχως βάλλοντα καὶ τὸ βέλος ἐπὶ σκοποῦ συντιθέμενον, καὶ τὸν λογχίτην ὡς ἀκραιφνέστατον διαδορατίζοντα καὶ τὴν λόγχην εὐθυβόλως ἐπισυστρέφοντα, καὶ τὸν ἱππότην ὡς τοῖς νώτοις τοῦ ἵππου ἀτρεμαίως ἐπικαθήμενον ἐν τῷ θεῖν, καὶ τὸν ὁπλίτην στρατιώτην ἐν ἅπασι, καὶ τὸν ψιλὸν καὶ ἀπέριττον ὡς εὐτολμίας μαρτυρίαν εἰσάγοντα καὶ τῇ διώξει τὸ θήραμα προκαταλαμβάνοντα, καὶ τὸν σοφὸν ὡς μεμυημένον τὰ κρείττονα. ἠλέει δὲ καὶ αὐτὸν τὸν ἄσοφον
f. 229 v. *ἢ καὶ ἄφρονα ὡς ἔκπτωτον τοῦ βελτίονος. φρόνιμον ὑπερῇρεν ὡς εὐβουλίας δοκιμώτατον ὄργανον, τόν τε μετεωρολόγον*

7. *προσφερόμενοι* C. 17. *ἐν ὅπλοις?* 21. *τὸν δὲ φρόνιμον* C.

immutabilem et inturbatam harum possessionem iis confirmat et fit omnibus adiutor et socius, neque solum rex sed etiam pater bonus. indagabat enim omnino et curam maximam instituebat, ut omnem tolleret e conspectu terrae iniuriam et legum neglectionem.

Finis autem regiorum beneficiorum et largitionum neque satietas omnino erat, neque dicere ei promtum erat, quod ab Alexandro Macedone nonnunquam proferebatur, quando nullum beneficium peregerat: „hodie non regnavi:" omnis enim dies omnis doni perfecti et largitionis benignae hunc habet largitorem et benignissimum principem; atque omni impetu eo procedebat, ut nemo beneficientiae huius relinqueretur expers: laudabat enim et sagittarium ut scienter iacientem et iaculum ad finem componentem, et hastatum ut integerrime certantem et hastam ex adverso vertentem, et equitem ut tergo equi intrepide insidentem in currendo, et gravis armaturae militem in omnibus, et levis armaturae militem et simplicem ut audaciae testimonium proferentem et persecutione rem petitam occupantem, et sapientem ut initiatum melioribus, miserabatur autem et ipsum insipientem vel etiam

ἐν φιλοσόφοις ὡς ὑπεραναβαίνοντα τὰ προσεχῶς καθορώμενα, καὶ τὸν διαλεκτικὸν ὅτι διαιρετικῶς ἐπιβάλλει τοῖς πράγμασι καὶ τὸ πρόσφορον ἀπονέμει τῇ τῶν ὑποκειμένων συνουσίᾳ πραγμάτων, καὶ τὸν ἡνιοχοῦντα ἐν ἱππικοῖς ὅτι τεσσάρων ἵππων ἡνιοχείαν καὶ διακυβέρνησιν ἀποδείκνυσιν, καὶ τὸν δρομέα διὰ τὸ τάχος. καὶ τὸν ἀργὸν τῆς ἀργίας συμπαθῶς κατῳκτίζετο, καὶ τῆς εὐεργεσίας οὐκ ἐδείκνυεν ἄμοιρον. εἴπω τι μεῖζον; καὶ μέχρι βαναύσων τεχνῶν τὴν ἀγαθοεργίαν ἐφήπλωσεν, ὅτι κἀκεῖνοι τῇ πολιτείᾳ καὶ τοῖς ἀνθρώποις διακονοῦσι τὰ χρήσιμα. καὶ ἁπλῶς θεία τις ἐν τῷδε τῷ βασιλεῖ περιηχεῖτο ἐπίβασις καὶ λόγον ἀνθρώπινον νικῶσα προμήθεια.

Οἴομαι δὲ ὥς τινὲς τῶν ἀκροατῶν λογισμῷ τινὶ προσπαλαίσουσιν, ἐγκωμιαστικῶς ταῦτα καὶ μὴ διηγηματικῶς συγγραφῆναί μοι, εὐνοίᾳ δῆθεν τῇ πρὸς τὸν κρατοῦντα δουλεύοντι καθότι καὶ τοῖς ἄλλοις βασιλεῦσι τὸ τιμᾶν καὶ δωρεαῖς ἀμείβεσθαι τὴν τῶν ὑπηκόων πίστιν περιεγίνετο. εἰ τοῦτο δὲ ἐννοήσαιεν, οὐκ ἂν διανοηθεῖεν καλῶς. τὸ μὲν γὰρ καὶ τοὺς πρώην βασιλεύσαντας εὐνοεῖν τοῖς ὑπηκόοις καὶ παρέχειν εὐεργεσίας οὐδ' αὐτὸς ἀπαναίνομαι, καὶ πολλάκις, ἐν οἷς περὶ αὐτῶν γέγραφα, τὴν μνήμην τῆς αὐτῶν περιέλαβον πράξεως· τὸ δ' ἐπὶ τῷ Βοτανειάτῃ ἐν ταῖς τιμαῖς καὶ τοῖς τῶν δωρη-

15. δουλεύοντα C.

stultum ut expertem meliorum: prudentem efferebat ut consilii spectatissimum instrumentum, et astronomum inter philosophos ut excedentem quae prope apparent, et dialecticum, quia dividendo aggreditur res et accommodatum tribuit potestati comprehensarum rerum, et moderatorem equorum, quia quattuor equorum moderationem et gubernationem ostendit, et cursorem propter celeritatem, atque desidem propter desidiam misericordia miserabatur neque beneficii ostendebat expertem. dicam quid maius: etiam usque ad manuum opera beneficientiam extendit, quia etiam illi civitati et hominibus tractant utilia. atque omnino divina quaedam in hoc rege sonabat elatio et rationem hominum superans consilium.

Puto autem, fore ut nonnulli lectores ratiocinatione quadam reluctentur, laudationis modo haec neque narrationis conscripta esse a me, benevolentiae scilicet erga imperatorem inservientia, quod etiam ceteris regibus ornare et donis mutare subiectorum fidem usitatum fuerit: sed si hoc cogitabunt, fortasse non recte sentient: etenim etiam superiores reges favisse subiectis et praebuisse beneficia ne ipse quidem infitias eo: atque saepe in iis, quae de his scripsi, mentionem eorum feci actionis: Botaniatae autem in honoribus et donorum lar-

μάτων χαρίσμασι καὶ τῇ πηγῇ τοῦ ἐλέους εὐδόκιμον καὶ ὑπέρτερον καὶ λόγου παντὸς ἀνώτερον, τοῦτο ἐπ' αὐτῆς τῆς ἀληθείας ἀνυποκρίτως ἐξαίρω, καὶ τοῦτο διὰ σπουδῆς πεποίημαι πᾶσι παραστῆσαι κατάδηλον, καὶ ταῖς μετέπειτα γενεαῖς δι' ἀναγνώσεως καὶ μνήμης ὡς ὑπόδειγμα κάλλιστον ἀπαθανατίζεσθαι, καὶ τὸν οὕτω καλῶς καὶ ἰσοθέως τὰ τῆς βασιλείας διιθύνοντα πράγματα πάντων ἀποδεῖξαι φιλανθρωπότερόν τε καὶ εὐεργετικώτερον καὶ φιλοθεΐας ἀνάμεστον καὶ ἀσύγκριτον τοῖς πρὸ αὐτοῦ βασιλεύσασιν, ὅτι ἐν τοιαύτῃ τῶν πραγμάτων στενοχωρίᾳ πάντας τοὺς ἐν τῷ πλατυσμῷ κρατοῦντας τῆς βασιλείας διαφερόντως ὑπερηκόντισε. καὶ γὰρ καὶ τὰς ἐπιστήμας καὶ τέχνας ἢ ψυχικὰς ἀρετὰς πολλοὶ μὲν τῶν ἀνθρώπων μετέρχονται καὶ δεικνύουσιν, ἐκείνων δὲ τὰ βραβεῖά εἰσι καὶ οἱ τῶν ἐγκωμίων στέφανοι πλέκονται, τῶν τοὺς λοιποὺς ὑπερβαλλόντων τῷ ἀπαραμίλλῳ καὶ ὑπερφυεστάτῳ τῆς πράξεως. ὁ γὰρ τοιοῦτος βασιλεὺς καί τι ἐξοχώτερον εἶχε καὶ τῶν τῆς βασιλείας παρασήμων μεγαλειότερον· εἰ γάρ τις εἶδε τὸν ἐπὶ τοῖς ὀφρύσιν αὐτοῦ κατὰ τὸ μέτωπον τόπον, σταυρικὸν σημεῖον αὐτοφυὲς ἑώρα τῇ κοιλότητι τῶν ἐγκαρσίων μερῶν ἀποτελούμενον ἀκριβῶς, ὡς τροπαιοφόρον τοῦτον ἐξ ἔργων αὐτῶν καὶ σημειοφόρον ἐκ θείας πλαστουργίας γνωρίζεσθαι. διὸ δὴ καὶ πάντες οἱ ἀντικείμενοι καὶ μὴ πειθαρχοῦντες αὐτῷ καὶ δουλικῶς προσκυνοῦντες ἰσχυρῶς τῇ τούτου ῥομφαίᾳ καὶ τοῖς στρατοπέδοις κατέπεσον, οἱ δὲ καὶ αὐτεπάγγελτοι τὴν δουλείαν ἠσπάσαντο. εὗρε γὰρ τὴν Ῥωμαίων

gitionibus et fonte misericordiae gloriosam et altiorem et sermone omni superiorem rationem ex ipsa veritate sine simulatione effero: atque hanc studui omnibus apponere claram, et posteris aetatibus lectione et memoria et exemplum pulcherrimum immortalem reddere, atque eum, qui tam pulchre et divine regnum administrat, omnibus ostendere humaniorem et beneficentiorem et pietate plenum atque incomparabilem prioribus regibus: quia in talibus rerum angustiis omnes in amplitudine regni imperantes valde superavit: etenim et literas et artes vel animi virtutes multi homines assequi student et ostendunt: illorum autem praemia sunt et laudum coronae plectuntur, qui reliquos superant incomparabili et maxime ingenti actione. talis enim rex vel praecellens quid et in regni insignibus magnificentius habebat. si quis enim conspiceret locum palpebrarum eius in fronte, crucis signum naturale videbat recessu cavo obliquarum partium absolutum accurate, ita ut tropaea ferens hic ex operibus suis et signifer et divina clientela cognosceretur: quamobrem etiam omnes adversarii et

ἀρχὴν πολλοῖς τυράννοις περιαντλουμένην κατά τε τὴν ἑώαν καὶ τὴν ἑσπέραν. ἔτι δὲ τῆς τούτων φλεγμαινούσης ἀποστα- f. 230 r. σίας, καὶ δαπάνης οὔτι σμικρᾶς ἀλλὰ πολυόλβου καὶ μυριοταλάντου δαψίλειαν τῶν πραγμάτων ἐπιζητούντων ἐπί τε τοῖς στρατιωτικοῖς ὀψωνίοις καὶ ταῖς ἄλλαις τῶν καιρῶν ἀφορμαῖς καὶ προφάσεσιν, οὐ πρὸς τὸ μέγεθος τούτων καὶ τὴν τοσαύτην χρείαν ἐπέβλεψε καὶ σμικρολογίας δεινότητι ἑαυτὸν ἐπιδέδωκεν, ἀλλ' ἐν πλάτει καρδίας καὶ πίστεως τὸ πλάτος ἐπιτείνων τῆς πρὸς τὸ θεῖον εὐαρεστήσεως χρεῶν ἀποκοπὰς τῷ δήμῳ παντὶ καὶ τοῖς ἐν τέλει νομοθετεῖ. καὶ τίθησι τὸ δόγμα οὐκ ἐπὶ ῥητοῖς τισὶ χρόνοις, ὥσπερ ἔνιοι τῶν πρὸ τοῦ βασιλέων ἐπιταφίοις ἡμέραις εἰργάσαντο, καὶ καταλιμπάνει χρόνους τινὰς εἰς τὰ ἔμπροσθέν τοῖς τοῦ δημοσίου συνηγόροις καὶ πράκτορσιν ἐσομένους ἐντρύφημα καὶ τῷ δημοσίῳ πρόφασιν ὠφελείας καὶ ἀπαιτήσεως, ὡς ἂν οἱ μὲν χρονιώτεροι χρεῶσται τοῦ δημοσίου τὰς ἀφεσίμους ἑορτὰς ἑορτάζωσιν, οἱ δὲ νεώτεροι πρὸς τὴν ἀποτυχίαν ἐπιστυγνάζωσι καὶ φθόνου λαβὴν ἔχωσι τὴν τῶν ἐλευθερωθέντων ὑπόθεσιν· ἀλλὰ πάντων ὁμοῦ τῶν χρόνων μέχρι τῆς αὐτοῦ ἀναρρήσεως, καὶ μικρόν τι πρός, τὰς ὀφειλὰς προρρίζους ἀπέτεμε, καὶ συμπαθείας πάντας καθαρωτάτης ἠξίωσε, χρυσοβούλλῳ λόγῳ χρυσοῦν ἐπιπλέξας δεσμόν, κωλυτικὸν δι' ὅλου τοῦ τῶν ὀφλημάτων βαδίσματος, προσανελὼν ἐν τούτῳ καὶ τὸ χάριν σχιδεν-

13. βασιλέως C.

qui non obedirent ei et servorum instar adorarent, valde huius gladio et exercitibus ceciderunt: alii autem vel sua sponte servitutem amplexi sunt. invenit enim Romanorum imperium multis tyrannis circumfusum et in oriente et in occidente: cum autem etiamtum horum flagraret seditio et sumtus non parvi sed divitis et multorum talentorum copiam res postularent in militaribus stipendiis et ceteris temporum causis et occasionibus, non ad magnitudinem harum et tantum usum spectavit et parsimoniae molestiis se dedit, sed iu latitudine cordis et fidei latitudinem intendens pietatis dei, tabulas novas populo universo et magistratibus sancit et constituit decretum non certis quibusdam annis, sicut nonnulli priores reges diebus funeris fecerant, et relinquit annos quosdam priores aerarii patronis et exactoribus delicias, et aerario occasionem utilitatis et exactionis, ut diuturniores debitores aerarii liberationis festa celebrarent, iuniores malo dolerent et invidiae occasionem haberent liberatorum argumentum: sed omnium simul annorum usque ad suam renuntiationem et paulum debita funditus abscidit, et misericordia omnes purissima dignatus est, imperatoriis literis aureum implectens vinculum impedimenti per totum debitorum

μοῦ διασείεσθαι τοὺς ἀνθρώπους καὶ ἀνωφελὲς αὐτοῖς τίθεσθαι τὸ τῆς ἐλευθερίας διάταγμα. ᾔδει γὰρ τοῦτο τὸ ἔργον ἐπὶ τοῦ Δούκα πολλοὺς διαλωβησάμενον καὶ τὴν μερικὴν τῶν χρόνων ἐλευθερίαν ἀνελεύθερον τοῖς πολλοῖς ἐργασάμενον. ἔστησεν οὖν ἐντεῦθεν πᾶσι τοῖς πολιτευομένοις καὶ πανταχῇ γῆς κατοικοῦσι Ῥωμαίοις τὸν φόβον τῶν ὀφλημάτων, καὶ τῷ ὄντι ἐλευθέρους τούτου ὁ βασιλεὺς καὶ πολίτας Ῥωμαίων εἰργάσατο, οὐ χρυσοῦν δακτύλιον αὐτοῖς παρασχὼν ἢ ῥάπισμα κατὰ κόρρης, ὡς τοῖς ἐλευθερουμένοις τὸ πρόσθεν ἐγίνετο, ἀλλὰ χρυσοῦ πηγὰς καὶ ταλάντων πλημμύρας αὐτοῖς ἀποχαριζόμενος, καὶ τὸ τοῦ πρὶν βίου ἀβίωτον εὔδαιμον τούτοις καὶ μακάριον εἰς τὸ ἑξῆς ἐργαζόμενος.

Οὕτως οὖν εὐσεβείας καὶ θεοφιλίας ἔχοντος αὐτοῦ, καὶ εὐψυχίας μεγίστης καὶ μεγαλουργίας ἀντεχομένου, ἔδει μὴ ἐκ χειρὸς κυρίου πολλαπλασίας τὰς ἀντιδόσεις λαβεῖν, καὶ μέχρι πολλοῦ τοὺς τυράννους καὶ τυραννόφρονας καὶ ἀλάστορας ἀντερίζειν αὐτῷ καὶ τῆς βασιλείας ἀμφισβητεῖν, καί που τοῦτο θεοῦ ἦν τοῦ δικαίᾳ ψήφῳ τὸ πᾶν διιθύνοντος καὶ τῷ τοῦ ἐλέου μέτρῳ ἀντιμετροῦντος τὸν ἔλεον. οὐκ οὖν οὐδ' ἡ θεία ψῆφος τὴν ἀπόφασιν ἀνεβάλετο, καὶ τὸν Βρυέννιον βασιλειῶντα κατὰ τὴν Μακεδονικὴν ἐν Ἀδριανουπόλει, καὶ τὴν Βριαρέως ἰσχὺν ἀγερωχοῦντα καὶ ἐγκαυχώμενον, καὶ τῷ βασιλεῖ τὰ δευτερεῖα φέρειν καὶ ὑπείκειν μὴ ἀνεχόμενον, ὑπὸ

9. κόρης C.

gradum, praeterea prohibens iis, quominus propter . . . . . . vexarentur homines irritumque iis redderetur libertatis decretum: noverat enim hanc rem sub Duca multos vexasse et partitam annorum libertatem irritam plurimis reddidisse. sedavit igitur inde omnibus civibus et ubique habitantibus Romanis metum debitorum: et revera liberos rex et cives Romanos reddidit, non aureum annulum iis praebens vel colaphum, ut liberatis antea accidit, sed auri fontes et talentorum abundantes iis donans, et priorem vitam minime vitalem felicem his et beatam in posterum reddens.

Sic igitur cum pietatem et dei amorem teneret is et virtuti maximae et magnificentiae studeret, oportebat eum non e manu domini multiplices mutationes accipere, et diu tyrannos et tyrannorum asseclas et scelestos adversarii ei et de regno certare: atque quomodo hoc dei erat, qui iusto suffragio universa gubernat et misericordiae metro metitur misericordiam: nec divina vox responsum differebat, et Bryennium, qui regnum affectabat Macedoniae Adrianopoli et Briarei robur iactabat ostentabatque neque regi secundas partes agere et ce-

χεῖρα τούτου πολέμῳ κραταιοτέρῳ πεποίηκεν, οὐδὲν τοῦ βασιλέως πρότερον δεινὸν κατ' αὐτοῦ μελετήσαντος καὶ τῆς τοῦ εὖ ζῆν ἐκείνῳ ἀφορμῆς καὶ σωτηρίας φθονήσαντος, ἀλλὰ f. 230 v. *προκαταλαβόντος τὴν ἐκείνου θηριωδίαν φιλανθρωπίᾳ, καὶ πρέσβεις ἐκπέμψαντος τὴν εἰρήνην διακηρυκευομένους αὐτῷ, καὶ ἀντάλλαγμα ταύτης τὴν Καίσαρος τύχην προφέροντας, ἵνα μὴ τὸ σχῆμα τῶν πεδίλων καὶ τῆς ἄλλης περιβολῆς ἐναλλαγήν τινα δέξηται. ἐπεκύρου δὲ τούτου καὶ τὰς τιμὰς ἃς τοὺς συναραμένους αὐτῷ τετίμηκε, καὶ ἀμνηστίαν τῶν πεπραγμένων κακῶν περιεποιεῖτο, καὶ πᾶν θυμῆρες αὐτῷ διαπράξασθαι καθυπισχνεῖτο ὁ βασιλεύς. ὁ δὲ ἄτεγκτος ἦν καὶ ἀτεράμων καὶ ὑπερήφανος, καὶ τῆς βασιλείας μὴ ἀφιστάμενος πολλὰς ἀπειλὰς καὶ θυμοφθόρους ἐπιστολὰς ἀντεπῆγε, καὶ Χριστιανικοῖς αἵμασι κρῖναι τὴν ἀμφισβήτησιν ἤθελε, καὶ σαρξὶν ἀνθρωπίναις κόσμον ἑαυτῷ περιποιῆσαι βασίλειον, καὶ πᾶσαν τὴν κτίσιν περιδονῆσαι ἢ δεύτερος φανῆναι τοῦ εὐγενεστάτου βασιλέως καὶ γενναιοτάτου ᾑρεῖτο καὶ διεσπούδαζεν, ὅπλα καὶ μάχας εὐτρεπίζων, καὶ τοῖς πολίταις χαλεπὰς ἀποταμιευόμενος ἀμοιβάς, καὶ ἅπαν ἀνατρέψαι τὸ Ῥωμαϊκὸν βαρβαρικῶς λογιζόμενος· διὸ καὶ πάλιν ὁ γαληνότατος βασιλεύς, καὶ ὄντως μαθητὴς τοῦ τὴν εἰρήνην βραβεύοντος βασιλέως καὶ βασιλεῦσι τὸ κράτος παρέχοντος, δευτέραν πρεσβείαν ἐξέπεμψε, παραινῶν αὐτῷ τὸ συμφέρον φρονῆσαι. καὶ μὴ ἐξ*

dere sustinebat, in manum huius bello violentiore redegit, cum nihil rex antea immane in eum meditatus esset vel beatae vitae ei occasionem et salutem invidisset, sed praevertisset illius immanitatem humanitate, et legatos misisset pacem nuntiaturos ei et pretium huius fortunam Caesaris proponentes, ne habitum calceorum et ceteri amictus mutationem ullam acciperet: confirmabat autem huius etiam honores, quibus socios suos honoraverat, et oblivionem factorum malorum proponebat, et omnia grata se ei perfecturum. promittebat rex. ille autem inexorabilis erat et durus et superbus neque a regno desistens multas et acerbas epistolas opponebat, et Christianorum sanguine decernere controversiam volebat, et carne hominum ornatum sibi comparare regium et totam sedem eruere quam secundus apparere ab illustrissimo rege et nobillissimo malebat studebatque, arma et pugnas curans et civibus difficiles recondens poenas, et universum evertere Romanorum imperium barbare meditans: quamobrem etiam rursus pacatissimus rex et revera discipulus regis, qui pacem administrat et regibus potentiam praebet, alteram legationem misit, admonens eum, ut utile cogitaret neve imprudentia laberetur in aptissimis. erat au-

ἀπονοίας σφαλῆναι περὶ τὰ καιριώτατα. ἦν δὲ ὁ Βρυέννιος ἐκεῖνος ὁ φυσῶν τὰ μεγάλαυχα καὶ κινῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν ἀπειλῶν. ἀμέλει τοι καὶ καταστρατηγηθεὶς τῷ θυμῷ τῆς Ἀδριανουπόλεως ἔξεισι σὺν πολλῇ τῇ βοῇ καὶ ἐξάλματι, καὶ τὰς δυνάμεις ἐκτάξας κατὰ τοῦ βασιλέως θυμομαχῶν ἐπορεύετο. ἀκούσας δὲ περὶ τούτων ὁ βασιλεὺς τῆς ἀβουλίας αὐτὸν ἐταλάνιζε καὶ τοῦ πάθους ᾤκτειρε, καὶ ὡς μεμηνότι καὶ κορυβαντιῶντι σαφῶς φάρμακον ἐπῆγε τῆς νόσου ἀλεξητήριον. τί δὲ τοῦτο ἦν; τρίτη πρεσβεία τὴν ὁρμὴν τοῦ πολέμου ἀπείργουσα. πέπομφε γὰρ ἕνα τῶν πιστοτάτων αὐτῷ, καὶ εἰπεῖν καὶ ἀκοῦσαι πεπαιδευμένον, καὶ πεῖραν ἐν τοῖς τοιούτοις ἐκ πλείονος ἔχοντα, Ῥωμανὸν πρωτοπρόεδρον καὶ μέγαν ἑταιρειάρχην. ὃς καὶ ἀφικνούμενος πρὸς τὸν τύραννον οὐκ εὐθὺς ἐδέχθη ὡς ἐκ βασιλέως ἀποστελλόμενος καὶ λόγου ἠξιώθη κατὰ τὸ σύνηθες τοῖς στρατευομένοις περὶ τὰς ὑπαίθρους σκηνάς, ἀλλ' ἐκ διαστήματος ἡμέρας τοῦ πρόσω βαδίζειν κωλυθεὶς μεθ' ἡμέρας τινὰς μετεπέμφθη πρὸς τὴν ἐρώτησιν. ἔξωθεν δὲ δεξάμενος τοῦτον ἔφιππος ὁ Βρυέννιος πεζὸν εἶδεν, ἐν ἀκάνθαις ἱστάμενον καὶ παρὰ τῶν ἀμφ' αὐτὸν κατειρωνευόμενον. μηκέτι δὲ τὰς συνθήκας δεξάμενος ἀτίμως τοῦτον ἀπέπεμψεν, ὅπερ οὐδ' εἰς ἐθνάρχου τῶν εὐτελεστέρων πρέσβυν νόμος τοῖς ἀληθῶς βασιλεῦσι ποιεῖν· ἱερὸν γὰρ σῶμα ὁ πρέσβυς λελόγισται, οἷα τοῖς ἀντιθέτοις, μεσίτης

tem Bryennius ille qui spiraret superba et movere terram et mare minaretur: tamen victus animo Adrianopoli egreditur cum multo clamore et saltu, atque vires instruens contra regem fortiter proficiscebatur: audiens autem haec rex propter inconsiderantiam et perturbationem eum miserabatur atque ut furenti et certe perturbato Corybantum instar remedium adhibebat morbum arcens. quid hoc erat? tertia legatio impetum belli retinens. misit enim quendam fidissimorum et ad dicendum audiendumque educatum et experientiam in talibus maxime habentem Romanum primum praesidem et magnum factionis ducem: qui quidem adveniens ad tyrannum, non statim acceptus est, ut a rege missus, neque colloquio dignus est habitus ex more militantium circa aperta tentoria, sed e spatio diei quominus procederet impeditus, diebus nonnullis post arcessitus est ad interrogationem. extrinsecus autem accipiens hunc eques Bryennius peditem vidit in sentibus stantem, et ab iis qui circa eum erant, delusum: neque iam pacta accipiens turpiter hunc dimisit: id quod ne in vilioris quidem principis legatum committendi mos est vere regnantibus: sanctum enim corpus legatus habetur, tanquam medius inter oppositos, et pacem ferens et

γινόμενος καὶ τὴν εἰρήνην διαπορθμεύων καὶ πολλὰ τῶν ἀμφισβητημάτων ὡς ἐπίπαν καταπραΰνων καὶ πολεμικὰς περιστάσεις ἀποσοβῶν· ἔπεσε δὲ τηνικαῦτα ἐξ αὐτομάτου ἡ τοῦ Βρυεννίου σκηνή, τοῦ ὀρόφου ταύτης παραλυθέντος κυκλόθεν ἀοράτοις χερσίν. ὅπερ κακαστροφῆς αὐτοῦ σύμβολον ἀψευδὲς τοῖς συνετοῖς διεγνώσθη, ἐπεὶ καὶ πρὸ τινῶν ἡμερῶν ἔκλειψις τῆς σελήνης γεγονυῖα τὴν πτῶσιν αὐτοῦ καὶ αὐτὴ κατεμήνυσε· τεκμαίρειν γὰρ τὴν σελήνην εἰς τοὺς ἀποστάτας f. 231 v. οἱ περὶ τὰς τῶν φωστήρων δινήσεις δεινοὶ καὶ μαθηματικοὶ λέγουσι, καὶ τὸ πάθος ταύτης πάθος τοῦ ἀποστατοῦντος προκαταγγέλλειν.

Ἐπανελθόντος δὲ τοῦ τοιούτου πρέσβεως, καταγελάσας ὁ βασιλεὺς τῆς τοῦ Βρυεννίου θρασύτητος ἔργων πολεμικῶν καὶ στρατηγημάτων ἐπιμελῶς εἴχετο, καὶ τὴν τοῦ τυράννου κατάλυσιν εὐθαρσῶς προηγόρευεν ἐκ τῆς ἄνω ῥοπῆς καὶ βουλῆς καὶ τῆς ἰδίας εὐβουλίας καὶ γενναιότητος, τῆς νίκης ἔχων ἀψευδῆ τὰ ἐνέχυρα. ἀλλὰ καὶ οἱ ἐν τέλει πάντες δι' ὀργῆς ἐποιήσαντο τὴν τοῦ Βρυεννίου ἀπανθρωπίαν καὶ ἀδιάκριτον γνώμην, μὴ διακρίναντος τήν τε τῶν προγόνων τοῦ βασιλέως εὐγένειαν καὶ τὴν ἄνωθεν περιλάμπουσαν αὐτοὺς ἐν τοῖς πολεμικοῖς ἀνδραγαθήμασιν ἀρετὴν καὶ τὰ κατὰ τῶν ἐχθρῶν ἀγωνίσματα καὶ παλαίσματα, καὶ τὴν αὐτοῦ τοῦ βασιλέως λαμπρότητα καὶ ὑπεροχὴν ἐν ἀξιώμασι καὶ πολεμικοῖς ἀγωνίσμασι, καὶ τὸ ἀγενὲς τῆς ἑαυτοῦ φατρίας καὶ συγγενείας.

controversias plerumque mitigans et bellica pericula depellens. concidit autem tum sponte Bryennii tentorium tecto eius dissoluto circa manibus non apparentibus: id quod eversionis eius signum infallax prudentibus cognoscebatur: cum etiam nonnullis diebus ante defectio lunae casum eius et ipsa significasset: spectare enim lunam ad apostatas dicunt qui meatus luminum periti sunt et mathematici, atque huius mutationem apostatae mutationem antea nuntiare.

Reverso autem tali legato irridens rex audaciam Bryennii rebus bellicis et artibus valde studebat, et tyranni eversionem bono animo praedicebat, e supera decisione et voluntate et suo consilio et nobilitate victoriae habens certa pignora. sed etiam magistratus omnes irati erant propter Bryennii immanitatem et incertum consilium, cum non dignosceret maiorum regis nobilitatem et superne circumlucentem eos in bellicis victoriis virtutem et certamina et proelia contra adversarios instituenda, atque ipsius regis splendorem et excellentiam in dignitatibus et bellicis certaminibus et ignobilitatem suae stirpis et co-

ὅτι περ δουκικὰς ἀρχὰς ἐχόντων τῶν Βοτανειατῶν κἂν τῇ δύσει καὶ διαβοήτων ὄντων περὶ τὰ κράτιστα, οἱ τούτου πρόγονα οὐδὲ παραστῆναι τούτοις ἠδύναντο καὶ τάξιν πληρῶσαι ὑπηρετῶν, ἀφανεῖς ὄντες καὶ μηδὲ τοῖς εὐτελεστέροις τῶν ἀξιωμάτων ἐκ τάγματι στρατιωτικῷ συνταττόμενοι, οὐδ' ὅτι ἐκ τῆς ἑώας εὐπατρίδης ὁ βασιλεὺς πέφυκεν, αὐτὸς δ' ἑσπέριος καὶ δυσγενής ἐστι κατὰ σύγκρισιν· καὶ διὰ τοῦτο κοινῶς αὐτὸν ἀπεκήρυττον ἅπαντες, καὶ ὅρκῳ πληροφορήσαντες μέχρις αἵματος διαγωνίσασθαι κατ' αὐτοῦ τὰ εὔορκα ψηφίσασθαι τῷ ἐπουρανίῳ βασιλεῖ καθικέτευον.

Ἀλλ' ὁ βασιλεὺς τὰ πρὸς τὸν πόλεμον ἐξαρτύων, καὶ πάντα κατὰ λόγον καὶ τρόπον συνέσεως καταρτίζων ἐν τῷ ἀσφαλεῖ, καὶ δυνάμεις Ῥωμαϊκὰς ἐκ Κρήτης συναθροίσας εἰς τὸ πρὸ τῆς πόλεως πεδίον, καὶ Τούρκους διαπεραιωσάμενος καὶ καταριθμήσας τοῖς ἑαυτοῦ στρατιώταις, οὓς ὁ πρὸ αὐτοῦ βασιλεὺς ὁ Μιχαὴλ πολλαῖς ἐπαγγελίαις καὶ δώροις ἀμέτροις οὐκ ἠδυνήθη συμπεῖσαι καὶ περαιῶσαι πρὸς τὰ ἑσπέρια (ἐπείθοντο γὰρ καὶ ὑπέκυπτον τῷ Βοτανειάτῃ μᾶλλον ἢ ἑαυτοῖς ὡς ἕλκοντι πάντας πρὸς τὸν πόθον αὐτοῦ), ἀρχηγὸν τοῦ πολέμου προχειρίσασθαι διεσκέπτετο. ἱκανώτατος δὲ ὢν συμβαλεῖν τὸ δέον καὶ κατανοήσασθαι ἄνθρωπον ὁ Βοτανειάτης τὸν νωβελλίσιμον Ἀλέξιον τὸν Κομνηνόν, ὃς τὸν Ῥουσέλιον ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν εὐμηχάνως ἐχειρώσατο καὶ διέσωσεν

gnationis, nimirum, licet ducis imperia haberent Botaniatae in occidente et clari essent in maximis, huius maiores ne astare quidem his potuisse et ordinem explere ministrorum, ignotos neque vilioribus quidem dignitatibus in ordine militari compositos, neque cognoscens ex oriente nobilem regem esse, ipsum autem occidentalem et ignobilem comparatione: atque propterea simul eum repudiabant omnes et iureiurando promittentes se velle usque ad sanguinem certare contra eum, coelestem regem implorabant, ut quae ad iusiurandum apta essent statueret.

Sed rex bellum parans et omnia ex ratione prudentiae instruens tuto et manus Romanas e Creta cogens in campum ante urbem situm et Turcas transducens et annumerans suis militibus, quos quidem qui ante eum regnavit Michael multis promissis et donis immensis non potuerat excitare et transducere ad occidentem (parebant enim et se subiiciebant Botaniatae magis quam ipsis, ut trahenti omnes ad desiderium sui), ducem belli creare statuebat. aptissimus autem ad constituendas res necessarias et cognoscendum hominem Botaniates nobilissimum Alexium Comnenum, qui Ruselium in provincia Armeniaca prudenter subegit et servavit in regiam, dignum tali imperio iudica-

εἰς τὴν βασιλεύουσαν, ἄξιον τῆς τοιαύτης ἡγεμονίας ἔκρινε, καὶ δομέστικον τοῦτον προχειρισάμενος μετὰ τῶν αὐτοῦ δυνάμεων ἐξαπέστειλεν, νέον μὲν τὴν ἡλικίαν, φρονήσει δὲ καὶ διανοίας σταθηρότητι γεραρόν, καὶ πρὸς μάχας καὶ πολέμους ἑδραῖον καὶ ἀπερικτύπητον, καὶ τῇ πρὸς τὸν βασιλεύοντα πίστει θανατηφόρους πληγὰς μὴ δειλιῶντα καὶ ταπεινούμενον. ὃς τὰς δυνάμεις ἀνειληφὼς κατὰ τοῦ Βρυεννίου μετὰ παρασκευῆς καὶ βουλῆς τῆς δεδομένης αὐτῷ παρὰ τοῦ βασιλέως ἐβάδιζε. καὶ πρὸς τόπον Γαλαβρύην ἐπονομαζόμενον διαναπαύων τὸν στρατόν, ἔμαθε παρὰ τῶν σκοπῶν ὡς ὁ Βρυέννιος ἐγγίζει πανστρατιᾷ, τῆς Μεσήνης ἀπαναστάς. ὁ δὲ Τούρκους ἐξαποστείλας νυκτὸς ἐπιφανῆναι πρὸς ἡμέραν τοῖς ἐναντίοις ἐκέλευσε, καὶ φόβον ἐνσεῖσαι τούτοις καὶ ταραγμὸν ἐκ τῆς σκοπιᾶς φαντάζοντας πόλεμον, καὶ οὕτω κατασεῖσαι μὲν τὰς τῶν ἀντιθέτων ψυχάς, ταραχὴν δὲ τῷ στρατοπέδῳ ἐμποιῆσαι τούτου ἀνυπόπτως ἔτι βαδίζοντι, καὶ οὕτως ὑποστρέψαι καὶ μὴ πρὸς χεῖρας τούτοις ἐλθεῖν, εἴ τινας δὲ εὕροιεν ἀποσπάδας, τούτοις ὡς ὁ καιρὸς διδοῖ χρήσασθαι. τούτου δὲ γενομένου οἱ μὲν τοῦ Βρυεννίου στρατιῶται ταράχου πλησθέντες τὰς ψυχὰς κατεσπάσθησαν· οἱ δὲ Τοῦρκοι πολλοὺς ἀποσπάδας καταβαλόντες, κἀν τούτῳ τῷ ἔργῳ τοὺς Βρυεννίτας καταμοχλεύσαντες, ὑπέστρεψαν εἰς τὸν ἴδιον στρατόν, τὸν πόλεμον ἐγγίζειν αὐτῷ καταγγέλλοντες. ὁ δὲ διαταξάμενος τὰ προσήκοντα, καὶ πάντας παραγγελίαις στρατηγικαῖς

bat, et domesticum hunc creans cum eius exercitibus misit, iuvenem quidem aetate, prudentia autem et animi constantia venerabilem et ad pugnas et bella immotum et invictum neque fide erga regem mortifera vulnera timentem paventemque: qui quidem manus recipiens contra Bryennium cum apparatu et consilio dato ei a rege procedebat, et apud locum, qui Galabryes vocatur, recreans exercitum audivit a speculatoribus Bryennium appropinquare cum toto exercitu a Mesene profectum: hic autem Turcas mittens noctu, apparere die adversariis iussit, et metum incutere his et turbam e speculis repraesentantes bellum, atque sic percutere adversariorum animos, et turbam exercitui movere sine suspicione adhuc procedenti, atque ita recedere neque ad manus his convenire: sin vero quos invenirent dissipatos, his, ut tempus permitteret, uti. hoc autem facto Bryennii milites turba impleti in animis dissipati sunt: Turcae autem postquam multos dissipatos occuparunt et in hoc opere Bryennitas depulerunt, recesserunt ad suum exercitum, bellum appropinquare ei nuntiantes. is autem imperans quae apta erant, et omnes promissis imperatoriis confirmans et

κατασφαλισάμενος, καὶ τὸν τόπον τοῦ πολέμου τόπον ζωῆς ἢ τάφου γενέσθαι τούτοις βεβαιότερον παρεγγυησάμενος, καὶ παρὰ τῶν στρατιωτῶν λαβὼν τὰ πιστά, καὶ ἄγειν αὐτοὺς κατὰ τοῦ τυράννου μετὰ προθυμίας ἀκηκοώς, συντεταγμένην ἔχων τὴν στρατιὰν ἐπορεύετο. φανέντων δὲ τῶν σημείων ἀμφοῖν, καὶ τὸ ἐνυάλιον ἀλαλαξάντων ἑκατέρων, πόλεμος συνέστη καρτερὸς καὶ ἐπίδοξος. οἱ μὲν γὰρ τοῦ βασιλέως θράσει καὶ προθυμίᾳ τὸ πλῆθος τῶν ἐναντίων περιεφρόνουν καὶ ἐν δευτέρῳ ἐτίθεντο· οἱ δὲ περὶ τὸν Βρυέννιον πολυπλασίους ὄντες ἐφιλονείκουν ἀνθίστασθαι. καὶ διὰ τοῦτο γέγονε φόνος ἐξ ἀμφοτέρων πολὺς καὶ φόβος οὔτι μικρός. ὡς δὲ τοῦ καιροῦ προϊόντος ἐξαίσιόν τι χρῆμα ἐδόκουν οἱ τοῦ βασιλέως στρατιῶται καὶ λοχαγοί, τοῖς δόρασιν ἐμπίπτοντες τῶν ἐναντίων καὶ τὰς φάλαγγας αὐτῶν διακόπτοντες, ἤρξαντο πάσχειν ἐκεῖνοι τὰς ψυχὰς καὶ κατὰ μικρὸν ὑπορρεῖν, ἐξαιρέτως δὲ τὸ προσὸν αὐτῷ Σκυθικόν· εἶχε γὰρ συμμαχοῦν Πατζινάκων πλῆθος πολύ. οἳ καὶ ὀπισθόρμητοι γεγονότες τὰς σκηνὰς τῶν Μακεδόνων ἐσκύλευσαν καὶ διήρπασαν. ὡς δ' ἑώρα ὁ Βρυέννιος τῶν ταγμάτων αὐτοῦ τὴν ἧτταν καὶ τὸ τεθορυβημένον καὶ σφαλερόν, τοὺς κρατίστους ἄρας τῶν λόχων καὶ τὰ τῶν ταγμάτων αὐτῷ παρεπόμενα αὐτὸς δι' ἑαυτοῦ τὸν ὑπὲρ παντὸς ἀγῶνα κροτήσαι ὥρμησεν. ὁ δὲ τοῦ βασιλικοῦ στρατοπέδου τὴν ἡγεμονίαν ἐπέχων, συντεταγμένας ἔχων δυ-

ut locus belli locus vitae vel sepulcri esset his firmius admonens et a militibus accipiens fidem, et proficisci eos contra tyrannum cupide audiens cum instructo exercitu procedebat. cum autem apparerent signa amborum et bellicum clamorem sustulissent utrique, bellum exortum est validum et anceps. regii enim audacia et cupiditate multitudinem adversariorum negligebant, et infra ponebant: qui autem circa Bryennium plures erant, certabant resistere, atque propterea fuit caedes ab utrisque multa et metus non parvus: cum autem tempore procedente ingentes viderentur regis milites et duces, in hastas irruentes adversariorum et phalanges eorum percutientes, coeperunt concidere illi animis et paene subterfugere, praecipue autem Scytharum manus, quae ei aderat: habebat enim auxiliantem Patzinacorum multitudinem magnam, qui etiam revertentes tentoria Macedonum spoliarunt et diripuerunt. cum autem videret Bryennius ordinum suorum cladem et turbam et casum, cum optimis profectus partibus et ordinibus eum sequentibus ipse per se certamen omnium conserere contendit. qui autem regii exercitus imperium obtinebat, instructas habens manus huius impetum fortiter reiecit: atque exorto bello cum certarent utrique de

νάμεις, τὴν τούτου προσβολὴν ἰσχυρῶς ἀπεκρούσατο. καὶ συστάντος πολέμου, φιλοτιμουμένων ἀμφοτέρων περὶ τῆς νίκης, f. 232 r. καταπληκτική τις συντονία καὶ μάχη γέγονεν. ὡς δ' οἱ τοῦ βασιλέως στρατιῶται τὸ καρτερὸν καὶ ἀνένδοτον τῆς ἀνδρίας εἰσέφερον, καὶ πληγῶν καὶ θανάτου ἀλογοῦντες ἐδείκνυντο, καὶ βαλλόμενοι μᾶλλον πλέον κατὰ τοῦ πολεμήτορος ἠγριαίνοντο καὶ πλείους τῶν τοῦ Βρυεννίου ἀνῄρουν καὶ κατηκόντιζον, σύνθημα δοὺς τοῖς τὸν λόχον ἔχουσι Τούρκοις ὁ Κομνηνός, οὓς εἰς καιρὸν ἀπεκρύψατο χρείας, παραβοηθῆσαι τοῖς οἰκείοις προσέταξεν· οἳ καὶ παρ' ἐλπίδα φανέντες ἐπὶ τοῦ λόφου καὶ τοῖς ἐναντίοις ἐπιχυθέντες, καὶ τοῖς τοξεύμασι βάλλοντες ἐκ μέρους τοῦ τὸν λόφον ἐγκάρσιον ἔχοντος, τροπὴν αὐτῶν μετὰ τῶν συμπολεμούντων Ῥωμαίων εἰργάσαντο. καὶ τηνικαῦτα ἑάλω μὲν ὁ Βρυέννιος ζῶν, οἱ δὲ περὶ αὐτὸν διασκεδασθέντες ἡγεμόνος κακοῦ κακίστας εὗρον τὰς ἀντιχάριτας· ἔπεσον γὰρ καὶ συχνοί, ἑάλωσαν δὲ οὐχ ἥττονες, καὶ μᾶλλον οἱ τῶν ἄλλων προέχοντες. ὁ δὲ Βρυέννιος αἰχμάλωτος ἀχθεὶς τῷ παρὰ βασιλέως εἰληφότι τὴν τοῦ πολέμου ἐξουσίαν πολλὰ τῆς δυσβουλίας καὶ τῆς ἀνοίας κατεγνώσθη, ὅτι τὸ μέτρον αὐτοῦ καὶ τὰς πράξεις ἠγνόησε. ταχέως δὲ τῷ βασιλεῖ τοῦτον πέμψας, καὶ τὰ τῆς νίκης εὐαγγέλια διὰ γραφῆς συνεξέπεμψεν. ὁ δὲ βασιλεὺς ἀσμένως τὴν ἀγγελίαν δεξάμενος, καὶ τῇ παναχράντῳ δεσποίνῃ καὶ θεοτόκῳ τὰς προσηκούσας ἀπονείμας εὐχαριστηρίας, διὰ ταχέων ἐκπέμπει δη-

victoria, ingens quaedam contentio et pugna fuit. quodcum regis milites firmam minimeque remissam virtutem inducerent et vulnera mortemque contemnentes apparerent, et icti etiam magis contra bellatorem contenderent et complures milites Bryennii tollerent et peterent, signum dans Turcis insidias obtinentibus Comnenus, quos tempore iusto condiderat, imperavit, ut in rebus necessariis auxiliarentur suis: qui quidem praeter spem apparentes in colle et adversariis circumfusi et iacula emittentes ex parte collem obliquum tenente fugam eorum cum sociis Romanis effecerunt: atque tum captus est Bryennius vivus, qui autem circa eum erant, dissipati ducis mali pessimas invenerunt gratias: ceciderunt enim et multi, capti autem sunt non pauciores, et magis ceterorum principes. Bryennius autem captivus ductus ad eum, qui a rege acceperat belli potestatem, valde propter temeritatem et imprudentiam vituperatus est, quod mensuram suam et actiones non novisset. celeriter autem ad regem mittens hunc etiam victoriae nuntium laetum literis simul misit. rex autem libenter nuntium accipiens et integerrimae dominae et matri dei accommodatas reddens gra-

μίους τοὺς ὀφθαλμοὺς τοῦ Βρυεννίου ἐκκόψοντας, ἐν ᾧπερ τόπῳ τουτῳὶ συναντήσουσιν. ᾔδει γὰρ ἀσύμφορον εἶναι τὸν βασιλειῶντα τοῦτον τοὺς ὀφθαλμοὺς ἔχειν ὡς μὴ δυνάμενον ἀληθῶς ἐν ἰδιώτου σχήματι ἠρεμεῖν· ἀλλὰ πράγματα προξενεῖν καὶ πολλοὺς δι' αὐτὸν κατηγορίαις θανασίμοις μὴ ἀνασχόμενος ὑποβάλλεσθαι, τῆς τῶν πολλῶν σωτηρίας καὶ τῆς αὐτοῦ ἠρεμίας καὶ ἀναπαύσεως τοὺς ὀφθαλμοὺς αὐτοῦ ἀντηλλάξατο. καὶ δείξουσιν ἀληθῆ τὸν λόγον τὰ μετὰ ταῦτα γεγονότα παρὰ τοῦ βασιλέως εἰς τοῦτον εὐεργετήματα. τέως δὲ παραστὰς εἰς τὴν ὑστεραίαν τῷ βασιλεῖ ὁ Βρυέννιος, τοὺς ὀφθαλμοὺς ἔχων διαβρόχους τῷ αἵματι, ὁπότε καὶ αὐτὸς ὁ ταῦτα συγγράφων χαριστήριον λόγον ἀνέγνων τῷ βασιλεῖ, οὐκ ἀδίκως οὐδ' ἀνευλόγως παρ' αὐτοῦ ὠνειδίσθη. ἔφη γὰρ πρὸς αὐτὸν "ὦ δυσμείλικτε καὶ δυστυχέστατε ἄνθρωπε, τί τοῦτο ἐποίησας, καὶ ἀντὶ τῆς εἰρήνης καὶ τῆς δεδομένης σοι παρ' ἡμῶν εὐτυχίας, ἧς οὐκ ἦς ἄξιος, τὴν μάχην ἠσπάσω, καὶ ἀφειδῶς ἔσχες πρὸς τὰς σφαγὰς τῶν Χριστιανῶν. ἢ οὐκ ᾔδεις θνητὸς ἄνθρωπος ὤν, λόγους ἀπαιτηθησόμενος τῆς τῶν πεσόντων σφαγῆς; ἐμοὶ μὲν γὰρ τὸ κράτος θεόθεν ἐπεψηφίσθη, καὶ τῇ θείᾳ ψήφῳ πάντες οἱ τῆς βασιλευούσης ἀκολουθήσαντες ἀναιμωτὶ καὶ χωρὶς κινδύνων βασιλικῶς ἐν εὐθυμίαις καὶ χάρισιν εἰς τὰ βασίλεια ὑπεδέξαντο, προϋπαντή-
f. 232 v. σαντες μετὰ τοῦ στόλου παντός, καὶ τοσοῦτον θαλάσσης ἀνα-

1. ἐκκόψαντας C.

tias, celeriter emittit carnifices, qui oculos Bryennii effoderent, in quo loco huic obviam venirent: sciebat enim perniciosum esse, hunc regni cupidum oculos habere, quippe qui non posset vere in privati habitu quiescere, sed multa facesseret: neque tolerans multos per eum causis mortiferis subiici, plurimorum salute et sua tranquillitate et otio oculos illius mutavit: atque veram ostendent rationem quae posthac collata sunt a rege in hunc beneficia. interea adstans postero die regi Bryennius oculis sanguine madidis, quando et ipse qui haec scribo gratiae orationem recitavi regi, non iniuste neque temere ab eo reprehensus est. aiebat enim ad eum: o durissime et infelicissime homo, quid hoc fecisti et pro pace et fortuna tibi a nobis data, qua non eras dignus, pugnam amplexus es et profusus eras in caedibus Christianorum: an nesciebas te esse mortalem, cui rationes essent reddendae caedis occisorum: mihi enim potentia divinitus tributa est et divinae voci omnes qui in regia erant parentes sine sanguine et periculis regie bono animo et gaudiis me in regiam receperunt, prosequentes cum classe tota et escendentes tantam maris navigationem: atque regium diadema e divina gratia adiudicatum est mihi: et dei iu-

κομίσαντες πλοῦν· καὶ τὸ βασίλειον διάδημα ἐκ θείας χάριτος ἐπεβραβεύθη μοι, καὶ ἡ τοῦ θεοῦ κρίσις ἤδη τὸν ἔλεγχον καὶ τὸ ἀποτέλεσμα τῆς ἀποφάσεως δέδωκε. σὺ δὲ προσεχὴς τῇ βασιλευούσῃ τυγχάνων, καὶ διὰ τοῦ ἰδίου αὐταδέλφου δυνάμεις στρατιωτικὰς ἐπιστήσας αὐτῇ καὶ πολλὰ θυραυλήσας, οὐ μόνον ἀνάξιος ἐκρίθης τοῦ πράγματος, ἀλλὰ καὶ ὕβρεσιν ἠτιμάσθης πολλαῖς καὶ παροινίαις ἐβλήθης. καὶ κατὰ τοῦτο οὐκ ἔδει σε μετὰ τὴν ἐμὴν ἀναγόρευσιν τὰ κρίματα τοῦ θεοῦ καταιδεσθῆναι καὶ συμβαλεῖν, καὶ διανοήσασθαι τὰ συμβεβηκότα, ὅτι ὑπὲρ ἀνθρωπίνην εἰσὶν ἰσχύν; ἀλλ' ἐλύττησας καὶ κατὰ τῶν δεδογμένων αὐτῷ τῷ θεῷ καὶ κατ' ἐμοῦ τοῦ παρ' ἐκείνου προβεβλημένου καὶ πάσης ὁμοῦ τῆς βασιλευούσης, καὶ ὅπλα ἐτόλμησας ἆραι, καὶ ἀνθρωπίνων σαρκῶν ἀπογεύσασθαι διεσκέψω, καὶ θεόμαχος ἐν τοσούτῳ γενέσθαι καὶ τῆς ἱερᾶς συγκλήτου καὶ τῆς συνόδου πολέμιος καὶ πάντων τῶν πειθαρχησάντων τοῖς θείοις νόμοις καὶ κρίμασιν. ὢ τῆς ἀνοίας τῆς σῆς, ὅτι μηδὲ τὸ πρόχειρον τοῦτο συνῆκας καὶ κατενόησας, ὡς τὸ ᾀδόμενον στοιχεῖον τὸ Ν ἁπλοῦν μόνον καὶ οὐ διπλοῦν τοῖς ταῦτα κατασκοποῦσιν εὑρίσκετο." καὶ πολλὰ ἕτερα δημηγορήσας εὐφυῶς ὁ κρατῶν, καὶ καταγνοὺς τούτου μακρὰν τὴν εὐήθειαν, ἀπέλυσεν αὐτὸν εἰς τὸν καταγέλαστον θρίαμβον μετὰ τῶν πρώτων τῆς συμμορίας αὐτῶν.

Ἕτερον δὲ οὐδένα τῶν ἄλλων δι' αἵματος ἠνέσχετο τιμωρῆσαι ὁ βασιλεύς, ἀλλὰ καὶ μᾶλλον ἰσόθεον πρᾶγμα πε-

dicium iam documentum et eventum sententiae dedit, tu contra intentus regiae et per fratrem ipsum manus militares imponens ei et multum sub dio versatus, non solum indignus iudicatus es re sed etiam superbia neglectus es multa, et insania ictus es: atque propterea nonne oportuit te post meam renuntiationem iudicia dei vereri et cognoscere et cogitare facta supra hominum esse potentiam: sed insanivisti et contra ea, quae statuta erant ab ipso deo, et contra me ab illo creatum et contra totam simul regiam, et arma ausus es capere et hominum carnibus frui voluisti et deo adversarius adeo fieri et sancti conventus et concilii hostis et omnium, qui parerent divinis legibus et iudiciis: heu imprudentiam tuam, quod ne promtum quidem hoc intellexisti et animadvertisti, decantatam literam N simplicem solum, neque duplicem talia meditantibus inveniri. atque postquam multa alia locutus est ingeniose imperator et reprehendit huius magnam simplicitatem, dimisit eum ad ridiculum triumphum cum principibus classis eius.

Alium autem nullum inter ceteros sanguine sustinebat ulcisci rex,

ποίηκε, πάντας τοὺς συναποστατήσαντας τῷ Βρυεννίῳ, στένοντάς τε καὶ τρέμοντας τοὺς περὶ ἐπιβούλων νόμους καὶ τὴν τῶν ἡμαρτημένων δεινὴν ἐπεξέλευσιν, συμπαθείας καθολικῆς ἀξιώσας καὶ τὰς οὐσίας αὐτοῖς δι' ἄφατον εὐσπλαγχνίαν ἀποκεκληρωκώς, πλὴν τριῶν ἢ τεσσάρων, οἷς τὸ τοῖς οἰκείοις ἐμφιλοχωρεῖν οὐκ ἀκίνδυνον ἦν. ἀλλὰ καὶ τούτοις ἀντιπαροχαῖς ἑτέρων ἰσοτάλαντον τὴν φιλοτιμίαν εἰργάσαντο. οὐ μόνον δ' ἐν τούτοις τὸ φιλότιμον ταῖς βασιλικαῖς εὐσπλαγχνίαις ἐστήσατο, ἀλλὰ καὶ τιμαῖς παντοδαπαῖς αὐτὸν κατεκόσμησεν, ἐνίους δὲ καὶ χαρίσμασιν, ὡς πάντας ἔκπληξιν κατασχεῖν τῷ ἀνεξιχνιάστῳ τῆς αὐτοῦ ἀγαθότητος.

Οὕτω μὲν οὖν θύοντος τοῦ βασιλέως τὰ χαριστήρια καὶ τῷ θεῷ τὴν εὐαρέστησιν διὰ τῆς ὑπερβαλλούσης εὐποιίας εἰσφέροντος, οὐκ ἤνεγκεν ὁ τοῖς ἀγαθοῖς βασκαίνων δαίμων τὴν τοσαύτην τῶν ἀνθρώπων εὐδαιμονίαν, καὶ τὸν πλοῦτον τῆς ἀγαθότητος διαταράξαι κατὰ τὸ εἰθισμένον αὐτῷ μελετήσας, ἀνίστησι τοῖς τὴν φυλακὴν ἔχουσι τοῦ παλατίου θυμοφθόροις ἀνδράσι καὶ ἐθνικοῖς κακίστην ὁρμὴν καὶ τόλμαν μιαιφόνον καὶ ἀγριότητος γέμουσαν. περὶ δείλην γὰρ ὀψίαν ἀσπίσι καὶ ὅπλοις κατὰ τὸ ἀρχῆθεν ἐπικρατοῦν τὴν παράστασιν ἐνώπιον τοῦ κρατοῦντος καὶ τῆς τάξεως ἀποπληροῦντες τὸ συνεχές, ὁρμῇ μεγάλῃ καὶ φονικῇ καὶ θυμῷ

16. διαταράξας C.

sed etiam magis divinam rem perfecit, cum omnes, qui defecerant cum Bryennio et anxii erant atque pavebant insidiarum leges et peccatorum diram persecutionem, misericordia generali dignaretur et facultates iis propter eximiam generositatem sortiretur, tribus vel quatuor exceptis, quibus versari cum suis non erat expeditum: sed etiam his donis aliorum parem liberalitatem reddiderunt: neque solum in his liberalitatem regia misericordia constituit, sed etiam honoribus variis eum ornavit, nonnullos etiam donis, ita ut omnes admiratio incederet propter inexplicabilem eius bonitatem.

Cum igitur sic rex sacra gratiae faceret et deo esset gratus eximia beneficientia, non tulit qui bonis invidet daemon tantam hominum felicitatem et divitias bonitatis turbare e more suo meditatus imponit iis qui praesidium habebant palatii, hominibus perniciosis et paganis, pessimum consilium et audaciam scelestam et feritate plenam: circa vesperum enim cum scutati et armati e more antiquo imperatori praesto essent et ordinibus plenis adstarent, impetu magno et truculento et animo ferventi in ipsum regem irruerunt, qui procumberet in eos in aperto loco superiore regiarum porticuum: atque alii arcubus usi iacula in eum miserunt, ceteri autem ducentibus ad

ζέοντι κατ' αὐτοῦ τοῦ βασιλέως ἐξώρμησαν, προκύπτοντος ἐπ' αὐτοὺς ἐν ὑπερῴῳ τινὶ τῶν βασιλικῶν διαδρόμων ὑπαίθρῳ· f. 233 r. καὶ οἱ μὲν τόξοις χρησάμενοι βέλη κατὰ τούτου ἀφῆκαν, οἱ δ' ἄλλοι ταῖς ἀναγούσαις εἰς αὐτὸν ἐπερεισάμενοι κλίμαξιν, ὠθισμῷ μεγάλῳ τὴν κατ' αὐτοῦ ξιφήρεις ἐβιάζοντο ἄνοδον· τότε δὴ καί τις τῶν πλησίον αὐτοῦ ἱσταμένων ὑπογραφέων τὴν τοῦ βέλους ἀκμὴν ἥρπασε κατὰ τοῦ τραχήλου, καὶ τὸ ζῆν αὐτίκα περιωδύνως ἀπέρρηξεν. ὁ δὲ βασιλεὺς ἀπαράσκευος ὢν διὰ τὸ τῆς ἐπιβουλῆς ἀπρόοπτον καὶ ἀνέλπιστον, οὐκ εἶχε μὲν καρτερὰν συμμαχίαν εἰς τὴν αὐτῶν ἀποσόβησιν, συνήθης δὲ ταῖς ὁπλομαχίαις τυγχάνων καὶ ταῖς κατὰ πόλεμον ἀντιπαρατάξεσιν οὐκ ἐθροήθη καὶ δρασμὸν ἐβουλεύσατο, ὃ πάντως πεποίηκεν ἂν ἕτερος ἐν μέσῳ βελῶν καθεστώς, ἀλλ' ἀναλαβὼν ἑαυτὸν σὺν ὀλίγοις τοῖς ἐκεῖσε περιτρέχουσιν ἐν κόσμῳ καὶ τάξει καὶ ἀτρέστῳ φρονήματι ἐρρωμένως ἠμύνατο, καὶ τοὺς ἀπανθρώπους βαρβάρους, θυμῷ ζέοντας ἀδίκῳ καὶ βεβακχευμένους τῇ μέθῃ (περὶ δείλην γὰρ ἦν ὀψίαν, ὅτε τούτοις ἀφῄρητο τὸ φρονεῖν διὰ τὴν ἄγαν οἰνοφλυγίαν καὶ τὴν τοῦ ἀκράτου μετάληψιν· ἀκρατῶς γὰρ τούτου μεταλαμβάνουσιν) τῶν κλιμάκων ἀπεώσατο καὶ ἀνυποίστῳ φορᾷ κατὰ γῆς ἐπὶ τραχήλου καὶ κεφαλῆς κατηκόντισεν. οἱ δὲ καὶ αὖθις ἀπηναισχύντουν, καὶ φιλονεικοῦντες ἦσαν πρᾶξαί τι θεοβλαβείας ἔργον ἐξάγιστον. ὡς δὲ κατὰ μικρὸν ἐπισυνηθροίζοντο οἱ τῷ βασιλεῖ τὴν φρουρὰν ἀποπληροῦντες Ῥωμαῖοι, συνέστη μὲν πόλεμος ἐπὶ χρόνον τινά, τὴν

20. ἀπεσώσατο C.

eum scalis innixi, contentione magna ascendere ad eum gladio instructi certabant. tum igitur quidam scribarum, qui prope eum stabant, iaculi acumen recepit in colle et vitam statim misere dissolvit. sed rex, non paratus propter insidias improvisas et} insperatas, non habebat validum auxilium ad eorum expulsionem: sed assuetus pugnis et belli aciebus non obstupuit neque fugam meditatus est: id quod omnino fecisset alius, in mediis iaculis constitutus: sed se recipiens cum paucis ibi versantibus ordine et acie et intrepido animo fortiter se defendit, et immanes barbaros animo ferventes iniusto et bacchico modo excitatos ebrietate (circa vesperum enim erat, quando his erepta est mens propter nimiam ebrietatem et vini meri magnum usum: impotenter enim hoc utuntur) scalis arcuit et intolerabili impetu in collem et caput eos afflixit. illi autem rursus impudenter agebant et certabant facere aliquod opus nefandum insaniae. cum autem paulo post convenirent, qui regi praesidium implebant, Romani, exortum est

ἥττω δὲ οἱ βάρβαροι κληρωσάμενοι τῶν οἰκείων ἐπάλξεων ὡς φρουρίου τινὸς ἀντείχοντο (ἀπονενέμηται γὰρ αὐτοῖς ἄκρα τις ἐν τῷ παλατίῳ μετέωρος εἰς κατοίκησιν), ἕως ἀπειρηκότες τῇ βασιλικῇ δυνάμει καὶ δεξιᾷ τὰς ἑαυτῶν κακίας ἐξέληξαν, καὶ συγγνώμην αἰτήσαντες εὗρον ἐπικαμπτομένην αὐτοῖς τὴν τοῦ βασιλέως εὐμένειαν.

Οὕτως οὖν καὶ ταύτην τὴν ἐπιβουλὴν θεοτεύκτῳ εὐψυχίᾳ καταγωνισάμενος, παντὶ μὲν πλήθει τῶν σωματοφυλακτούντων βαρβάρων τιμωρίαν οὐκ ἐπεστήριζε, δεομένους δὲ μᾶλλον καὶ τὰς ὄψεις εἰς γῆν ἐπερείδοντας κατῳκτείρησε συμπαθείας τε ἐπηξίωσε, καὶ ὑποθήκαις χρησταῖς φρονεῖν παρεσκεύασεν ὡς οὐκ ἂν αὐτὸν ζητοῦσαι περιτρέψαι δυνηθεῖεν πολλαὶ μυριάδες ἀνδρῶν, ἐκ θεοῦ λαβόντα τὴν ἡγεμονίαν. τινὰς δὲ τούτων, ὅσοι πρὸς τὴν τοῦ βελτίονος μεταβολὴν ἀπεγνωσμένοι ἦσαν ἰδεῖν, καὶ τῇ κρίσει καὶ ἀναζητήσει τοῦ βασιλέως καὶ ταῖς προσηκούσαις ἀπειλαῖς καὶ παρ' αὐτῶν τῶν ὁμοφύλων ἠλέγχθησαν, φρουροὺς τινῶν ἐρυμάτων ὡς ἀποβλήτους ἀπέστειλε, τοιαύτῃ φιλοτίμῳ φυγῇ ζημιώσας τοὺς ἄφρονας.

Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ Μιχαὴλ μοναχὸς ὁ ὑπέρτιμος, ὁ ἐπὶ τῶν πολιτικῶν πραγμάτων προστάς, τὸ γένος ἕλκων ἐκ Νικομηδείας, τὴν ζωὴν ἐξεμέτρησε, δυσάρεστος ἄνθρωπος καὶ ὑψαύχην καὶ μὴ πάνυ τι ξυντιθέμενος ταῖς τοῦ

14. τινὲς C.

bellum per aliquod tempus: inferiorem autem partem barbari sortiti intra sua praesidia quasi intra castellum se continebant: (tributa enim erat iis arx quaedam in palatio alta ad domicilium:) donec defatigati regia manu et dextra a sua pravitate desisterent et veniam petentes invenirent adnuentem sibi regis clementiam.

Postquam igitur sic et has insidias divina fortitudine debellavit, omni multitudini satellitum barbarorum poenam non intendit: immo precantes et oculos in terram figentes miseratus est et misericordia dignatus et admonuit eos, ut consiliis bonis uterentur, quippe cum non possent eum licet volentes evertere multae myriades virorum, cum a deo accepisset imperium. nonnullos autem ex his, qui quominus se in melius verterent desperati erant et iudicio et quaestione regis et aptis minis vel ab ipsis tribulibus convicti erant, castellorum quorundam praesidium ut abiectos misit, tali generoso exilio puniens stultos.

Non multo post etiam Michael monachus illustrissimus, civilium rerum praeses, qui genus ducebat e Nicomedia, vitam emensus est, ingratus homo et superbus neque omnino compositus regis benignis

βασιλέως φιλοτίμοις εὐποιΐαις, τὸν σφαγέντα ὑπογραφέα προοίμιον ἐσχηκὼς τῆς αὐτοῦ τελευτῆς. τῆς γὰρ ἐκείνου ὑπηρεσίας ἐτύγχανε, καὶ διὰ τοῦτο δήπου λόγος ἐκράτησεν ὡς ἐκ μέσου τοῦτον πεποίηκεν ὁ θεὸς οἷα τὰς βασιλικὰς δωρεὰς f. 233 v. καὶ εὐεργεσίας διακωλύοντα.

Ἐν ὅσῳ δὲ ταῦτα ἐπράττετο καὶ γαλήνη τὶς σταθηρὰ ἐκ τῶν τυράννων ὑπεσημαίνετο, ἕτερόν τι σκῶλον ἢ ζιζάνιον διαφθεῖραι τὸν σῖτον φιλονεικοῦν ἐκ τῆς Ἐπιδάμνου πόλεως ἀνεφύη καὶ διετάννυτο. ὁ γὰρ ἐκεῖσε ὑπὸ τοῦ προβεβασιλευκότος ἀποσταλεὶς δοὺξ, ὁ πρωτοπρόεδρος Βασιλάκης, μετὰ τὸ φθάσαι παρελθεῖν τὸν Βρυέννιον καὶ ἀπελθεῖν εἰς Ἀδριανούπολιν καταλαβὼν τὸ Δυρράχιον, στρατιὰν ἐκ πασῶν τῶν ἐπικειμένων ἐκεῖσε χωρῶν συνελέγετο, καὶ Φράγγους μεταπεμψάμενος ἐξ Ἰταλίας φιλοτίμοις δεξιώσεσι τῆς ἑαυτοῦ μερίδος καὶ συμμορίας ἐτίθετο δεξιῶς. ἤθροιζε γὰρ χρυσίον ἐκ πάσης αἰτίας καὶ τρόπου παρὰ τῶν πειθομένων καὶ καταδυναστευομένων αὐτῷ, καὶ κατάλογον θέμενος πρόφασιν ἐποιεῖτο τῆς τοιαύτης ὁπλίσεως τὴν κατὰ τοῦ Βρυεννίου ὡς ἀποστάτου ἐπίθεσιν. ἐπὰν δ' ἔγνω πολύ τι στρατόπεδον συναγηοχὼς καὶ ἀξιόμαχον δύναμιν (εἶχε γὰρ καὶ Ῥωμαίων πολλῶν στρατιωτικόν, Βουλγάρων τε καὶ Ἀρβανιτῶν, καὶ οἰκείους ὑπασπιστὰς οὐκ ὀλίγους), ἄρας ἐκεῖθεν πρὸς τὴν Θεσσαλονίκην ἠπείγετο. ἤδη δὲ καὶ αὐτοῦ ταύτην καταλαμβάνον-

beneficiis, postquam occisum scribam prooemium habuit mortis: ex illius enim ministris erat, atque propterea fama dominabatur, e medio hunc sustulisse deum, ut regia dona et beneficia impedientem.

Dum autem haec aguntur et tranquillitas quaedam firma ex tyrannis significatur, alia spina vel zizanium perdere frumentum studens ex urbe Epidamno apparuit et intendebatur. etenim qui ibi a priore rege missus erat dux, primus praeses Basilaces, postquam praetervenit Bryennium et abiit Adrianopolin, occupavit Dyrrhachium et exercitum sibi ex omnibus ibi adiacentibus locis collegit: et Francos arcessens ex Italia benignis donis in suam partem et coniunctionem transducebat dextre. cogebat enim pecuniam ex omni causa et ratione ab iis, qui parebant ei et imperabantur, et tabellas faciens praetextum edidit talis armaturae persecutionem Bryennii ut apostatae: postquam autem cognovit, se multum exercitum conduxisse et pugnacem vim (habebat enim Romanorum multorum exercitum, et Bulgarorum atque Albanitarum et proprios propugnatores, non paucos), profectus inde Thessalonicam contendit: quam cum iam occupasset, fama ad eum pervenit, Botaniatem a toto senatu et conventu et popularibus et ab om-

τος, φήμη προσήγγισε τούτῳ ὅπως ὁ Βοτανειάτης παρὰ πάσης τῆς συγκλήτου βουλῆς καὶ τῆς συνόδου καὶ τῶν δημοτικῶν, καὶ παρὰ πάντων ὁμοῦ αἱρεθεὶς βασιλεὺς αὐτοκράτωρ ἀνηγορεύθη, καὶ ὅπως μάχῃ κρατερᾷ νενικηκὼς τὸν Βρυέννιον τῶν ὀφθαλμῶν ἀπεστέρησεν, ὅπλα κεκινηκότα καὶ κατ' αὐτοῦ ἀντάραντα καὶ τὰ δευτερεῖα μὴ ἀνασχόμενον σχεῖν. ὁ δὲ διαταραχθεὶς πρὸς τὴν φήμην καὶ τὴν καινοτομίαν τοῦ πράγματος, γράμματα μὲν ἐξέπεμψε τῷ βασιλεῖ τοὺς τῆς δουλώσεως θεσμοὺς ὑπεμφαίνοντα, ἔπραττε δ' ἐν τῷ λεληθότι τὰ τῆς ἀνταρσίας ἐπίδηλα. τό τε γὰρ πλῆθος τοῦ καταλόγου συνηθροισμένον εἶχε μεθ' ἑαυτοῦ, καὶ τοὺς Πατζινάκους εἰς συμμαχίαν ἠρέθιζε διὰ μηνυμάτων καὶ δι' ἀντιγράφων. κελευσθεὶς εἰσελθεῖν ἀπονοίᾳ τὴν πρὸς τὸν κρατοῦντα εἰσέλευσιν μετεώριζεν. ὡς δ' ὁ βασιλεὺς ἔγνω τὴν τούτου προαίρεσιν, μὴ θέλων αὐτὴν παραδειγματίσαι ἢ στηλιτεῦσαι τῆς ἀνταρσίας τὸ βλάσφημον, ἀπέστειλέ τινα τῶν ἐγγυτάτων αὐτῷ μετὰ καὶ χρυσοβούλλου γραφῆς, πάντων τῶν φθασάντων κακῶν ἀμνηστίαν ἐπαγγελλόμενος, καὶ νωβελλισίμου βραβεύων αὐτῷ τιμήν, καὶ πολλῶν ἑτέρων ἀξιωμάτων καὶ ὑπερογκῶν οὐκ ἐλαχίστων δαψίλειαν κατεμπεδούμενος τῇ γραφῇ· ὁ δὲ τὰς ἐν χερσὶν εὐεργεσίας περιφρονῶν, ἀμηνύτοις καὶ ἀδήλοις ἑαυτὸν περιέσαινε, καὶ διὰ τοῦτο ὕστερον ἀνόνητα μετεκλαύσατο. μηδὲ γὰρ δεξάμενος τὴν τότε τοῦ βασιλέως προσπάθειαν, μηδὲ τῷ τοῦ Βρυεννίου παραδείγματι βελτίων

5. κεκινηκότες C. 6. ἀντάραντος C.

nibus simul creatum regem, imperatorem renuntiatum esse, et pugna violenta vicisse Bryennium atque oculis privasse, qui arma movisset et contra eum seditionem fecisset neque secundas agere partes sustinuisset. hic autem turbatus fama et inaudita re literas misit regi, quae servitutis rationes significabant. egit autem clam apertam seditionem. multitudinem enim e tabulis conductam habebat secum et Patzinacos ad societatem excitabat promissis, atque literis iussus accedere stultitia adventum ad imperatorem tardabat. cum autem rex sensisset eius consilium, nolens id repraesentare vel quasi in columna inscribere seditionis ignominiam, misit quendam sibi proximorum cum imperatoriis literis, omnium priorum malorum oblivionem promittens, et nobilissimi tribuens ei honorem, et multarum aliarum dignitatum et insignium non minimorum copiam affirmans literis: ille autem parata beneficia contemnens irritis et incertis sibi blandiebatur: atque propterea postea damnum doluit: neque enim accipiens tum regis benevolentiam neque Bryennii exemplo melior factus tempus frustra re-

ἑαυτοῦ γεγονώς, τὸν χρόνον διὰ κενῆς παραγκωνίζεσθαι ἤθελε, καὶ ἀπάταις οὐκ εὔφροσι τὴν ἑαυτοῦ σωτηρίαν καταπροΐεσθαι. ὅθεν καὶ μισήσας ὁ βασιλεὺς τὴν αὐτοῦ κακοήθειαν, τῷ τῶν ἑσπερίων ταγμάτων ἄρχοντι, τῷ νωβελλισίμῳ δηλαδὴ Ἀλεξίῳ καὶ δουκὶ τῆς δύσεως, ὃν δὴ τηνικαῦτα καὶ τῷ πανσεβάστῳ f. 234 r. τοῦ σεβαστοῦ τετίμηκεν ἀξιώματι, τὸν κατὰ τούτου ἐπέτρεψε πόλεμον. ὃς τὰς δυνάμεις ἀνειληφὼς εὐθὺ τῆς Θεσσαλονίκης τεταγμένως ἐφέρετο, καὶ φρουρὰν ἐν τῷ περιθεωρίῳ τοῦ Βασιλάκη καταλαβὼν πολέμῳ ταύτην ἀνήρπασεν· οὐ γὰρ χεῖρας ἐδίδουν καὶ τοῖς θελήμασι τοῦ κρατοῦντος ὑποκύπτειν ἠβούλοντο. οὓς καὶ δεσμώτας πέμψας τῷ βασιλεῖ προοίμιον ἀγαθὸν τῆς τοῦ ἀποστάτου καταστροφῆς ἐποιήσατο. προβιβάζων δὲ τὴν στρατιὰν καθεξῆς μέχρι τῆς Θεσσαλονίκης ἀπαθὴς παρελήλυθεν. ἔκ τινος δὲ διαστήματος τὸν χάρακα θείς, ἀντιπέραν τοῦ ποταμοῦ τοῦ λεγομένου Βαρδαρίου, καθὼς ὁ βασιλεὺς αὐτὸν διὰ γραμμάτων ἐδίδαξε, διανυκτερεύσειν ἐκεῖσε καὶ διαναπαῦσαι τὸν στρατὸν διεσκόπησεν. ὁ δὲ Βασιλάκης νυκτίλοχος γενέσθαι διασκεψάμενος, καὶ κατὰ κράτος τοὺς ἀντιτεταγμένους ἑλεῖν τῷ ἀπροσδοκήτῳ τῆς ἐν σκότει ἐπιφοιτήσεως, σκότος μᾶλλον ἑαυτῷ διηνεκὲς ἐπροοιμιάσατο. διαγνωσθείσης γὰρ τῆς ἐνέδρας αὐτῷ προεφυλάξαντο μὲν οἱ τῆς βασιλικῆς μοίρας στρατιῶται, τὴν τοῦ ἡγεμόνος παραγγελίαν τε καὶ ἐγρήγορσιν παραθαρρύνουσαν ἔχοντες· ἀποτυχὼν δὲ τῆς ἐπιβουλῆς ὁ ἀντάρ-

pellere volebat, et fallaciis non prudentibus salutem suam proiicere: quamobrem etiam odio habens rex eius pravitatem occidentalium ordinum imperatori, nobilissimo Alexio, et duci occidentis, quem quidem tum etiam augustissima augusti ornaverat dignitate, bellum contra hunc imposuit: qui quidem exercitus recipiens statim Thessalonicam ordine contendebat: atque castellum in circuitu Basilacis occupans bello hoc diripuit: neque enim manus dare et voluntati imperatoris se subiicere volebant: quos etiam vinctos mittens regi prooemium bonum cladis apostatae fecit: proficiscens autem cum exercitu deinceps usque ad Thessalonicam sine malo venit: atque intervallo vallum faciens ex adversa parte fluvii, qui dicitur Bardarius (ut rex eum literis edocuerat), pernoctare ibi et reficere exercitum statuit. Basilaces autem, qui noctu insidiari vellet et impetu adversarios capere inexspectata tenebris incursione, tenebras magis sibi ipsi perpetuas praefatus est. cognitis enim insidiis cavebant sibi regiae partis milites, imperatoris mandatum et vigilias invicem se hortando observantes:

της πολέμῳ χαλεπῷ περιέπεσε, καὶ κατὰ κράτος ἡττηθεὶς καὶ τῶν ἰδίων πλείστους ὅσους ἀποβαλών, καὶ μᾶλλον τῶν Φράγγων, καὶ αὐτὸς κατὰ πρόσωπον τῷ δουκὶ ἀντιταχθεὶς καὶ παρ' αὐτοῦ καταπονηθείς, εἰς τὴν τῆς Θεσσαλονίκης ἀκρόπολιν διαπέφευγεν, οἰόμενος τῷ τοῦ φρουρίου περιτειχίσματι κέρδος τι ἑαυτῷ περιποιήσασθαι καὶ ἀνάκτησιν. ὁ δὲ σεβαστὸς μηδὲν ὅλως μελλήσας τὴν ἅλωσιν τοῦ φρουρίου τοῖς ἀμφ' αὐτὸν προετρέψατο· οἱ δὲ προσβολὰς ἐνεργεῖς ποιησάμενοι, καὶ τοὺς ἔνδον Θεσσαλονίκης συμφρονήσαντας ἔχοντες, ταχὺ τούτου περιεγένοντο καὶ τῆς ἀκροπόλεως ἐκυρίευσαν. καὶ κατασχεθεὶς οὗτος καὶ σιδηροδέσμιος γεγονὼς καὶ τῷ τῶν τυράννων νόμῳ κατάκριτος, ἀπεστάλη τῷ βασιλεῖ διὰ τῶν δημοσίων ἵππων φερόμενος. τῆς δ' ἀγγελίας ταύτης προκαταλαβούσης τὰς βασιλικὰς ἀκοάς, πρόσταγμα γέγονε τὰς κόρας ἐκκεντηθῆναι τῶν ἀποστατικῶν ὀφθαλμῶν. καὶ τούτου γενομένου καθ' ἣν συνήντητο πάροδον, ἦλθε δι' ἁμάξης ἐλεεινὸς φόρτος καὶ δυστυχὲς καταγώγιον. αἱ δὲ τοῦ βασιλέως πρὸς τὸ θεῖον εὐχαριστίαι καὶ πρὸς τοὺς ὑπηκόους εὐεργεσίαι καὶ πανημέριοι φιλοτιμίαι τὸ ἀνένδοτον εἶχον ἀεὶ καὶ ὡς διὰ κρανοῦς διεχέοντο.

Ἐν ᾧ δὲ τὰ στρατεύματα ἐν Θεσσαλονίκῃ διεκαρτέρουν, Σκύθαι τῆς ἐρημίας τούτων ὡς ἑρμαίου δραξάμενοι τῇ Ἀδριανουπόλει προσήγγισαν, καὶ τοῖς ἐκτὸς τοῦ τείχους οἰκήμασιν ἐπιρράξαντες, παραβοηθούντων αὐτοῖς καὶ ἀπὸ τοῦ μαχιμω-

aberrans autem a consilio adversarius in bellum difficile incidit, atque devictus et suorum plurimos amittens magisque Francorum, et ipse in conspectum duci oppositus et ab eo confectus in Thessalonicae arcem confugit, putans castelli muris lucrum sibi conciliare et recreationem. Augustus autem nihil omnino curans occupationem castelli suis imposuit: hi autem machinas efficaces facientes et incolas Thessalonices sibi conciliatos habentes celeriter hoc superiores fiebant et arce potiti sunt: atque captus hic et vinctus et tyrannorum lege damnatus missus est ad regem, publicis equis actus. nuntio autem hoc obtinente regis aures, iussum editum est, ut pupillae pungerentur oculorum apostatae: atque hoc facto ubi in itinere ei obviam venerunt, advenit curru, miserum onus et infelix diversorium: regis autem in deum gratia et in subiectos beneficia et diurnae largitiones nunquam remissionem habebant, et in praeceps effundebantur.

Dum autem exercitus Thessalonicae versantur, Scythae solitudinem eorum lucro apponentes Adrianopoli appropinquarunt, atque extra moenia aedificia aggressi auxiliantibus iis etiam ex pugnacissimo

τάτου ἔθνους τῶν Κομάνων πολλῶν, πῦρ ταύταις ἐνῆκαν καὶ πυριφλέκτους πολλὰς ἀπέδειξαν, ὀργιζόμενοι τῷ Βρυεννίῳ ὅτι πρέσβεις αὐτῶν ἐπὶ τούτου παρὰ τῶν Ἀδριανουπολιτῶν ἀνῃρέθησαν. τοῦ δὲ στρατοῦ σπουδαίως καταλαμβάνοντος, f. 234 v. δρασμὸν οἱ βάρβαροι ἔθεντο καὶ οὐκέτι τοῖς Ῥωμαϊκοῖς ὁρίοις ἐπελθεῖν παρετόλμησαν.

Ἐν δὲ τῷ ἔτει τούτῳ δουλικὴν ὡμολόγησε πίστιν τῷ βασιλεῖ ὁ κουροπαλάτης Φιλάρετος ὁ Βαχάμιος· οὗτος γὰρ ἐν τόποις δυσβάτοις καὶ ὀρεινοῖς καὶ τῶν Τουρκικῶν παρόδων ἀπῳκισμένοις τὰς οἰκήσεις ποιούμενος τείχεσι πλείστοις τοὺς στενωποὺς περιέλαβε, καὶ κατοχυρώσας τὰς διεκβάσεις ἀνάλωτον τοῖς ἐκεῖσε χώραν ἀπὸ τῶν ἐναντίων εἰργάσατο, καὶ πλῆθος Ἀρμενίων καὶ ξυγκλύδων ἀνδρῶν συλλεξάμενος δύναμιν ἑαυτῷ περιμάχητον ἀπειργάσατο, καὶ τῷ προβεβασιλευκότι ἀκαταδούλωτος ἦν, καὶ κατ' ἐξουσίαν τὰ ἑαυτοῦ προμηθούμενος, καὶ πόλεις βασιλικὰς εἰς ἑαυτὸν οἰκειούμενος, καὶ εἰς μῆκος ἐξαίρων τὴν ἰδίαν κατάκτησιν. καὶ τότε μὲν οὕτως· τοῦ δὲ Βοτανειάτου τὴν αὐτοκράτορα περιεζωσμένου ἀρχὴν δοῦλος αὐτεπάγγελτος γέγονε καὶ ὑπηρέτης ἐν πᾶσι πειθήνιος καὶ πᾶν τὸ προσταττόμενον ἐπιμελῶς ἐργαζόμενος· καὶ λόγους διὰ γραφῆς δέδωκε τῆς προτέρας σκληρότητος, ὅτι γλίσχρως καὶ οὐ βασιλικῶς τὰ κατ' αὐτόν τε καὶ τοὺς ἄλλους ὁ προβεβασιλευκὼς μετεχειρίζετο πράγματα, ταῖς ὑποθημοσύναις τοῦ λογοθέτου καταδουλούμενος.

19. αὐτοκράτορος C.

populo Comanorum multis, ignem his iniecerunt et combusta multa reddiderunt, irati Bryennio, quod legati eorum sub hoc ab Adrianopolitanis sublati erant. exercitu autem studiose adveniente effugerunt barbari, neque iam Romanos fines aggredi ausi sunt.

Hoc autem anno servitutis professus est fidem regi curopalates Philaretus Bachamius. is enim in locis inviis et montanis et a Turcarum itineribus remotis domicilia ponens, muris plurimis angustias circumdedit et firmans exitus invictam incolis terram ab adversariis reddidit: atque multitudinem Armeniorum et advenarum colligens vim sibi pugnacem conciliavit et priori regi invictus erat et ex potestate sua curabat et urbes regias recuperavit et auxit suam possessionem: atque tum ita: postquam autem Botaniates imperatoris indutus est dignitate, servus voluntarius factus est et minister in omnibus obediens atque omnia, quae imperabantur, studiose fecit, et rationes literis reddidit prioris pertinaciae, quod parce neque regie res, quae ad eum et ceteros pertinebant, prior rex tractasset, consiliis logothetae subiectus.

Τοῦ χρόνου δὲ προϊόντος, ἐπεὶ καὶ κατὰ τοῦ λεγομένου Λέκα τοῦ τοὺς Πατζινάκους ἐνσείοντος (Ῥωμαῖος γὰρ ὢν ἐξ ἐπιγαμβρείας αὐτοῖς ηὐτομόλησε) καὶ κατὰ τοῦ τὴν ἐν μεσημβρίᾳ διακυκῶντος Δοβρομηροῦ γῆν στρατιὰν ἐπαφεῖναι ὁ βασιλεὺς ἔμελλε, δείσαντες οὗτοι τὸ τοῦ βασιλέως εὐσθενὲς καὶ ἀπρόσμαχον καὶ τὴν ἐκ θεοῦ δεδομένην ἰσχὺν αὐτῷ, καὶ τοῖς τῶν ἄλλων σωφρονισθέντες κακοῖς, καὶ πρὸ τῆς . . . τῷ δουλικῷ ζυγῷ τοὺς αὐχένας ὑπέκλιναν, καὶ προσῆλθον ἱκέται τὴν σωτηρίαν ἑαυτῶν ἐξαιτούμενοι. ἀλλ' ὁ βασιλεὺς οὐ μόνον αὐτοῖς τὸ αἰτηθὲν ἐχαρίσατο, ἀλλὰ καὶ ἀξιώμασι περιλάμπροις καὶ δωρεαῖς οὔτι μεμπταῖς φιλοτιμησάμενος εὐχαρίστους καθάπαξ πεποίηκε, καὶ πίστιν αὐτοῖς καὶ δούλωσιν ἀθόλωτον ἐγκατέσπειρεν.

Οἱ δὲ περὶ τὸν Ἴστρον Σκύθαι καὶ αὐτοὶ τῇ φήμῃ τῆς τοῦ βασιλέως εὐγενείας καὶ ἀνδρίας καὶ τῆς συστρεφομένης ἐπ' ἀμφότερα δεξιᾶς, δωρηματικῆς τε ὑπὲρ τῶν οἰκετῶν καὶ δορυβρέμονος κατὰ τῶν ἀντιθέτων ἐχθρῶν, εἰς διανοίας συνελθόντες εὐσχήμονας πρέσβεις ἀπέστειλαν εἰς αὐτόν, τὰ πιστὰ καὶ οὗτοι τῆς ἑαυτῶν ὑπακοῆς παρεχόμενοι. καὶ τὴν πληροφορίαν εἰσάγοντες οἱ πρέσβεις, καί τινας ἀποστάτας συνδυάσαι τοῖς Πατζινάκοις ἐπὶ τοῦ προβεβασιλευκότος διαγνωσθέντας ἐνώπιον αὐτοῦ δεινῶς κατῃκίσαντο, τὸ σχίσμα πάντως παραδεικνύοντες καὶ τὴν ἀπ' ἐκείνου προφανεστά-

6. ἀπρόμαχον C. 7. . . .] πείρας? 20. ἀποστάτας πρέσβεις συνδ. C. 22. διαγνωσθέντος C.

Tempore autem procedente, cum etiam contra Lecam sic dictum Patzinacos turbantem (Romanus enim cum esset affinitate ad eos transiit) et contra Dobromerum, qui terram australem concuteret, exercitum missurus esset rex, timentes hi regis potentiam et invictum animum et a deo ei datam vim, atque aliorum malis edocti, vel ante . . . sub servitutis iugum colla inclinarunt et accesserunt supplices salutem suam petentes: sed rex non solum iis, quod petebant, largitus est, sed etiam dignitatibus illustribus et donis non spernendis honorans gratos illico fecit et fidem iis et servitutem inturbatam insevit.

Qui autem circa Istrum habitant, Scythae et ipsi fama regis nobilitatis et virtutis et conversae ad utrumque dextrae, largientis erga familiares et bellicosae contra oppositos adversarios, ad consilia convenientes decora, legatos miserunt ad eum, fidem et ipsi obedientiae suae praebentes: atque promissa ferentes legati, cum cognitum esset nonnullos legatos dissidentes se coniunxisse cum Patzinacis sub priore rege, coram eo valde probra fuderunt, discordiam

τὴν ἀπόστασιν. ἔκτοτε τοίνυν οὐκέτι πρὸς ἐπιδρομὰς καὶ ἁρπαγὰς χωρῆσαι καί τι τῶν Ῥωμαϊκῶν παραβλάψαι χωρίων ἐτόλμησαν.

Ἀλλ᾽ ὅ με μικροῦ διέλαθεν ἄν, τοῦτο τῷ λόγῳ προσθήσω. ἄριστος ὢν ὁ βασιλεύς, εἴπερ τις ἕτερος, τύχας ἀνορθῶσαι καὶ παρηγορίαν ἐμποιῆσαι τῷ δυστυχήματι καὶ ἀδοξήσαντας f. 235 r. ἀνθρώπους εἰς εὐδοξίαν συμφέρουσαν καὶ πρόσφορον τῇ καταστάσει τούτων ἀνενεγκεῖν, οὐδὲ τὸν καθαιρεθέντα καὶ ἀποκηρυχθέντα βασιλέα Μιχαὴλ εἰς ἀλαμπῆ τύχην καὶ ζοφερὰν καταλέλοιπεν, ἀλλὰ τῷ ἀρχιποίμενι Κωνσταντινουπόλεως συμβούλῳ χρησάμενος ἀνάγει τοῦτον ὡς προγενόμενον μοναχὸν εἰς ἀρχιερατικὴν ἀξίαν, καὶ τοῦ βήματος δείκνυσι, καὶ οὐκ εὐτελοῦς ἐκκλησίας τοῦτον πρόεδρον τίθησιν ἀλλὰ λαμπρᾶς καὶ περιφανοῦς, τῆς τῶν Ἐφεσίων μητροπόλεως ἀποδειχθῆναι παρασκευάσας αὐτὸν τοῦτον, καὶ τοῦ ἁγιωτάτου πατριάρχου Κοσμᾶ, γηραιοῦ καὶ πρεβεβηκότος ἀνδρὸς καὶ εἰς ἄκραν ἐληλακότος ἀρετὴν καὶ ὑπεραναβεβηκότος τὴν τῶν κάτω κειμένων ἔφεσιν, καὶ τῶν ὁσιωτάτων μητροπολιτῶν συνευδοκησάντων καὶ συμψηφισαμένων καὶ συλλειτουργησάντων αὐτῷ. ἐδόκει γὰρ ἡ ἀξία κατάλληλος τῇ φύσει τοῦ πρὶν βασιλεύσαντος διὰ τὸ προσὸν αὐτῷ ἀφελὲς καὶ ἄπειρον τῶν βιωτικῶν καὶ πρὸς τὴν γνῶσιν τῶν βασιλικῶν πραγμάτων ἀδιεύθετον.

2. τοι C.

omnino monstrantes et manifestissimam seditionem. ex eo igitur tempore non iam ad incursiones et raptum procedere et Romanorum vastare loca ausi sunt.

Sed quod me paene latuisset, hoc narrationi addam. optimus rex si quis alius ad fortunas corrigendas et consolationem fortunae inferendam et obscuros homines ad gloriam utilem atque accommodata conditioni horum reducenda, ne sublatum quidem et abdicatum regem Michaelem in caeca fortuna et obscura reliquit, sed primi pastoris Constantinopolis consilio usus effert hunc ut priorem monachum ad summi pontificis dignitatem et concionantem reddit et ecclesiae non vilis hunc praesidem facit, sed illustris et clarae Ephesiorum metropolis renuntiandum curavit hunc, cum et sanctissimus patriarcha Kosmas, senex et provectus aetate, qui ad summam pervenerat virtutem et superaverat infra sitorum studium, et sacerrimi metropolitae assentirentur ei et auxiliarentur. Videbatur enim dignitas apta naturae prioris regis, quia aderat ei simplicitas et imperitia rerum vitalium et cognitionis rerum regiarum difficultas.

Οὐ μὴν δὲ ἀλλὰ καὶ τὴν μητέρα τούτου πλέον ὁ Βοτανειάτης ἤπερ ἐκεῖνος ἐτίμησε καὶ ἐσέμνυνε, καὶ τὰ θυμήρη ταύτῃ ἀφθονώτερον ἀπειργάσατο. ἐκεῖνος γὰρ μοναχὸν ἀποδείξας ἐκ βασιλίσσης καὶ μελαμφοροῦσαν ἐκ πορφυρίδος καὶ περιχρύσου περιβολῆς, καὶ ἀειφυγίαν ταύτης κατέκρινε· καὶ ἦν ἔξω τῆς πόλεως τόπον ἐκ τόπου ἀμείβουσα μετὰ τῶν αὐταδέλφων αὐτοῦ, καὶ οὐδὲ συνεχάρει τὰς θηλείας, ὡραίας οὔσας πρὸς γάμον, ἐς ἀνδρὸς φοιτῆσαι νομίμου καὶ τὸ τῇ φύσει κεχρεωστημένον ἀφοσιώσασθαι. ὁ δὲ Βοτανειάτης ἐντὸς τῆς πόλεως συνοικεῖν μετὰ τῶν παίδων αὐτὴν συνεχώρησε, καὶ ἴσα καὶ μητέρα ἐτίμα, καὶ τοὺς παῖδας αὐτῆς ἐπιφανεστάτοις ἐλάμπρυνεν ἀξιώμασι, καὶ συνεχεῖς δωρεὰς αὐτῇ καὶ παντοίας εὐεργεσίας κατέπεμπε, καὶ τριῶν σεκρέτων καὶ τῶν ἄλλων χρηστῶν κυρίαν ταύτην ἀπέφηνε, καὶ πολυταλάντων εἰσόδων ἠξίωσεν. ἀλλὰ καὶ τὰς θυγατέρας αὐτῆς πρὸς γαμικὴν ὁμιλίαν ἐλθεῖν συνεχώρησε, καὶ τοῖς πρώτοις τῶν συγκλητικῶν τὸ κῆδος τούτων συμπλακῆναι κατένευσε. καὶ ὅλως χαρμονῆς καὶ θυμηδίας τὴν δυστυχοῦσαν ἐπὶ τοῦ βασιλεύσαντος παιδὸς καὶ θρηνοῦσαν ὁ ἀλλότριος καὶ ξένος τοῦ αἵματος αὐτῆς βασιλεὺς ἐνέπλησε, καὶ περίοπτον πλέον ἤπερ τὸ πρότερον ἔδειξεν.

Ὁ δὲ τὴν τοῦ βασιλέως προαίρεσιν ὑπερτέραν ἀνθρωπίνης διανοίας ἐξέφαινε, τοῦτο δὴ καὶ ῥητέον. ὁ τοῦ προ-

3. ταύτης C.

Sed etiam matrem huius magis Botaniates quam ille honoravit et veritus est et grata huic benignius fecit. ille enim monacham reddens ex regina et squallidam ex purpura et aureo amictu etiam sempiterni exilii hanc damnavit: atque erat extra urbem, locum loco mutans cum fratribus eius: neque concedebat, ut necessitate feminarum in matrimonium viri ex more iret et naturae debita placaret. Botaniates autem intra urbem habitare cum liberis eam passus est, atque ut matrem honorabat et filios eius clarissimis illustrabat dignitatibus et continua dona ei et varia beneficia mittebat, et trium secretorum et ceterarum rerum utilium dominam hanc ostendit et multorum talentorum reditibus dignatus est: sed etiam filias eius in nuptiarum societatem ire passus est et principibus senatorum affinitatem horum coniungi adnuit: atque omnino gaudio et hilaritate infelicem sub regnante filio et moestam peregrinus et alienus a sanguine eius rex implevit: atque claram magis quam antea ostendit.

Quod autem regis voluntatem superiorem humano consilio monstrabat, hoc quoque dicendum est. prioris regis frater Constantinus,

βεβασιλευκότος αὐτάδελφος ὁ Κωνστάντιος, ἀντίπαις ὢν ἔτι. τῆς βασιλευούσης πόλεως καὶ τῶν ἀνακτόρων παρὰ τοῦ συγγόνου ἀπείργετο καὶ πρὸς τὴν ἀντιπέραν ἠλαύνετο θάλασσαν. ὁ δὲ Βοτανειάτης, πατρὸς ἐπ' αὐτῷ σπλάγχνα καὶ διάθεσιν ἐνδεικνύμενος, καὶ τῶν ἀνακτόρων ἐντὸς εἰσεδέχετο καὶ σύνδειπνον ἐποιεῖτο, καὶ φθόνον ἐπ' αὐτῷ ἢ ὑποψίαν τινὰ λαμβάνειν οὐκ ἤθελεν· ὅθεν καὶ τῶν προσόντων αὐτῷ χρημάτων τε καὶ κτημάτων οὐδεμίαν περικοπὴν ἐποιήσατο. τοιοῦτος ἦν ὁ Βοτανειάτης, τὴν ψυχὴν καθαρὸς ὑπὲρ ἥλιον, καὶ f. 235 v. τὴν γνώμην ἀπειρόκακον ἔχων καὶ πάσης ἐλευθέραν ὑπονοίας δεινῆς. ἀλλὰ καὶ ὥς, εἰ μή τις ἀνεξερεύνητος χάρις περιεῖπεν αὐτόν, οὐκ ἂν εἰς τοσοῦτον συμπαθείας ἐλήλυθεν ὡς καὶ προφανῆ ἀντίδικον καὶ πολέμιον, καὶ ὡς ἀκμὴν νεότητος ἐπιβεβηκότα, καὶ ἀτόπους ὁρμὰς καὶ ἀναπεμπαζόμενον τὴν πρὸς εὐδαιμονίαν τῆς βασιλείας καὶ τὸν καθαιρέτην τοῦ γένους αὐτῶν γενόμενον, προσοικειοῦσθαι καὶ παρόδου διδόναι συνιέναι αὐτῷ καὶ συνευωχεῖσθαι καὶ κοινωνεῖν αὐτῷ καὶ τοῖς βασιλείοις συναναμίγνυσθαι. ὁ δέ, τὴν βασιλέως εὐεργεσίαν κακοποιίαν ἐξ ἀχαριστίας ἡγούμενος, καὶ μηδ' εἰς νοῦν ἐμβαλὼν ὅτι ἐξὸν ὂν τῷ βασιλεῖ καὶ ὀφειλόμενον πάντως ἄρδην ἀπολέσαι τοῦτον καὶ ὡς ἐχθρὸν καὶ ἀντίδικον, οὐδὲν τοιοῦτον διενοήσατο, καὶ ἄνετον αὐτῷ τὴν ζωὴν καὶ τὴν διαγωγὴν εὐδαίμονα καὶ πλουσίαν ὡς τὸ πρὶν καταλέλοιπεν, ἰοβόλον εἶχε τὸν ἔνδον ἄνθρωπον, καὶ κότον ἔτρεφε κατὰ τοῦ

pueri adhuc instar, ab urbe et regia per cognatum removebatur, et ad mare ducebatur adversum. Botaniates autem patris in eum intestina et conditionem ostendens etiam intra regiam eum recipiebat et convivam reddebat, atque invidiam de eo vel suspicionem concipere nolebat: quamobrem etiam rerum et possessionum, quae ei essent, nullam deminutionem fecit. talis erat Botaniates, animo purus supra solem et ingenium mali expers habens et omni liberum suspicione dira: sed vel sic, nisi quaedam non investiganda gratia circumdedisset eum, non ad tantam misericordiam venisset, ut etiam manifestus adversarius et hostis et qui quasi florem iuventutis ascendisset et inepta consilia et reputaret suam prae felicitate regni, et necator generis eorum conciliaretur et occasionem daret conveniendi et convivandi et colloqueretur cum eo et regiae coniungeretur. ille autem regis beneficientiam maleficium ex ingrato animo putans, neque animadvertens, eum, cum liceret regi et debitum esset omnino funditus perdere eum ut hostem et adversarium, nihil tale cogitasse et liberam ei vitam et commorationem beatam et divitem, ut antea, reliquisse, veneno perfusum ha-

φιλανθρώπως καὶ κηδεμονικῶς αὐτὸν περιποιουμένου. καὶ τρέφων αὐτὸν μὲν κατὰ τὸ βεβουλευμένον οὐκ ἔβλαψε, κόσμῳ δὲ παντὶ τὴν λύμην ἐπήνεγκε, καὶ αὐτὸς τὰ τῶν ἀχαρίστων, εἰ καὶ πραότερον διὰ τὴν τοῦ βασιλέως ἐπιείκειαν, πέπονθε. καὶ ὅπως, τῷ λόγῳ διαληψόμεθα.

Ἐπείπερ ὁ βασιλεὺς τοιούτοις ἀγωνίσμασι καὶ τροπαίοις τὰ τῆς ἑσπέρας καλῶς διατέθεικεν, ἐνόσει δὲ τὰ τῆς ἑώας καὶ ταῖς Τούρκων ἐπιδρομαῖς καὶ τῇ συνθήκῃ τῶν κοινωνησάντων Ῥωμαίων αὐτοῖς καὶ κατὰ τῶν ὁμογενῶν ἐπανισταμένων, ἐστήριξε τὸ πρόσωπον καὶ πρὸς τὴν τῶν ἐκεῖσε κατάστασιν, καὶ σκεψάμενος Ῥωμαϊκὰς δυνάμεις διαπεραιῶσαι πρὸς τὴν Ἀσίαν, φιλοτίμοις μὲν δωρεαῖς καὶ ὀψωνίοις τὰ συνήθη πολλῷ τῷ περιόντι νικῶσι πολλοὺς τῶν στρατιωτῶν φιλοτιμησάμενος καὶ ὁπλίσας εἰς τὴν κατὰ Βιθυνίαν ἐξέπεμψε Νίκαιαν. ἐπεὶ δ' ἐκεῖνοι πρὸς τὰ ἐνδότερα τῆς ἀνατολῆς ἐπιστρατεύειν οὐκ εἶχον εὐθαρσῶς ὡς πλείονος τάχα παρασκευῆς ἐπιζητουμένης τοῖς πράγμασι, μετεπέμψατο καὶ ἑτέρους στρατιώτας ὁ βασιλεύς, οὓς ἀθανάτους ἐκάλουν, πλῆθος μὲν ὄντας οὐκ εὐαρίθμητον, καὶ τόξον εὖ ἠσκημένους, καὶ τἄλλα πολεμικὰ διὰ πείρας ἔχειν ἐκ τῆς συνεχοῦς γυμνασίας ὑπειλημμένους· ἀταξίᾳ δὲ καὶ ἀπιστίᾳ δουλεύοντας τούτους φιλανθρώποις ὁμιλίαις καὶ παραγγελίαις ὁ βασιλεύς, μᾶλλον δὲ δωρηματικαῖς εὐποιίαις πρὸς τὸ ἐρρωμενέ-

2. ἔβλεψε C.

bebat animum, et iram alebat contra eum, qui humane et studiose ei consulebat, et alens ipsi secundum consilium non nocuit sed mundo omni damnum intulit, et ipse ingratitudinem licet mitius propter regis clementiam passus est: atque quo modo, oratione complectemur.

Quando rex talibus certaminibus et tropaeis occidentem bene disposuit, aegrotabat autem oriens et Turcarum incursionibus et pacto Romanorum iis consociatorum et contra cognatos seditionem moventium, erexit vultum et ad illorum conditionem et statuens Romanos exercitus traiicere in Asiam, generosis donis et alimentis assueta longe superantibus multos milites largitus et armans ad Bithyniae misit Nicaeam. cum autem illi ad progrediendum in interiores orientis partes non essent bono animo, cum maior apparatus requireretur rebus, arcessivit etiam alios milites rex, quos immortales vocabant, qui erant multitudo innumerabilis et arcubus bene exercitati et cetera quae ad bellum pertinent callere perpetua exercitatione scientes: negligentiae autem et inobedientiae inservientes hos humanis sermonibus et adhortationibus rex, magis autem donorum beneficiis ad maiorem firmitatem et potentiam constituere studens Chrysopolin traiici iussit: atque

στερον καὶ ἰσχυρότερον καταστῆσαι σπουδάσας εἰς Χρυσόπολιν διαπορθμευθῆναι πεποίηκε. καὶ ἦν ἐλπὶς ἑνωθῆναι τούτους μετὰ τῶν προηγησαμένων στρατιωτῶν, καὶ εἰς πλῆθος ἀρθῆναι μέγα, καὶ τῶν Τούρκων τὴν ἑώαν ἐλευθερῶσαι, καὶ τοὺς ταραττομένους ὑποκλινεῖς ποιῆσαι καὶ πρὸς ὑπακοὴν μεθαρμόσασθαι, καὶ καταστῆσαι τοῖς ἐκ τοῦ βασιλέως ἡγεμονικοῖς καὶ μεγαλόφροσι στρατηγήμασι τὸ τηλικοῦτον μέρος τῆς οἰκουμένης καὶ εἰς γαλήνην καὶ νηνεμίαν περιστῆσαι καὶ ἄνεσιν. ὁ δὲ Κωνστάντιος ἐναντία τούτων πάντων φρονήσας καὶ διανοησάμενος, καὶ μηδὲ τὴν θείαν δίκην εὐλαβηθεὶς εἰ τοσούτων κακῶν τῷ τε κόσμῳ καὶ αὐτῷ βασιλεῖ καὶ τοῖς καλῶς f. 236 r. βασιλευομένοις πρόξενος γένηται, καὶ μηδὲ τὴν ἀποτυχίαν ὑποπτήξας τοῦ ἐγχειρήματος, νεωτερίζει κατὰ τοῦ βασιλέως, καὶ τῆς κακίστης ἀποστασίας τοῖς στρατιώταις, ὢ τῆς ἀποπληξίας καὶ τοῦ ἀνοσιουργήματος, μεταδίδωσι. πρότερον γὰρ συμβούλοις τοῖς πονηροτάτοις ἐκ τούτων καὶ δήμου ἀνάπταις χρησάμενος, ὕστερον ἀφίσταται πρὸς αὐτοὺς ἐν Χρυσοπόλει τὴν παρεμβολὴν ἔχοντας, καὶ τὸ πλῆθος ἐνσείσας βασιλέα τοῦτον ἀναγορεῦσαι δι' ἀποστατικῆς μεθοδείας περιεργάζεται, τοῦ λοιποῦ στίφους τῶν μὴ συγκοινωνησάντων αὐτῷ τῆς ἀθέσμου βουλῆς τῷ παραδόξῳ τῆς ἀκοῆς διαπορηθέντος καὶ ἀμφιβόλου γενομένου. καὶ μήτε τοῦ δεδομένου τούτοις ἀρχηγοῦ παρατυχόντος ἐκεῖσε διὰ τὸ τῇ βασιλευούσῃ ἔτι ἐπιδημεῖν, στάσις ἐμφύλιος γέγονε, καὶ ἦρξατο ἀπὸ τρίτης φυλα-

10. εἰ] εἰς C. 16. δήμῳ C.

sperandum erat, coniunctum iri hos cum praegressis militibus et ad multitudinem tolli magnam et Turcis orientem liberare, et excitatos subiectos facere et ad obedientiam commovere, et constituere regis imperatoriis et magnanimis imperiis talem partem mundi ad pacem et tranquillitatem et remissionem. sed Constantinus contra haec omnia sentiens et cogitans neque divinam iustitiam cavens, si tantorum malorum mundo et ipsi regi et bene gubernatis administrator fieret, neque fortunam pavens incepti, novas res molitur contra regem: et pessimam seditionem cum militibus (o insaniam et sacrilegium) communicat. antea enim auctoribus pravissimis ex his et populi incitatoribus usus, postea desistit ad eos Chrysopoli castra habentes, et multitudinem concutiens seditionis artibus adducit ut regem hunc renuntiarent, reliqua corona eorum, qui non participes ei erant iniusti consilii, inexspectata fama dubitante et ancipite: atque cum datus his dux non adesset ibi, quia in regia etiamtum versabatur, seditio cognata facta est atque incepit a tertia vigilia noctis usque ad meridiem ipsum: deinde cum coniungerentur apostatis vi neque suadela qui antea aliter senserant, passus

κῆς τῆς νυκτὸς ἕως μεσημβρίας αὐτῆς. εἶτα συμφρονησάντων τοῖς ἀποστάταις, βίᾳ καὶ οὐ πειθοῖ, τῶν ἀντιδοξούντων τὸ πρότερον, ἔπαθε μὲν οὐδεὶς τῶν ἐν τῇ βασιλευούσῃ καὶ τὴν ψυχὴν κατεσείσθη. δημοτικὴν δὲ φλυαρίαν καὶ μειρακιώδες ἄθυρμα λογισαμένου τοῦ βασιλέως τὸ γεγονός, συνήχθη πᾶσα ἡ γερουσία καὶ τῆς συγκλήτου βουλῆς τὸ ἔκκριτον, τὴν πίστιν αὐτῶν ἐπιβεβαιοῦντες τῷ βασιλεῖ καὶ πληροφοροῦντες μέχρις ὀστέων καὶ μυελῶν κινδυνεύσειν ὑπὲρ αὐτοῦ καὶ πανδημεὶ τοὺς ἀλιτηρίους καταγωνίσασθαι. συνήχθησαν δὲ καὶ οἱ τὴν στρατεύσιμον ἡλικίαν ἔχοντες, καὶ ὅσοι τῆς βασιλικῆς δορυφορίας, ἀκατάπληκτον ἔχοντες τὴν ὁρμήν, καὶ προκινδυνεῦσαι τοῦ φιλανθρώπου βασιλέως καὶ φιλοικτίρμονος προθυμούμενοι. ὁ δὲ τὴν ἁπάντων ἐπαινέσας προαίρεσιν, καὶ γνοὺς οἵαν εὐγνωμοσύνην ἔχει πρὸς αὐτὸν τὸ ὑπήκοον (τούτου γὰρ χάριν οἴομαι τὸν τάραχον τουτονὶ παρατολμηθῆναι, ἵνα φανερὸν τὸ παριστάμενον πᾶσι γένηται), ναυσὶ μὲν πολεμικαῖς τὸν τούτου πορθμὸν κατωχύρωσε, μείζονι δὲ παρασκευῇ τὰ κατὰ τῶν ἀποστατῶν ἐξαρτύων ὅμως καί τινας ἀπέστειλε πρὸς αὐτούς, πυνθανομένους τί βούλεται τούτοις τὸ στασιῶδες τουτὶ καὶ ἀπώμοτον. οἱ δὲ τὴν ἄστατον παροινίαν αὐτῶν καὶ ἀδόκιμον γλωσσαλγίαν καὶ παρακεκινδυνευμένην ἀπόνοιαν ὁμολογήσαντες, συγγνώμην τε ᾖτουν λαβεῖν καὶ τῶν πεπλημμελημένων συγχώρησιν, καὶ τῆς συμπαθείας ταύτης ἐνέχυρον τὴν εἰς τοὐπίσω περαίωσιν ἐπεζήτησαν, καὶ οὕτως αὐτὸν τὸν πρωταίτιον τῆς κοσμικῆς κακοπαθείας πα-

17. τούτου] τοῦ Στενοῦ?

est nemo in regia versantium quidquam neque animo concussus est: populares autem quisquilias et iuveniles nugas putante rege factum, coactus est totus senatus et conventus electi fidem suam affirmantes regi et asserentes se usque ad ossa et medullam propugnaturos ei, et toto populo scelestos debellaturos: conducti sunt etiam qui militarem aetatem agebant et quicunque ex regiis satellitibus inconcussum habebant impetum et propugnare humano regi et misericordi volebant. ille autem omnium laudans voluntatem et cognoscens, quale studium haberent erga se subiecti (propterea enim puto turbam hanc excitatam esse, ut manifesti socii omnibus fierent), navibus bellicis fretum firmavit, maiore autem apparatu quae ad seditiosos pertinebant instruens, tamen etiam nonnullos misit ad eos, qui rogarent, quid sibi vellet seditio haec et coniuratio: illi autem infirmam insaniam suam et ignobilem audaciam et temeratam imprudentiam professi veniam petebant et factorum remissionem, atque misericordiae huius pignus transitum retro

ραδοῦναι κατέθεντο. παριδὼν οὖν ὁ βασιλεὺς τὴν τῶν ἐσφαλμένων αὐτοῖς κακοήθειαν; τῶν ἐγκλημάτων τούτους διὰ πλήθους ἐλέους ἀπέλουσε. καὶ χειρωσάμενος τὸν ἀλάστορα, δημίων αὐτὸν χερσὶν οὐ παρέδοτο, καὶ πάσης σωματικῆς τιμωρίας ἀλλότριον διετήρησε, δικαίων δὲ ἀνδρῶν χεῖρες αὐτὸν εἰσδεξάμεναι τῆς κοσμικῆς ἰλύος ἐλευθεροῦσι δι' ἀποκάρσεως. μεταταξάμενος δὲ πρὸς τὸν μοναδικὸν βίον καὶ φυγῇ ἐζημιώθη, νησιώτης γενόμενος, καὶ μαθὼν ὅσον κακόν ἐστι τὸ πρὸς τοὺς εὐεργέτας ἢ συμπαθοῦντας ἀγνωμονεῖν. f. 236 v.

Οὗτος ἐκ πολλῶν καὶ μεγάλων ἕτερος ἆθλος τῷ βασιλεῖ, κατὰ πάρεργον ἀνυσθείς. καὶ τὸ μὲν ἔργον τοῦτο τοιοῦτον, καὶ ὅσον ἀνήκει πρὸς αὐτὸν βασιλέα, οὐδὲν παρεσίνατο, τὴν δ' ἑῴαν πᾶσαν μεγάλης κακίας καὶ λώβης ἐπλήρωσεν. ὡς γὰρ ὕποπτοι κατεφάνησαν οἱ πρὸς ἐκστρατείαν ἀποστελλόμενοι, καὶ νεωτέρων πραγμάτων ἐφίεσθαι κατεγνώσθησαν, καὶ παρὰ τοῦτο μηδὲ τάξεις καὶ λόχους φυλάττειν καὶ νόμους στρατευμάτων ὑπενοήθησαν, καὶ τῇ ἑσπέρᾳ πάλιν γεγόνασι μεταπόμπιμοι, μεμενήκασιν οἱ ἐχθροὶ τὰ φίλα ἑαυτοῖς κατὰ Χριστιανῶν ἐργαζόμενοι, καὶ παρακινοῦντες πλέον ἢ πρότερον τὴν ὀργήν, καὶ πολιορκοῦντες τὰ φρούρια, καὶ πάνδεινα κακὰ τοῖς ἐμπίπτουσιν ἐργαζόμενοι. τί τούτου γένοιτ' ἂν σχετλιώτερον καὶ παρανομώτερον, ὅταν τοῖς ἐχθροῖς τοσαύτην ῥοπὴν ὁ τοῦ βασιλέως ἀντίρροπος δέδωκε καὶ τηλικοῦτον κυ-

requirebant, atque ita primum auctorem terrenae pravitatis tradere sustinebant. praetervidens igitur rex lapsorum pravitatem, probris hos multitudine misericordiae liberavit, et domans scelestum, carnificum eum manibus non tradidit et omni corporis poena alienum servavit: iustorum autem virorum manus eum accipientes terrena sorde liberant tonsura: atque arrepta monachica vita exsilio mulctatus est, insularum incola factus, et intelligens, quale esset malum, in beneficientes vel misericordes ingratum esse.

Hoc ex multis et magnis aliud certamen a rege quasi subsecivum peractum, atque hoc opus tale, quantum ad regem ipsum pertinebat, nihil damni attulit, orientem autem omnem magno malo et calamitate implevit. ut enim suspecti apparuerunt qui ad expeditionem missi erant, et novis rebus studere cogniti sunt, et praeterea ne ordines quidem et agmina conservare et leges exercituum, in suspicionem venerunt, et in occidentem rursus fuerunt reduces, manserunt hostes grata sibi contra Christianos facientes et moventes magis quam antea iram et oppugnantes castella, et valde dira mala incidentibus facientes. Quid hoc fieri potest scelestius et iniustius, quando hostibus tantam vim regis adver-

κεῶνα τῇ Ῥωμαίων ἀρχῇ συνεκέρασε. δέδεικται γὰρ ἐκ τούτων ὅτι τῶν προτέρων τοῦ γένους αὐτοῦ δυστήνων κατορθωμάτων καὶ τῆς κοσμικῆς καταλύσεως τοῦτο κορωνὶς κατέστη καὶ τέλος ἀπαίσιον καὶ τελευταία πληγὴ καὶ τῆς ἑῴας ἐρήμωσις.

Ἀλλ' ὁ μὲν οὕτως καὶ πεποιηκὼς καὶ παθὼν ὄνειδος ἑαυτῷ καὶ ἁμαρτάδα δεινὴν περιήνεγκεν· ἄρτι δὲ τοῦ ὀκτωβρίου μηνὸς τῆς τρίτης ἰνδικτιῶνος ἐνισταμένου, κεραυνὸς ἐπισκήψας ἐν τῷ μεγάλῳ κίονι τοῦ Κωνσταντινιακοῦ φόρου, οὗ κατὰ κεφαλὴν ἀφίδρυμα μέγιστον χαλκοῦ πεποιημένον, ἀνήλιος δὲ λεγόμενον, ἵδρυται, μέρος μέν τι τοῦ κίονος ἐν τῇ ἀκρότητι τῆς κεφαλίδος διέτεμε, ζωστῆρας δὲ τούτου τρεῖς, σιδηροῦς μὲν τὰ ἔνδον, χαλκῷ δὲ περιειλημμένους ἔξωθεν, κατέρραξε καὶ διέκοψεν, ἀνθρώπων δὲ οὐδένα οὐδὲ τῶν ἀλόγων ζώων ἐλωβήσατό τι. οὐδέ τι ἴχνος καπνὸν τεκμαιρόμενον τὸν κίονα ὕβρισεν, ἀλλ' ἡ τοῦ κεραυνοῦ σφοδρότης ὥσπερ τις ἀνεμιαία τὴν φύσιν τυγχάνουσα, τὴν δ' ἰσχὺν δυσπαράδεκτος, οὕτως ἀνυβρίστως τὸ τηλικοῦτον ἔργον καὶ τὴν τοῦ σιδήρου καὶ χαλκοῦ στερρότητα ὡς τὸ λάχανον ἐξεθέρισε. καὶ τὰς αἰτίας τῶν κεραυνῶν ἄλλοι μὲν ἄλλας ἐδίδουν, ἕτεροι δὲ ἀνομοίας. οἱ μὲν γὰρ μαθηματικοὶ ποτάμιον εἶναι τοῦτο πῦρ ἐκ φυσιολογίας ἐφθέγγοντο, τῇ τῶν νεφῶν συγκρούσει καὶ διαρρήξει γεννώμενον· λεπτομερὲς δ' ἐς ἄγαν, καὶ τοῖς ἀντιτύποις μᾶλ-

9. κωνσταινιακοῦ C. 11. μέντοι C.

sarius tribuit et talem (potum Romanorum imperio miscuit. monstratum enim est ex his, priorum generis eius tristium factorum et terrenae eversionis hoc adstitisse fastigium et finem fatalem et ultimum ictum et orientis solitudinem.

Sed is cum ita egisset et passus esset, probrum sibi et delictum dirum contulit. cum modo october mensis tertiae indictionis adesset, fulmen irruens in magnam columnam fori Constantiniani, cuius in capite signum maximum aeneum, solis expers nominatum, est positum, partem columnae in fastigio capituli discidit, zonas autem huius tres, ferreas intus, aere autem circumductas extra, disrupit et concidit, hominum autem neminem neque brutorum animalium damno affecit quidquam: neque vestigium fumum significans columnam deformavit: sed fulminis vehementia, quasi ventosa natura et vi non recipienda, ita non deformando tale opus et ferri atque aeris firmitatem tanquam herbam demetebat: atque causas fulminum alii alias tradebant, alii autem dissimiles. mathematici enim fluvialem esse ignem e physiologia pronuntiabant, nubium contusione et disruptione ortum: tenuem valde et ictibus magisque latente vi et concussione illisum

λον τῇ ἀῤῥήτῳ φορᾷ καὶ ἐκτινάξει προσαρασσόμενον, τὴν ῥῆξιν βιαίαν καὶ ἀπότομον ἐμποιεῖν. τοσαύτην δ' εἶναι τῷ κεραυνίῳ πυρὶ τὴν φυσικήν φασι λεπτομέρειαν ὡς μηδὲ δύνασθαι καταβλάπτειν τὸ μανὸν ἢ ὁπωσδήποτε οὖν πόρους ἔχον σῶμα ἢ βραχείας ὀπάς, ὁποῖά εἰσι τά τε τῶν ὑφασμάτων πέπλα καὶ ὅσα τοιαῦτα· καὶ τοσοῦτον ὅτι, κἂν τύχῃ λινοῦς ἀπόδεσμος ἢ βαμβύκινος ἢ ἑτέρας ὕλης ἐξυφασμένον κράσπεδον ἀπόδεσμον ἔχον χρυσίου, ἐμπέσῃ δὲ κεραυνὸς εἰς f. 237 r.
αὐτό, τὸ μὲν χρυσίον ἀλλοιοῖ καὶ ὡς ἐν χωνείᾳ φλογὸς ἕνα βῶλον ποιεῖ, τὸ δὲ τοῦ ὑφάσματος σωμάτιον ἀβλαβὲς καταλιμπάνει. καὶ ἐπὶ τοῦ ἀνθρώπου δὲ ὡσαύτως· διὰ γὰρ τῶν ἀδήλων πόρων τοῦ σώματος αὐτοῦ εἰσερχόμενον τὰ μὲν ἔνδον αὐτοῦ ὡς ὑλικώτερα καὶ πόρους μὴ ἔχοντα κατανέμεται. τὸ δ' ἔξωθεν σῶμα πολλάκις οὐ καταφλέγει, καὶ εὑρίσκεται κοῦφον τῶν ἐντοσθίων σπλάγχνων καθάπαξ λειπόμενον. οἱ δὲ ἰδιῶται μέγιστον ἑρπετὸν δρακοντῶδες ἀντέλεγον τὴν αἰτίαν τῶν τοιούτων εἰσάγειν παθῶν, ἁρπαζόμενον μὲν ὑπὸ ἀοράτου τινὸς δυνάμεως, ὄνυξι δὲ καὶ δυνάμει τῆς ἐν αὐτῷ τραχύτητος καὶ τῶν ἑλιγμῶν τὰ προστυχόντα διαῤῥηγνύειν, ὅπου δηλαδὴ τύχῃ τὰς ἀντιπτώσεις καὶ ἀντισπάσεις αὐτοῦ προσερείδειν καὶ ἀντιβαίνειν τοῖς ἕλκουσι.

Καὶ τὸ μὲν ἐκ τοῦ ἀέρος δεῖγμα τοιοῦτον καὶ τοσοῦτον τοῖς φιλοπράγμοσιν ἐμποιοῦν. ὁ δὲ βασιλεὺς τῶν προτέρων

16. ἑρπεστὸν C. 23. post ἐμποιοῦν deest *διστα*γμόν vel quid simile.

fracturam violentam et praecipitem excitare: tantam autem esse fulmineo igni naturalem tenuitatem, ut non possit damno afficere tenue vel quovis modo meatus habens corpus vel brevia foramina, quales sunt textorum vestes et talia: atque ita, ut si est ex lino ligamentum vel bombycinum vel ex alia materia texta instita ligamentum habens aureum, et incidit fulmen in illud, aurum mutetur et tanquam conflatura flammae unum globum componat, textum autem corpus intactum relinquat: atque in homine item. per obscuros enim meatus corporis ingressum, interiores eius partes, ut magis corporeas neque meatus habentes, depascit, externum autem corpus saepe non comburit; et invenitur inane intestinis subito relictum. imperiti autem contra dicebant maximum vermem draconis instar causam talium inferre malorum: raptum ab invisibili potentia, unguibus autem et vi celeritatis et turbinum adversa perrumpere, quando illidat contrarium casum et resistentiam et contra ac trahentes eat, atque ex aëre monstrum tale et tantum negotiosis efficere.

Sed rex prioribus studens et noctu et die generalibus rebus in-

ἐχόμενος, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς καθολικοῖς πράγμασιν ἐπαγρυπνῶν, καὶ δικῶν ἀκροατὴς ἐν ταῖς ἀνέσεσι καθιστάμενος καὶ κρίνων ὀρφανὸν καὶ δικαιῶν χήραν κατὰ τὸ θεῖον λόγιον, καὶ παντοδαπαῖς ἐπιδόσεσι χαρισμάτων καὶ τιμῶν καταγεραίρων διὰ παντὸς τὸ ὑπήκοον, οὐδὲ τὸν νυκτερινὸν χρόνον ἔξω τῶν ἑαυτοῦ σπουδασμάτων ἐτίθετο, ἀλλὰ τοῖς βιβλίοις καὶ ταῖς ἀναγνώσεσιν ἐπιδιδοὺς ἑαυτὸν πολυΐστορα καὶ μεμυημένον τὰ θεῖα περιίστα καὶ τὰ ἀνθρώπινα. ἐμέλησε δ' αὐτῷ καὶ νομικῶν διαταγμάτων, καὶ διορθώσεως τῶν ἀμφισβητουμένων δογμάτων, καὶ καταστολῆς τῶν τικτομένων ἐξ αὐτῶν κυδοιμῶν. διὸ καὶ τοῦ περὶ τῶν μαινομένων συνοίκων κεφαλαίου διακλονηθέντος ποτὲ θεραπείαν ἀκριβεστάτην τῇ ἀμφισβητήσει κηδεμονικῶς ἐπεζήτησε. καὶ εὑρὼν ὅτι ὁ ἐν ἀοιδίμῳ τῇ λήξει βασιλεὺς κῦρις Λέων ἔγραψε μὲν νεαρὰν περὶ τούτων, συνεχώσθη δὲ τῷ χρόνῳ καὶ ἄπρακτος ἔμεινεν, ἀνήγειρε ταύτην πεσοῦσαν καὶ τὸ κράτος ἐπεψηφίσατο, κάλλιστα προθεὶς τὰς αἰτίας, καὶ πρὸς τὸ μεγαλοπρεπές τε καὶ δικαιότερον ἐξ ἀφορμῶν εὐλόγων περικαλλύνας τὸ θέσπισμα, ὅρους τε τάξας τῆς μανίας καὶ τρόπους καὶ χρόνους ὑπομονῆς, καὶ τηνικαῦτα τὸ διαζύγιον προτρεψάμενος ὅταν θηριωδῶς ἡ νόσος ἐκμαίνηται καὶ τῷ συνοικοῦντι καθορᾶται ἀφόρητος, καὶ ὁ χρόνος τὴν ἐλπίδα τῆς θεραπείας ἀπείπῃ, καὶ τὸ δεινὸν ὑπεραίρηται.

22. ἀφόρητα C.

vigilans et causarum auditor in remissione, et iudicans orbum et iuste tractans viduam secundum divinum dictum et variis accessionibus largitionum et honorum ornans omnino subiectos, ne noctis quidem tempus extra sua studia ponebat: sed bibliis et lectionibus dans sese polyhistorem et initiatum rebus divinis constituebat et humanis. curae erant ei etiam legum constitutiones et emendationes ancipitum edictorum et compositiones turbarum quae ex iis nascerentur. quamobrem etiam cum caput de furiosis coniugibus aliquando disceptaretur curationem accuratissimam dubitationi studiose quaesivit: et inveniens, divum regem dominum Leonem scripsisse novellam de his, confusam autem esse eam vetustate et irritam mansisse, resuscitavit hanc lapsam et potentiam ei addidit, pulcherrime adiiciens causas et magnificentius et iustius ex occasionibus probabilibus adornans edictum, et fines constituens furoris et modos et tempora patientiae, atque tum divortium proponens, cum bestiae instar morbos fureret et contubernali appareret intolerabilis et tempus spem curationis vetaret atque periculum augeretur.

Φιλάνθρωπος δὲ ὢν εἰς τὸ ἄγαν ὁ βασιλεὺς καὶ νόμον ἕτερον ἀνεζώωσε θανόντα κἀκεῖνον, καὶ θάνατον πολλοῖς ἐκ Dec. 1080 τῆς θνητότητος ἀπότομον καὶ ἀμεταμέλητον παρεισάξαντα. τίς δὲ οὗτος, ὁ λόγος δηλώσει προϊών. ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Θεοδόσιος στασιασάντων ποτὲ τινῶν κατ' αὐτοῦ, μεγάλῳ θυμῷ καταφλεχθεὶς τὴν ψυχήν, θάνατον τούτων ἀνυπερθέτως κατεψηφίσατο. εἰς ἑαυτὸν δὲ γενόμενος, μᾶλλον δὲ καὶ παρά του τῶν θεοφόρων ἀνδρῶν μετὰ παρρησίας ἀπελεγχθεὶς καὶ ὡς μιαιφόνος τῶν ἐκκλησιαστικῶν περιβόλων ἀποκλεισθείς, μετάμελον ἔθρεψε, καὶ τὸν ἐλέγχοντα δι' αἰδοῦς ποιησάμενος f. 237 v. καὶ ἀγαπήσας αὐτὸν ὡς σοφός, εἴπερ ἀληθὲς τὸ "ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε", γόνυ τούτῳ ἔκλινε, καὶ συγγνώμην μετὰ πολλῆς οἰμωγῆς καὶ συντριβῆς ᾔτησε. καὶ τῶν πεπλημμελημένων ἀξίαν ποιησάμενος τὴν μετάνοιαν, καὶ πλέον ἤπερ ἐχρῆν ἰδιώτῃ ταπεινωθείς, συμπάθειαν ἔλαβε παρὰ τοῦ ἀνδρὸς (ἦν δὲ οὗτος ὁ μέγας Ἀμβρόσιος ὁ τῶν Μεδιολάνων ἐπίσκοπος), καὶ τῆς καθολικῆς ἐκκλησίας καὶ τῆς κοινωνίας εἷς γενέσθαι παρ' αὐτοῦ κατηξίωται. ἔκτοτε οὖν τὸ ἀπηνὲς καὶ ἀπότομον καὶ ἄχρονον τῆς τιμωρίας κινδυνῶδες καὶ ἀπάνθρωπον λογισάμενος, χρόνον ὡρίσατο τὴν ἀναβολὴν τῆς τιμωρίας παρέχοντα, θεσπίσας μὴ πρὶν δι' αἵματος κολάζεσθαι ἄνθρωπον ἢ τριάκοντα ἡμερῶν παρῳχηκέναι διάστημα μετὰ τὴν κατ' αὐτοῦ τελευταίαν ἀπόφασιν. ἔκτοτε δὲ ὁ χρόνος

Humanus valde rex etiam aliam legem resuscitavit emortuam et illam, quae mortem multis ex mortalitate praecipitem et poenitentiae expertem inferret. quae haec fuerit oratio declarabit procedens. venerabilis inter reges Theodosius, cum seditionem moverent aliquando nonnulli contra eum, magna ira flagrans animo, mortem horum sine mora constituit. cum autem secum esset magisque etiam a quodam divinorum virorum libere vituperaretur et quasi inquinatus ecclesiae muris excluderetur, poenitentiam aluit et vituperantem veritus et amans eum ut sapiens, si quidem verum est quod dicitur: „vitupera sapientem et amabit te," et veniam cum multa lamentatione et planctu petivit, et peccatorum dignam instituens poenitentiam et magis quam debuit privato demissus misericordiam accepit a viro (erat autem hic magnus Ambrosius, Mediolanensis episcopus): atque generalis ecclesiae et societatis pars fieri ab eo dignatus est. exinde igitur crudelem et praecipitem et praematuram rationem poenae periculosam et immanem ratus tempus constituit, dilationem poenae praebens: edicens, ne antea sanguine puniretur quisquam, antequam triginta dierum praeteriisset spatium post ultimam sententiae contra eum editio-

ἀπήμβλυνε καὶ καθύβρισε τὸ φιλάνθρωπον τουτὶ νομοθέτημα, καὶ εἴτε ὡς τοῖς βασιλεῦσιν ἀγνοούμενον εἴτε μὴν ὡς καταφρονούμενον ἀπαρρησίαστον ἔμεινε, καὶ ἡ καταδίκη τοὺς δειλαίους κατακρίτους εὐθέως ἀνήρπαζε, καὶ ταχεῖαν αὐτοῖς τὴν πληγὴν ἐσχεδίαζεν. ὁ δὲ φιλανθρωπότατος οὑτοσὶ βασιλεὺς ἀφορμὰς φιλανθρωπίας εὑρίσκειν βουλόμενος καὶ τῷ ἐλέῳ τὸν ἔλεον ἀντικαταλλάττεσθαι, οὐχ ἑαυτῷ μόνῳ παρεφυλάξατο τὴν τῆς νομοθεσίας ταύτης ὑπόθεσιν καὶ τὴν ἀναβολὴν εἰς ἑαυτὸν ἀπεκρύψατο, τὸ φιλάνθρωπον οὐ κοινὸν ἀλλ' ἴδιον ποιησάμενος διὰ φιλαυτίας ἐπίδειξιν, ἀλλὰ καὶ τοῖς μετὰ ταῦτα βασιλεῦσι τηρεῖσθαι τοῦτο θερμότατα βουλευσάμενος καὶ εἰς πάντας χεθῆναι τὸ ἀγαθὸν καὶ ὁδεύειν φιλοτιμούμενος. καὶ νεαρὰν προδήλως ἐξέθετο κυροῦσαν μὲν τὸν τοῦ μεγάλου Θεοδοσίου νόμον εἰς τὸ διηνεκές, ἀναιροῦσαν δὲ τὸ τοῦ θυμοῦ ἀκαμπὲς καὶ ἀμείλικτον διὰ τοῦ μὴ ταχέως τὰς δι' αἵματος ψηφηφορίας εἰς ἔργον ἀποβαίνειν στυγνότητος· καὶ τοῖς μετὰ ταῦτα βασιλεῦσιν ἀγαθὸν ἐπαφῆκεν ἐφόδιον πρὸς τὴν αὐτῶν ἐξιλέωσιν καὶ τὴν τοῦ ἐπουρανίου βασιλέως θεραπείαν καὶ εὐαρέστησιν. καὶ ἀνέγνω τὸν νόμον ἐπὶ τῆς συγκλήτου βουλῆς, καὶ σύμψηφον ἔσχε ταύτην καὶ λίαν εὐάρεστον· ἔγνω γάρ, φρονήσει διαφέρων καὶ θεοειδεῖ ἀγαθότητι, ὡς ἡ ἀκμὴ τοῦ θυμοῦ, πυρὸς δίκην τὴν καρδίαν αὐτὴν κατανεμομένη, πάντων ἀφειδεῖν ἐκβιάζεται καὶ σαρκῶν ἀνθρωπίνων καταμασᾶσθαι καὶ ποταμοὺς αἱμάτων ὑπερπηδᾶν,

nem. inde autem tempus hebetabat et deformabat humanam hanc legem: atque sive regibus ignota sive neglecta, indicta mansit et poena miseros, qui damnati erant, illico rapiebat, et celerem iis ictum afferebat. humanissimus autem hic rex occasiones humanitatis invenire volens et mensa coquinaria misericordiam commutare, non sibi soli servavit legis huius argumentum et dilationem in se abdidit, humanitatem non communem, sed privatam reddens propter amoris sui ostentationem, sed etiam a posteris regibus eam servari calidissime statuens atque in omnes effundi bonum et transire studens: atque novellam clare edebat, quae confirmabat Theodosii magni legem in perpetuum et tollebat irae immotum et durum modum, cum non celeriter sanguinis sententiae in opus abirent tristitiae: et posteris regibus bonam tradidit rationem ad expiationem et coelestis regis curam et gratiam: atque recitavit legem in senatu et consentientem habuit eum et valde gratum: cognovit enim prudentia excellens et divina bonitate, fastigium irae ignis instar cor ipsum devorans studere omnium prodigum esse et carne humana vesci et fluvios sanguinis transsilire aut etiam laetari talibus factis sine misericordia:

ἢ καὶ προσεπιγάννυσθαι τοῖς οὕτω δρωμένοις ἀσυμπαθῶς. ὄρεξις γάρ ἐστιν ἀντιλυπήσεως ὁ θυμός· ἡ δὲ ὄρεξις δυσχερῶς ἐκ τοῦ προχείρου κατακοιμίζεται. διὰ τοῦτο καὶ τῷ τῆς ὀργῆς ἀκράτῳ χαλιναγωγίαν ὁ σοφὸς αὐτοκράτωρ τόνδε τὸν νόμον τιθέμενος, τὴν τῆς τιμωρίας ἀνεβάλετο ἔκβασιν, ἕως ἂν ὁ θυμὸς τῷ βασιλεύοντι πεπανθῇ, τριακονθημέρου προβαίνοντος διαστήματος· καὶ τηνικαῦτα, εἰ μὲν ἔλεος αὐτῷ ἢ μετάμελος εἰσέλθῃ τοῦ τὴν κεφαλικὴν δεξαμένου ἀπόφασιν εἶναι τοῦτο θεοῦ καὶ μένειν τὸν ἄνθρωπον ἀθιγῆ, ἴσως δὲ f. 283 r. καὶ ἀθῷόν ποθεν εὑρισκόμενον· εἰ δ' οὖν, τότε πεπληροφορημένον εἶναι τὸ πρᾶγμα, ὡς ἐπεί περ οὐδέν τι κατεδυσώπησεν ὁ χρόνος τὸν ἀνάκτορα, καὶ θεὸς εἰς τὸ πάθος αὐτοῦ συμψηφίζεται. εἰ γὰρ ἐν τῷ παφλάζοντι τῆς ὀργῆς δέξεται μὲν ἄνθρωπος θανατηφόρον πληγὴν ἢ χειρὸς ἐκτομὴν ἢ ὀφθαλμῶν ἐκκοπήν, ἀνεθεὶς δὲ τῆς ὀργῆς ὕστερον ὁ κρατῶν μετάμελον ἕληται καὶ τὴν ἀπόφασιν ἀνακαλέσασθαι βουληθῇ, τίς ἡ τοῦ μεταμέλου ὠφέλεια; τίνες δ' ἐριννύες μεταμελητὶ καὶ τὸν κολαστὴν οὐκ ἐλάσουσι; ποία δὲ καὶ τὸν παθόντα λύπη οὐ διαδέξεται, ὅτι πρὸς τὴν ἀνάκλησιν ἀπερράπισται; ταῦτα οὖν ὁ βασιλεὺς μεγαλοφρόνως κατασκεψάμενος καὶ προσθήκην ἰδίαν τῇ νεαρᾷ ταύτῃ προσανεμάξατο, συντάξας ἐν αὐτῇ ἵνα μετὰ τὴν τριακονθήμερον ὑπομιμνήσκηται πάλιν ὁ βασιλεύς, καὶ οὕτω τὸ πέρας ἀποτελῆται ἢ συγχωρῆται τῆς ἀποφάσεως.

23. ἀποτελεῖται ἢ συγχωρεῖται C.

cupido enim est ultionis ira: cupido autem aegre in promtu exstinguitur: propterea etiam irae impotenti frenum sapiens imperator hanc legem imponens poenae distulit exitum, donec ira regi mitigaretur triginta dierum progrediente spatio: atque tum si misericordia eum vel poenitentia invadat eius qui capitale suscepit iudicium, esse hoc dei et manere hominem intactum, fortasse etiam insontem inventum: sin aliter, tum ratam esse rem, quia,. ubi nihil dubitationis iniecit tempus imperatori, etiam deus malo eius assentitur. etenim si in flagrante ira accipiet homo mortiferum ictum, sive manus abscissionem sive oculorum excidium, liberatus autem ira postea imperator poenitentiam concipiat et sententiam retractare velit: quae erit poenitentiae utilitas? quae furiae ex poenitentia etiam castigatorem non agent? qualis etiam afflictum aegritudo non excipiet, quod de retractatione est deiectus? haec igitur rex magnanime deliberans etiam additamentum proprium novellae huic adspersit, constituens in eo, ut post triginta dies admoneatur rursus rex et ita finis perficiatur aut remittatur sententiae.

Ἐπεὶ δὲ τῆς σωματικῆς τιμωρίας ἐποιήσατο πρόνοιαν δεδωκὼς καιρὸν ὀργῇ, καὶ φιλανθρωπίαν συγκεράσας τοῖς ἀνθρωπίνοις κακοῖς, ἀπεῖδε καὶ πρὸς τὴν ἐπεισκωμάσασαν λύμην οὐ πρὸ πολλῶν τούτων ἐνιαυτῶν, καὶ διαφθείρουσαν τὴν τάξιν τῆς τῶν ὑπηκόων πίστεως, καὶ σύγχυσιν αὐτῇ παρενείρουσαν, καὶ τὴν βασιλικὴν ὑπηρεσίαν εἰς ἀπορίαν καὶ φροντίδα χαλεπὴν περιβάλλουσαν. καὶ γὰρ ἔργοις αὐτοῖς μεμαθηκὼς ὡς τῇ κοινῇ φύσει τοῦ κατὰ καιρὸν βασιλέως δουλεύοντος καὶ τῷ τοῦ μεγάλου βασιλέως καὶ δημιουργοῦ τῶν ἁπάντων προστάγματι τῶν ἐνθένδε μεθισταμένου, ἀνθ᾽ ὧν ὤφειλεν ὁ μετ᾽ αὐτὸν βασιλεὺς τοὺς εὐαρεστήσαντας ἐκείνῳ μέχρι παντός, καὶ τὴν εὐγνωμοσύνην τῆς δουλείας ἐνδειξαμένους καὶ τὸ τῆς παραστάσεως ἀκλινές, καὶ τὸν καύσωνα τῆς ἡμέρας καὶ τὸν παγετὸν τῆς νυκτὸς ἀνατλήσαντας ταῖς παννύχοις καὶ πανημερίοις φροντίσι, τῆς προσηκούσης κηδεμονίας καὶ προσπαθείας καταξιοῦν, καὶ ὡς ἀγαθοὺς δούλους καὶ πιστοὺς εὐποιεῖν, καὶ τὴν φλόγα τῆς τοῦ δεσπότου στερήσεως βασιλικοῖς καταψύχειν φιλοτιμήμασι, καὶ τὸν θρῆνον αὐτῶν μεταποιεῖν εἰς τὸ χαριέστερον, βαρὺς μᾶλλον αὐτοῖς ἀναφαίνεται, καὶ ταῖς οὐσίαις αὐτῶν πολλοῖς ἱδρῶσι καὶ πόνοις ἐπικτηθείσαις ἐπιβουλεύει φιλοκερδῶς, καί που καί τινας τούτων ὑπερορίους ποιεῖ, μὴ τὰ ἐν ποσὶ καθορῶν, καὶ τὸ παράδειγμα δεδιὼς ὡς καὶ εἰς αὐτόν, μᾶλλον δὲ τοὺς ὑπ᾽ αὐτόν,

Postquam autem corporis poenae prospexit, concedens tempus irae et humanitatem admiscens humanis malis, spectavit etiam ad perniciem, quae grassata erat non multis ante annis et perdebat ordinem fidei subiectorum, et confusionem ei admiscebat et regios ministros in dubitationem et curam difficilem coniecit: etenim ipsis rebus cognoverat, communi naturae rege temporario serviente et ex imperio magni regis et creatoris omnium hanc terram relinquente, cum deberet proximus rex gratos illi omnino et qui bonum animum servitutis ostenderunt et perseverantiam immotam et aestum diei et frigus noctis perpessi sunt nocturnis et diurnis curis, accommodata curatione et benevolentia dignari atque ut in bonos servos et fidos beneficia conferre et flammam orbationis domini regiis refrigerare donis, atque lamentationes eorum vertere in gratias, eum gravem magis iis apparere et bonis eorum multo sudore et labore recuperatis insidiari lucri appetentem, atque etiam quosdam horum in exilium mittere, non prompta conspicientem et exemplum timentem, etiam ad ipsum magisque ad subiectos relatum aperte: hoc clare cognoscens studuit morbum hunc ut in diram agentem difficultatem sistere, et legem op-

ἀναφερόμενον ἄντικρυς, — τοῦτο διοπτικῶς ἐπιγνοὺς σπουδὴν ἐποιήσατο τὴν νόσον ταύτην ὡς εἰς δεινὴν ἐλαύνουσαν χαλεπότητα στῆσαι, καὶ νόμον ἀντιστῆσαι ταύτῃ, τοῖς οὑτωσὶ πάσχουσι βοηθὸν καὶ συλλήπτορα, καὶ τοῖς βασιλικοῖς ὑπηρέταις καὶ αὐτοῖς βασιλεῦσιν εἰσάγοντα τὴν χάριν δικαίαν καὶ ἔννομον, καὶ φροντίδος τοιαύτης αὐτοὺς ἀπαλλάττουσαν, καὶ τὴν εὐγνωμοσύνην καὶ θεραπείαν περιποιοῦσαν ἀπόρθητον τῷ θάρρει τοῦ φυλάττεσθαι τοὺς τοῦ βασιλέως θεραπευτὰς καὶ μετὰ τελευτὴν αὐτοῦ πάσης δεισιδαιμονίας ἀθιγεῖς καὶ κακοποιίας. ὅθεν πανταχόθεν τῷ πάθει τούτῳ θεραπείαν θηρώμενος, νεαρὰν νομοθεσίαν ἐκτίθησι πρόρριζον ἐκτέμνουσαν f. 238 r. *τὸ κακοθελὲς τοῦτο καὶ παρανομώτατον ἐπιχείρημα, φάμενος ὅτι πάντων ἀτοπώτατόν ἐστιν ἵν' οἱ μὲν δουλεύοντες ἰδιῶται, ἀγροίκοις δηλονότι καὶ πολίταις καὶ ἄρχουσι, μετὰ τελευτὴν αὐτῶν λεγάτοις τιμῶνται καὶ φιδικομίσσοις καὶ πρεσβείοις, ἔνιοι δὲ καὶ κληρονομίαις, καὶ μετὰ τῆς τούτων προσθήκης ἔχωσι καὶ τὰς ἰδίας κτήσεις ἀνωτέρας παντὸς ζητήματος καὶ προβλήματος, οἱ δὲ τῶν βασιλέων θεραπευταί, οἷς μείζων ὁ κάματος καὶ τὸ αὐτοκρατορικὸν δέος διηνεκῶς περιγίνεται, πρὸς τῷ καὶ τοιαύτης ἐπιτελευτίου φιλοτιμίας καὶ τῶν οἰκείων ἀποστερῶνται παρὰ τῶν μετέπειτα βασιλέων καὶ τῶν τούτοις παρατυχόντων ὑπηρετῶν, καὶ ὡς κακοῦργοι καὶ προσάντεις οἱ καλῶς διακονήσαντες ἀπελαύνωνται οἰκιῶν*

20 *τοιαύτας* C. 22. *περιτυχόντων* C.

ponere huic, sic afflictis auxilium et socium, et quae regiis ministris et ipsis regibus adduceret gratiam iustam et legitimam et cura tali eos liberaret et bonum animum et curationem excitaret inturbatam, cum confiderent servatum iri regis ministros vel post obitum eius omni superstitione intactos et iniuria: unde ubique malo huic curationem venans novam legem edit, quae radicitus scinderet malevolum hoc et iniustissimum inceptum, contendens omnium ineptissimum esse, servos privatos agrestium et civium et ducum post obitum eorum legatis honorari et fideicommissis et donis honorariis, nonnullos etiam hereditatibus et cum harum accessione habere etiam privatas possessiones superiores omni quaestione et impedimento: contra regum ministros, quibus maior labor et imperatoris metus perpetuo adsit, praeterquam etiam talia iis contingant defuncti dona, etiam suis privari a posteris regibus atque eorum ministris, atque ut maleficos et adversarios eos, qui pulchre serviissent, expelli domibus et urbibus: propterea etiam legem de iis scripsit, quae talem avaritiam et pravitatem impediret, ut ad omnes regios homines serpentem et reges servitute privantem plurimorum et bonorum virorum, cum timerent acerbam et violentam

τε καὶ πόλεων. διὰ ταῦτά τοι καὶ νόμον περὶ αὐτῶν ἀνεγράψατο τὴν τοιαύτην πλεονεξίαν καὶ δεινοπραξίαν διακωλύοντα, ὡς εἰς πάντας τοὺς βασιλικοὺς ἀνθρώπους ὑφέρπουσαν καὶ τοῖς βασιλεῦσι τὴν δουλείαν ἀποστεροῦσαν τῶν πλείστων καὶ ἀγαθῶν ἀνδρῶν φόβῳ τῆς πικρᾶς καὶ βιαστικῆς ἐπιθέσεως ταύτης. καὶ μηδένα τούτων ὁ θειότατος οὗτος βασιλεὺς ἐδογμάτισε καὶ ἐθέσπισεν εἴτε οὐσίας ἀφαίρεσιν εἴτε ἐναλλαγὴν καταστάσεως εἴτ' ἄλλης τινὰ βλάβης καὶ κακώσεως περιπέτειαν, εἰ μὴ ἐκ δοκιμασίας καὶ διαγνώσεως καὶ νόμοις ἡρμοσμένην τε καὶ συνᾴδουσαν ἀπόφασιν ἀπενέγκοιτο. οὐκοῦν καὶ πάντες εὐχαρίστως τὸ τοῦ δόγματος ἐννομώτατον καὶ δικαιότατον οἱ τῆς πολιτείας, καὶ ὅσοι τῆς συγκλήτου βουλῆς, δεξάμενοι καὶ ἀποδεξάμενοι (εἰς ἐπήκοον γὰρ ἀνεγνώσθη πάντων) πολλαῖς εὐφημίαις καὶ κρότοις τὸν εὑρετὴν τῶν καλλίστων καὶ ἐλευθερωτὴν τῶν ἀνθρώπων ἐτίμησάν τε καὶ ὕμνησαν ὡς καὶ κοινὸν εὐεργέτην ὄντα τοῖς κοινοῖς παραγγέλμασι καὶ θεσπίσμασι, καὶ ἰδίᾳ πάντας κατὰ τὸ συνεχὲς ἐπευφραίνοντα, καὶ τὰ οἰκεῖα χαριζόμενον δίκαια. πολλοὺς γάρ, μᾶλλον δὲ ἅπαντας, ταῖς προαφῃρημέναις τούτων οὐσίαις ἀποκατέστησε, καὶ κάθοδον αὐτῶν ἐξ ὑπερορίων ἐψηφίσατο, καὶ κειμένους ἤδη καὶ τεθυμένους ἐζώωσε, καὶ πνοὴν ἐνέπνευσεν ἧς τὸ πρόσθεν ἐστέρηντο.

Καὶ τί χρὴ τὰ πολλὰ λέγειν; εἰ πάσας κατὰ μέρος τὰς τούτου μεγαλουργίας ἀναγράπτους ποιεῖν ἐπιβάλλοιμι, ὅμοιος

6. μηδενὸς?

persecutionem hanc. atque neminem horum maxime divinus hic rex diiudicavit neque imperavit sive bonorum ereptionem sive mutationem conditionis sive aliud damni et calamitatis discrimen, nisi re examinata et diiudicata et legibus accommodatam et concinentem sententiam acciperet. ergo etiam omnes grato animo decretum maxime legitimum et iustum cives et senatores accipientes et recipientes (coram enim omnibus recitatum est) multis laudibus et clamoribus inventorem pulcherrimorum et liberatorem hominum honorarunt celebraruntque ut qui et publice beneficus esset communibus iussis et edictis, et privatos omnes perpetuo exhilararet, et domestica donaret iura: multos enim, magisque omnes in bona antea erepta restituit et reditum eorum ex exsilio decrevit et iacentes iam et immolatos resuscitavit et spiritum inflavit, quo antea privati erant.

Atque quid oportet multa dicere? si omnia deinceps huius magna facta describere suscipiam, similis ero iis, qui atlanticum volunt

ἔσομαι τοῖς τὸ Ἀτλαντικὸν βουλομένοις ἀπαρύσασθαι πέλαγος. ὁ γὰρ αὐτὸς βασιλεὺς καὶ τυράννους καταβληθέντας καὶ ὑποταγέντας αὐτῷ οὐ μόνον συμπαθείας καὶ φιλανθρωπίας ἠξίωσεν, ἀλλὰ καὶ μεγίσταις εὐεργεσίαις ἐψυχαγώγησεν ὥσπερ δὴ τὸν Βρυέννιον καὶ τοὺς τούτῳ ὁμόφρονας λαμπροῖς ἀξιώμασι τελεσιουργήσας, καὶ τὰς ἰδίας οὐσίας ἐάσας αὐτοῖς ἀνεπιχειρήτους, καὶ προσθήκας διὰ βασιλικῶν δωρεῶν ἀφθόνους αὐτοῖς περιποιησάμενος, καὶ πάντων ἐπιλαθέσθαι παρασκευάσας τῶν λυπηρῶν, ὅπερ οὐδεὶς τῶν πώποτε βασιλέων f. 239 r. ποιήσας εὑρίσκετο, καὶ πολεμίους προσφυγόντας εὐμενῶς προσεδέξατο, καὶ χώραν αὐτοῖς δημοσίαν ἀπένειμε καὶ φιλοτίμου διατριβῆς μεταδέδωκεν.

Εὐσεβέστατος δὲ ὢν τὰ πρὸς θεὸν ἐς τὰ μάλιστα, βασιλικαῖς πανηγύρεσί τε καὶ χάρισι καὶ φωτοχυσίαις τάς τε δι' ἔτους δεσποτικὰς ἑορτὰς ἐς τὸ ἀκριβὲς κατελάμπρυνε, καὶ τὰς τῶν μαρτύρων μνήμας καὶ τῶν ἄλλως εὐαρεστησάντων θεῷ τελεταῖς πανδήμοις καὶ παννύχοις χοροστασίαις ἐν δαψιλεῖ τῷ φωτὶ περιφανῶς κατεσέμνυνε. καὶ τοσοῦτον ἐξήρτητο καὶ περιεγάννυτο ταῖς θείαις ταύταις λαμπρότησιν, ὅτι περ ὀρθριώτερος περὶ πρώτας ἀλεκτρυόνων ᾠδὰς τοῖς ὑμνοπόλοις ἐπιφαινόμενος καὶ τοῖς συνεκκλησιάζουσι βουλευταῖς καὶ συγκλητικοῖς, οὐδὲ τῷ βασιλείῳ θρόνῳ ἑαυτὸν ἐπεδίδου ἀλλ' ὄρθιος ἱστάμενος ἄχρι τέλους τῆς ὑμνῳδίας, ἥτις καὶ μέχρι τρίτης ὥρας τῆς ἡμέρας τῷ περικαλλεῖ τῶν ὕμνων καὶ ἰσαγ-

exhaurire mare. idem enim rex et tyrannos deiectos et submissos sibi non solum misericordia et humanitate dignatus est, sed etiam maximis beneficiis placavit, sicut Bryennium et eos qui cum hoc sentirent, illustribus dignitatibus augens et privata bona relinquens iis intacta et accessionem regiis donis benignam iis concilians, et omnium oblivisi iubens tristium, id quod nemo unquam regum faciens apparebat, et hostes, qui ad eum confugerent, clementer excepit et terram iis publicam tribuit et generosae commorationis participes fecit.

Piissimus autem in rebus divinis inprimis regiis concionibus et gaudiis et luminum copia annua dominationis festa accurate illustrabat et martyrum memoriam et aliter deo gratorum sacris publicis et nocturnis choris plenis luminibus clare ornabat, atque tantum intentus erat et laetabatur divino hoc splendore, ut mane circa primos gallorum cantus hymnorum poetis apparens et iis qui e senatu et consilio festum concelebrarent, ne regio quidem solio se traderet, sed erectus usque ad finem cantus, qui ad tertiam horam diei hymnis perpulchris et angelicis durabat, deo preces absolvebat, et ad illum eri-

γέλῳ προέκοπτε, θεῷ μὲν τὰς εὐχὰς ἐπετέλει καὶ πρὸς ἐκεῖνον ἀνεπτέρου τὸν νοῦν, τοῖς δ' ὑπηκόοις τὰς εὐεργεσίας καὶ δωρεὰς καὶ τιμάς, ποταμηδὸν προσεπέχεεν. εἶτα καὶ τῆς μεσημβρινῆς μυσταγωγίας εἴτ' οὖν λειτουργίας ἀρχομένης παραχρῆμα τοῦ τὴν ἑωθινὴν τελεσθῆναι δοξολογίαν, οὐκ ἀπείχετο τῆς εἰς θεὸν παραστάσεως, ἕως καὶ αὕτη συνετελέσθη μέχρι παντὸς τοῖς ἱερατεύουσιν εὐλαβῶς. καὶ οὐ μόνον ἐν τοῖς ἀνακτόροις τὸ τῆς τοιαύτης θεοσεβείας τούτῳ ἐπράττετο, ἀλλὰ καὶ ἐν ταῖς πανδήμοις ἑορταῖς τε καὶ προελεύσεσιν, ὅταν τῷ μεγάλῳ τεμένει τῆς τοῦ θεοῦ ἁγίας σοφίας ἐπιφοιτῶν ἦν μετὰ δορυφορίας καὶ δόξης οὐρανοβάμονος, ἢ τῷ ἀποστολικῷ καὶ μεγάλῳ ναῷ, ἢ ἑτέρῳ τῶν ἔξωθεν. τῶν γὰρ πρὸ τοῦ βασιλέων μετὰ τὴν τοῦ θείου εὐαγγελίου ἀνάγνωσιν ἀπαναχωρούντων ἐκεῖθεν σπουδαίως ἐπὶ ἀνακτήσει τοῦ κόπου καὶ ἀποθέσει τῆς ἐκ τῶν λίθων καὶ μαργάρων βαρυτάτης σκευῆς καὶ ἀπαλλαγῇ τῶν ἀπλέτων θορύβων, αὐτὸς οὐδὲν τοιοῦτόν ποτε διεπράξατο, οὐδὲ τῆς θείας μυσταγωγίας τὴν οἰκείαν ἀνάπαυσιν καὶ τρυφὴν προετίμησεν, ἀλλ' ἕως τέλους τῆς ἱερᾶς λειτουργίας εὐπαγὴς ἵστατο, θεῷ προσανέχων ὄμματι ἀκλινεῖ, καὶ τὸν ἐκείνου ἀπομιμούμενος ἔλεον, ἐν οἷς τὰ γέρα καὶ τὰς τιμὰς ἐφήπλου πᾶσι τοῖς πιστῶς προσεδρεύουσι.

Τοιοῦτος γὰρ ἦν, εὐσεβέστατος καὶ πιστότατος αὐτοκράτωρ καὶ τῷ ὄντι φιλόχριστος, πρᾳότατός τε, εἴπερ τις

12. βασιλέως C.

gebat animum: subiectis autem beneficia et dona et honores fluvii instar effundebat: deinde etiam meridiei initiatione mystica sive ministerio divino incipiente statim postquam matutina absoluta est celebratio, non se removebat, quominus deo adesset, donec etiam haec absoluta essent omnino a sacerdotibus pie: neque solum in regia talis cultus ab eo agebatur sed etiam in publicis festis et pompis: quando ad magnum fanum sanctae dei sapientiae accedebat cum satellitibus et gloria coelum assequente, aut ad apostolorum magnum templum vel aliud externorum. cum enim priores reges post divini evangelii lectionem recederent inde studiose ad reficiendam defatigationem et deponendum lapidum et unionum gravissimum apparatum et liberandos se ab immensa turba, ipse nihil tale unquam perfecit, neque divinis mysteriis suam requietem et mollitiem praetulit: sed usque ad finem sacri ministerii firmus adstabat, deo intentus oculo immoto et illius imitans misericordiam.

Inter quae insignia et honores edebat omnibus fide assidentibus: talis enim erat piissimus et fidissimus imperator: et revera, Chri-

ἄλλος, καὶ λόγου καιρὸν καὶ σιωπῆς ἐπιστάμενος. καὶ τοσοῦτον ὅτι καὶ δικάζων καὶ διάγνωσιν ἐπιφέρων, καὶ τῶν ἀντικρινομένων φωνὰς ἀτάκτους ἀφιέντων πολλάκις πρὸς ἀλλήλους καὶ πληκτικάς, αὐτὴν ἐκείνην ἐτήρει τὴν τῶν λόγων ἠχὴν ἐμμελῆ τε καὶ ἔμμουσον, καὶ ὀργῆς ἴχνος ἢ βοῆς μείζονος ἐν αὐτῷ οὐκ ἐπολιτεύετο· ὕβρεις δὲ οὐ μόνον τισὶν οὐκ ἐπέτριβεν ἀλλὰ καὶ τοὺς ὑβριστὰς ἐμίσει. ἦν γὰρ ἐπιτιμῆσαι μὲν πρᾶος, ἐπαινέσαι δὲ παιδευτικός.

Εἰ δὲ καὶ οἱ διὰ πολλῶν τῶν ἐνιαυτῶν τούτῳ ἐξυπηρετησάμενοι πρὸς τὸ ἦθος αὐτοῦ καὶ τὴν καλοκαγαθίαν μετερρύθμισαν τὰς γνώμας αὐτῶν καὶ πεπαιδευμένοι κατὰ τοσοῦ- f. 239 v. *τον γεγόνασι, χάρις πάντων τῷ βασιλεῖ τῷ οὕτως αὐτοὺς καταρτίσαντι. καὶ γὰρ οἱ τούτου οἰκειότατοι καὶ ἐγγύτατοι, ὅσοι μὲν γνώσει καὶ λόγῳ τῶν ἄλλων διέφερον, ἀτυφίαν ἐπεδείκνυντο καὶ δημοτικὴν πρὸς πάντας ἀναστροφήν, καὶ ἀλαζονείας ὑπῆρχον ἀνώτεροι, τῇ γνώμῃ μὴ ἐπαιρόμενοι· ὅσοις δὲ πρὸς τὸ στρατιωτικώτερον ἡ διαγωγὴ ἐπεπαίδευτο, ῥωμαλεώτατοι μὲν κατὰ χεῖρας ἐτύγχανον, τὸ δὲ ἦθος οὐ κατὰ στρατιώτας εἶχον σκληρὸν καὶ ἀτίθασσον, ἀλλ' ἥμερον καὶ εὐπρόσιτον. κοινῶς δὲ πάντες ταῖς εὐεργεσίαις τῶν ἀνθρώπων ἐπευφραινόμενοι, οὐδέποτε τὸν βασιλέα τῶν εὐεργεσιῶν ἀπέχεσθαι συνεβούλευσαν, ἀλλὰ καὶ μᾶλλον αὐτοὶ μεσιτείαις χρησταῖς καὶ ἐπαίνοις καὶ τοῖς ἄλλοις ἐπαγωγοῖς πρὸς μεί-*

sti amans, et mitissimus si quis alius et loquendi tempus et silentii sciens: atque tantum, ut iudicans et decisionem afferens atque cum adversarii voces perturbatas emitterent saepe inter se et iracundas ipsum illum observaret sermonum sonum concinnum et canorum, neque irae vestigium vel clamoris maioris in eo ageretur: superbia autem non solum neminem afficiebat, sed etiam superbos oderat: erat enim in vituperando mitis et in laudando excitans.

Quodsi etiam qui per multos annos huic servierant, ad eius mores et virtutem mutaverunt suas sententias et educati adeo sunt, gratia omnium regi, qui ita eos efformaverat. etenim qui huic familiarissimi et proximi erant, quotquot intelligentia et ratione ceteris excellebant, modestiam ostendebant et popularem cum omnibus consuetudinem, et iactantia erant superiores, sententia non elati: quibus autem ad militiam conditio educata erat, validissimi quidem manibus erant, mores autem non ut milites habebant duros et feros, sed mansuetos et comes: communiter autem omnes beneficiis hominum delectati nunquam regem beneficiis abstinere studuerunt, sed etiam magis ipsi modestia bona et laudibus et ceteris oblectationibus ad maiora beneficia regem precabantur pro-

ζοντας εὐποιίας τὸν βασιλέα κατεδυσώπουν ἰέναι καὶ χρηστότερον γίνεσθαι καὶ τοῖς ἐπταικόσι συμπαθῆ καὶ φιλάνθρωπον. ὥστε ἀληθὴς ἡ γνώμη αὕτη ἐστὶν ἡ λέγουσα ὅτι φιλεῖ τὸ ὑποχείριον πάντως ζήλῳ τῆς τοῦ ἄρχοντος γνώμης βιοῦν.

Ἓν δὲ τῷ βασιλεῖ τούτῳ ἐλάττωμα συνεπίσταμαι τὴν ἀπληστίαν, ὅτι τῆς κοσμικῆς καὶ ἐπιγείου βασιλείας ἐπιτυχών, καὶ τῆς ἐπουρανίου καὶ ἀϊδίου βασιλείας ἀκρατῶς ἔχεταί τε καὶ περιέχεται διὰ τῶν μεγίστων αὐτοῦ ἀγαθοεργιῶν, καὶ ὁλοψύχως τῶν ἐκ ταύτης ὑπερκοσμίων ἀγαθῶν οὐκ ἀφίσταται.

Ἔγωγε οὖν αὐτόπτης τούτων καὶ διαγνώμων γενόμενος, ἐν γνώσει πάντα καὶ ἀληθείας ἰσότητι γέγραφα, ἵνα μὴ ὡς ὁ κατορύξας τὸ τάλαντον τοῦ κυρίου αὐτοῦ πονηρὸς δοῦλος κατακριθῶ ἢ ὡς ὁ τὸν φωτεινότατον λύχνον ὑπὸ τὸν μόδιον κρύψας· ὡς ἂν ἐν ἱστορίας ὕφει τυγχάνοντα καὶ ταῖς μετέπειτα γενεαῖς ἄληστον τὴν μνήμην τῆς τοῦ μεγάλου τούτου βασιλέως ὑπεροχῆς καὶ τῶν ἀπαραμίλλων ἔργων αὐτοῦ καὶ ἀθάνατον συντηρῶσι, καὶ πρὸς μίμησιν τοὺς ἀναγινώσκοντας ἕλκωσι, τῶν καλλίστων καὶ ὑπερφυεστάτων πραγμάτων πρὸς τοιοῦτον ἀποσκοποῦντας παράδειγμα θεοείκελον. καὶ ταῦτα μὲν ἐκ πολλῶν ὀλίγα, ὅσα δηλονότι μέχρι τοῦ δευτέρου ἔτους τῆς αὐτοῦ βασιλείας θαυμασίως ἐπράχθησαν· τὰ δ' ἐπιόντα καθεξῆς ὁ λόγος δηλώσει τρανότερον.

cedere et meliorem fieri et desperatis misericordem et humanum; ita ut vera sit sententia haec quae ait solere subiectos omnino studio sententiae imperatoris vivere.

Unum autem regi huic vitium adesse scio, insatiabilitatem: quod cum mundanum ei et terrenum regnum contigerit, etiam coelesti et aeterno regno studeat impotenter et intentus sit maximis benefactis; atque toto animo coelestibus huius bonis non desistat.

Equidem igitur, qui ipse haec vidi et cognovi, cognitionis omnia et veritatis aequalitate scripsi, ne ut is qui condidit talentum domini ipsius pravus servus diiudicarer aut ut is qui pellucidum lumen sub modio abscondidit, ut ea quae in historiae textura adsunt etiam posteris aetatibus perpetuam memoriam virtutis et incomparabilium factorum magni huius regis et immortalem servent et ad imitationem legentes trahant, cum ad pulcherrimorum et maxime ingentium factorum tale spectent exemplum divinum. atque haec quidem ex multis pauca sunt, quae quidem usque ad alterum annum eius regni admirabiliter facta sunt: sequentia deinceps narratio declarabit clarius.

INDEX GRAMMATICUS.

INDEX HISTORICUS.

CORRIGENDA.

p. 5 v. 18. *lege* καινοπρεπῶν 11 20. αὐτοῦ 12 2. ἴουλον 14 6. πάντως 16 4. ἐν τέλει 22 5. προφάσεως. συγγενέα 25 6. ἐναντίους. 27 7. ἐξ ἐφόδου 18. τοὐναντίον 30 19. ἀντᾶραι 35 17. ἐξιόντες 43 3. ἠρεμίαν 48 8. ἀνθαμιλλᾶσθαι 49 23. καμπυλώτατος 50 22. ἀπόδοσιν, αἵ τε 54 7. κεκοινωνηκότας 56 18. καθιστάμενος 57 23. ἐπιτρέψας 59 7. ῥάκος τῆς 61 16. πράγματα 63 17. ὑπερλαλῶν 64 9. κρείττονος 65 8. συγγνώμης 66 19. ἀπόνασθαι καὶ 67 15. ἑλὼν 70 2. μετέπειτα μόνον, οὐχὶ 14. tolle notam marg. 71 24. πᾶσι 72 7. καθορῶν. 15. τῆς 73 16. συγχύσεως, 75 20. κατωρθωκὼς 76 3. ἀκρόασιν, καὶ 14. μάλιστα, φιλοπτώχου 79 2. στρατείας 80 10. τοὺς 11. ἐστέρησεν. 19. μήτε 83 6. οὐδ' 11. τοῦ τε μαγίστρου Βασιλείου 13. Οὔζων 85 7. ὅπως πρὸς τηλικαύτην 87 16. ὅσοι 19. καθὰ 89 5. ἐκτελοῖτο 90 3. Ἑλλησπόντῳ 10. διαφόρους 13. παρηκολουθηκέναι 14. ἡμερῶν 16. ἱστορίᾳ 91 12. ἦσαν 92 11. κατέσχον 97 8. βεστάρχης, 99 16. ἐπιδεικνύμενος. 24. 12. 100 4. Ἀνάγκης 103 12. τοῖς 104 1. καθεστηκυίας 107 2. ὀκτωβρίου 12. Λυσινάλιος. διὰ 108 20. μή 109 19. ἀμαχητὶ 21. ἢ 110 15. πεποίηκε 23. μετέωρον, καὶ προσιόντος 113 8. τοῦτο 114 23. εἶδον 117 12. ἔρρεε 118 13. οἰκεῖον 119 5. ἑξῆς 13. στρατηγόν τε 120 11. ὅρος 18. οἴκιστον 122 18. Ἡρίων ἀπέπλευσεν, 19. στρατοπεδεύσασθαι καὶ 125 5. γὰρ 21. οὔπω 127 9. ἁπλῆς 17. λαμπρότητα, 128 5. ὃ 11. πρόσω 13. παραγίνεται, 129. 24. 6. 131 23. 21. 133 13. τό τε 134 1. νύ τις 11. οἳ — οἳ 16. πολὺν 136 8. τοσούτων 23. ἐνωθησομένην 140 21. ἀρχιστρατήγου 141 4. κατακλύσαν 9. ἐσφάδαζεν 21. γνωρίζεσθαι 146 1. πρόσω 147 2. ἐγίνωσκεν. ἀλλ' 23. Ῥωμαϊκὸν 148 6. Ἀρτζη 18. προσταχθὲν 149. 3. Μαντζικιέρτ 150 9. Χλιατηνῶν 153 9. εἰσῄει 154 19. ἐπικειμένων 156 13. ἠναγκάσθησαν 18. τὴν 159 2. dele τὴν ante τοῦ 20. lege ἐκείνῳ 161 2. τοὐπίσω 166 1. ἀμφότεροι 170 21. Κρισπῖνος, 173 10. περιεπάρη 176 3. ἀπηνεστέρα 179 9. βίον 184 3. πλήθει 187 2. ἄρατέ 5. οὐκ 8. προϊόντος 11. ὃ 22. γλώσσῃ 190 11. οἳ 16. τοὺς 196 5. παλαμναιότατοι 200 6. ἀπροσφυεῖς 19. 201 ὑπόθεσιν. 24. 8]7. 203 9. ἐκείνου 12. μέδιμνοι, 204 19. Ἴστρον 208 15. ἀπαλλαγή, 211 5. τῆς 215 8. ἄγοντος 9. ἰνδικτίωνος, 18. ἐν δουλικῷ 216 9. κρείττων 17. οἳ

219 2. πολυάνθρωπον 10. πατρὶς 14. Ἀφρικανοῦ[illegible]. ἐκλήθη 222 9. ἀλλήλους. 16. μνημονευομένους - 21. συμφυΐας 224 4. Φύγελλα 17. χρόνοις 227 20. οἷ 228 5. ἐνεγκόντες 229 2. κατορθωμάτων 11. ἐκεῖνα 18. ἀξίωμα περιώνυμον 231 7. ἐξῆλθε 233 11. ἐν ὡπλισμένῳ 240 8. συννενευκυίας 11. ἐξ 17. διηρεθίζετο 19. αὐτόν 241 8. ἀντικαταστῆναι 15 et 21. ἄυλον 24. adde 20. 242 3. δυνάμεως. 5. Λάμπης 10. προρρήσεως 243 16. τούτους καὶ 20. ἡμερῶν 244 6. ἐπὶ σκέψιν 8. φήμας 247 4. ἁλουργίδα 248 14. ἦσαν 249 3. φούνδακα· 253 2. Βοτανειάτην 10. ἀπόρθητον 13. δ' οὐκ 254 17. ἠπείρῳ 255 9. Βοτανειάτου 256 7. ἄπαγε· 20. ἐπαρχίαν 259 6. θυσιαστήριον 260 6. τί 13. μήτ' 261 18. τιμήσει. 262 16. Πατζινάκοις 264 5. τούτους 266 20. ὄντες 267 9. τί 10. πεποίηκε 17. ἅπαντες, 270 12. θεόθεν 14. ὥσπερ 16. αὐτόμολοι 17. λέγεται, 24. ἐξ 271 3. δὲ 5. μυριάσι 11. τὸν 21. ἀτασθάλου 272 23. βασιλεύς (πρὸς ἑσπέραν 273 19. διηγήσεται τὸ 21. χαρίσμασιν 274 5. τοῖς 276 9. εὐδαιμονούντων 279 5. τοῖς 21. ἀξιεπαινότατον 23. πρώην 280 10. τοῦτον 281 15. δουλεύοντι, 282 24. οἷ 285 11. ὃ δὲ 20. λογιζόμενος. 23. φρονῆσαι καὶ 286 9. ὁρμὴν 23. ἀντιθέτοις μεσίτης 287 4. ὀρόφου 5. καταστροφῆς 8. τοὺς 15. προηγόρευεν, 16. γενναιότητος τῆς 18. ἀδιάκριτον 288 2. πρόγονοι 289 11 et 23. ὃ 292 14. τί 295 3. καὶ οἷ 5. ἄνοδον. 22. οἷ 298 2. δημοτικῶν καὶ 311 13. καταν έμεται, τὸ 315 8. ἀπόφασιν,

---

Bonnae, formis Caroli Georgii.